4. ἀγήρως, ων (ἀγήραος), senectutis expers. ἀθάνατος, (η), ον, immortalis. ἅλως, ἡ. area. ἀνάπλεως, ων, c. Gen. plenus. ἄρχῃ, 2. Coniunct. praes. med. ἄρχω, initium facio. ἄχυρον, folliculus tritici. — βωμός. II, 2. — δειλός, ή, όν, timidus. διά, praep. c. Acc. propter. διώρυξε, 3. aor. 1. sg. act. διωρύττω, perfodio. δρόμος, cursus. πρὸς δρ. quod attinet ad cursum. — ἐκεῖνος, η, ο, ille. ἐνεπρήσθη, 3. aor. 1. sg. pass. ἐμπίπρημι, incendo. ἑσπέρα, vespera. ἕως, ἡ. aurora. πρὸς ἕ. orientem versus. — ζῶον, animal. — ἠναγκάζετο, 3. impf. sg. pass. ἀναγκάζω, cogo. — θάπτουσι, 3. praes. pl. act. θάπτω, sepelio. θηράσων, Nom. Part. fut. act. masc. θηράω, venor. θηρευτής, venator. θηρίον, bestia. — ἰσομεγέθης, ες, aeque magnus. — λαγώς, ὁ. lepus. λάφυρον, spolia. praeda. ληφθείς, Part. aor. pass. λαμβάνω, capio. — μέρους, Gen. sg. μέρος. ἐκ τοῦ προσ-

διώρυξε. — Δημήτηρ τὸν Δημοφόωντα ἐποίησεν ἀγήρων καὶ ἀθάνατον. — Εἰσὶ τοῖς πολίταις βωμοὶ καὶ νεὼ πάντων τῶν θεῶν. — Δαίδαλος ληφθεὶς ὑπὸ Μίνω διὰ τὴν σοφίαν ἠναγκάζετο ἐκείνῳ δουλεύειν. — Ἐν τῷ Φαλερῷ ἐστι Ἀνδρόγεω βωμός, τοῦ Μίνω. — Δειλοὶ πάντες εἰσὶν οἱ λαγοί. — Ἔστι χρυσὸς ἐν τοῖς πτεροῖς τοῦ ταῶ καὶ ὀφθαλμός. — Ἢν ἐκ τοῦ προσηνέμου μέρους τῆς ἅλω ἄρχῃ, δι' ὅλης τῆς ἅλω οἴσεταί σοι τὰ ἄχυρα.

III.

1. Οἱ μὲν ἄλλοι πέρας ᾤοντο τοῦ πολέμου τὴν ἐν Μαραθῶνι τῶν βαρβάρων ἧτταν εἶναι, Θεμιστοκλῆς δὲ ἀρχὴν μειζόνων ἀγώνων. — Εἰσὶν Ἀθηναίοις εἰκόνες ἐν τῷ θεάτρῳ καὶ τραγῳδίας καὶ κωμῳδίας ποιητῶν. — Ἔστι Δήμητρος Ἐλευσινίας ἱερὸν ἐν Πλαταιαῖς. — Ἀγαθῶν οἱ θεοὶ δοτῆρές εἰσιν. — Ξενοφῶν στρατιάτης ἀγαθὸς ἦν. — Οἱ μύρμηκες δεινῶς εἰσι φιλόπονοι. — Ὁ ἐλέφας τὸν δράκοντα ὀῤῥωδεῖ. — Ἀγησίλαος ἐκαλλωπίζετο τῇ μὲν ἀμφὶ τὸ σῶμα φαυλότητι, τῷ δ' ἀμφὶ τὸ στράτευμα κόσμῳ. ἐκεῖνον οἱ μὲν συγγενεῖς φιλοκηδεμόνα ἐκάλουν, οἱ δ' ὑπουργήσαντές τι μνήμονα, οἱ δὲ συγκιν-

---

ηνέμου μ. ex ea parte, qua ventus adflare maxime potest. — νεκρός, ὁ. mortuus. νεώς, ὁ. templum. — οἴσεται, 3. fut. sg. med. (φέρω), feretur. spargetur. ὅλος, η, ον, totus. οὐδέν, c. Gen. nihil. nullum. ὀφθαλμός, oculus. — παλαιός, ά, όν, antiquus. πάντες, Nom. pl. πάντων, Gen. pl. πᾶς. παρά, praep. c. Acc. prope. παραῤῥεῖ, 3. praes. sg. παραῤῥέω, praeterfluo. πολύγονος, ον, fecundus. ποταμός, fluvius. πτερόν, ala. — σκῦλον (σκύλον. σκυλόν.), spolium. a. στρέφοντες, Nom. Part. praes. pl. στρέφω, verto. ταώς, ὁ. pavo. ὑπό, praep. c. Gen. a. ab. χρυσός, aurum. ᾤχετο, 3. impf. sg. οἴχομαι, eo.

III, 1—3. Exempla nominum tertiae declinationis. §. 4. Anomala eiusdem declinationis.

1. ἀγών, ῶνος, ὁ. certamen. ἀηδών, όνος, ἡ. luscinia. ἀμφί, praep. c. Acc. circa. ἀρχή, initium. ἀστήρ, έρος, ὁ. stella. — βάρβαρος, ον, barbarus. βελτίων, ον, comp. ἀγαθός. — γηγενής, έος, ὁ. terrae filius. γίγας, αντος, ὁ. gigas. — δεινῶς, adv. vehementer. δίς, bis. δοτήρ, ῆρος, ὁ. dator. δοῦλος. II, 1. δράκων, οντος, ὁ. draco. — ἔαρ, ος, τό. ver. ἐγένετο, 3. aor. sg. (γίγνομαι), fiebat. γεγονέναι, Inf. perf. eiusd. esse. ἔθυον, 3. impf. pl. act. θύω, sacrifico. εἶδος, εος, τό. forma corporis. τὰ εἴδη (Acc. pl.) οὐδὲν βελτίους, quod ad corporis formam nihil meliores sunt. εἰκών, όνος, ἡ. imago. ἐκαλλωπίζετο, 3. impf. med. sg. (καλλωπίζω), c. Dat. gloriabatur re s. de re. ἐκάλουν, 3. impf. pl. act. καλέω, voco. ἐλέφας, αντος, ὁ. elephas. ἐπλήγη, 3. aor. 2. pass. sg. πλήττω, ferio, caedo. ἔποψ, οπος, ὁ. upupa. ἐσθής, ῆτος, ἡ. vestis. ἔτος, εος, τό. annus. κατ' ἔτος, quotannis. — ἧττα, clades. — θάλαττα. II, 3. θαλαττοκράτωρ,

δυνεύοντες μετὰ θεοὺς σωτῆρα. — Ὡς οἱ ἀστέρες εἰσὶ τοῦ οὐρανοῦ κόσμος, οὕτως οἱ οἰκήτορες τῆς χώρας. — Τέττιξ μὲν τέττιγι φίλος, μύρμηκι δὲ μύρμηξ. — Ἐπαμινώνδας ὁ Πολύμνιδος πένης ἦν. — Λὶς κατ' ἔτος ἦν ἡ τῶν Ἀμφικτυόνων σύνοδος, ἔαρός τε καὶ μετοπώρου. — Καρχηδὼν ἡ νέα λιμέσι καὶ λίμνῃ κεκόσμηται. — Ἐσθῆτα οὐδὲν βελτίω ἔχει ὁ δῆμος Ἀθηναῖος ἢ οἱ δοῦλοι καὶ οἱ μέτοικοι, καὶ τὰ εἴδη οὐδὲν βελτίους εἰσίν. — Ἡ τυραννὶς ἀδικίας μήτηρ ἐστίν. — Ἄδωνις ἔτι παῖς ὢν Ἀρτέμιδος χόλῳ ἐν θήραις ὑπὸ συὸς ἐπλήγη. — Οἱ Φοίνικες τῷ Ἡρακλεῖ ὄρτυγας ἔθυον. — Οἱ κρατοῦντες τῆς θαλάττης θαλαττοκράτορές εἰσιν. — Χάρις χάριν τίκτει. — Μυθολογοῦνται οἱ Γίγαντες γηγενεῖς γεγονέναι. — Πρόκνη ἐγένετο χελιδών, Φιλομήλα ἀηδών, Τηρεὺς ἐγένετο ἔποψ.

2. Οἱ Καρχηδόνιοι στρατεύσαντες ἐπὶ Σικελίαν δέκα μυριάσι στρατιᾶς, αἱροῦσιν ἐν τρισὶ μησὶ δύο πόλεις Ἑλληνίδας, Σελινοῦντα καὶ Ἱμέραν. — Οἱ Ἀθηναῖοι ἐπὶ Χαλκηδόνα καὶ Βυζάντιον ὁρμήσαντες ἐστρατοπεδεύσαντο πρὸς Χαλκηδόνι. οἱ δὲ Χαλκηδόνιοι προσιόντας

ορος, ὁ. maris dominus. θέατρον, theatrum θήρα, ἡ. venatio. ἐν θ. in venando. ἱερόν, templum. — Καρχηδών. II, 3. κεκόσμηται, 3. perf. pass. sg. κοσμέω, orno. κόσμος, ornamentum. splendor armorum. κρατοῦντες, οἱ. c. Gen. dominantes. κωμῳδία, comoedia. — λιμήν, ένος, ὁ. portus. λίμνη, lacus. — μετά, praep. c. Acc. post. μέτοικος, ὁ. inquilinus. incola. μετόπωρον, autumnus. μήτηρ, μητρός, ἡ. mater. μνήμων, ονος, memor intell. beneficiorum. μυθολογοῦνται, 3. praes. pass. pl. μυθολογέω, narro. μύρμηξ, ηκος, ὁ. formica. — νέος, α, ον, novus. — οἰκήτωρ, ορος, ὁ. incola. ὀρρωδεῖ, 3. praes. sg. ὀρρωδέω, formido. ὄρτυξ, υγος, ὁ. coturnix. οὐρανός, coelum. — παῖς, παιδός, ὁ. puer. filius. πέρας, ατος, τό. finis. terminus. πένης, ητος, ὁ. ἡ. pauper. ποιητής, poeta. — στράτευμα, ατος, τό. exercitus. στρατιώτης, ου, ὁ. miles. συγγενής, ές, ὁ. ἡ. cognatus. συγκινδυνεύοντες, οἱ. periculorum socii. σύνοδος, ἡ. conventus. σῦς, συός, ὁ. ἡ. sus. aper. σῶμα, ατος, τό. corpus. σωτήρ, ῆρος, ὁ. servator. liberator. — τέττιξ, γος, ὁ. cicada. τίκτει, 3. praes. sg. act. τίκτω, pario. τραγῳδία, tragoedia. τυραννίς, ίδος, ἡ. tyrannis. — ὑπό c. Gen. ab. ὑποεργήσαντες, οἱ. qui beneficium alicui contulerunt. — φαυλότης, ητος, ἡ. tenuitas. φιλοκηδεμών, ὁ. ἡ. benignus in cognatos. φιλόπονος, ὁ. ἡ. amans laborum. — χάρις, ιτος, ἡ. gratia. χελιδών, όνος, ἡ. hirundo. χόλος, ὁ. iracundia. — ᾤοντο, 3. Impf. pl. v. II, 3.

2. αἱροῦσιν, 3. praes. pl. αἱρέω, capio. αἰσθόμενοι, Part. aor. αἰσθάνομαι, c. Acc. Participii, sentio. ἀκούεις, 2. praes. sg. ἀκούω c. Acc. Part. vid. II, 2. ἄκρον, τὸ τῆς φάλαγγος, extrema pars phalangis. ἅμα τῷ ἔαρι, primo vere. ἀναλαβών, Part. aor. 2. ἀναλαμβάνω, adsumo. ἀνέστρεφον, 3. impf. pl. ἀναστρέφω, me converto. ἀνήρ, ἀνδρός, ὁ. vir. ἀνθ' ὧν, propterea quod. ἀξιοῖς, 2. praes. sg. ἀξιόω, cupio. ἀπῄτει, 3. impf. sg. ἀπαιτέω, postulo. ἀρχαιότερος, comp. c. Gen. i. q. ἢ (quam) c. Nom. ἀρχαῖος, vetus. ἀσθενής, ές, ὁ. ἡ. imbecillis. ἀστυγείτων, ονος, ὁ. ἡ.

αἰσθόμενοι τοὺς Ἀθηναίους, τὴν λείαν ἅπασαν κατέθεντο ἐς Βιθυνοὺς Θρᾷκας ἀστυγείτονας ὄντας. Ἀλκιβιάδης δὲ λαβὼν τῶν τε ὁπλιτῶν ὀλίγους καὶ τοὺς ἱππέας, καὶ τὰς ναῦς παραπλεῖν κελεύσας ἀπῄτει τὰ τῶν Χαλκηδονίων χρήματα. — Διὰ τὸν χρυσὸν ἐπιβουλεύονται πολλάκις φίλοις φίλοι καὶ πατράσι παῖδες καὶ γυναῖκες ἀνδράσιν. — Παλαιὸς μῦθος λέγει, τοὺς Μυρμιδόνας ἐκ μυρμήκων ἄνδρας γεγονέναι. — Κοινὴν προσήκει πάντων μητέρα τὴν πατρίδα νομίζειν. — Κυνῶν κόσμος δέραια καὶ ἱμάντες. — Ὁ πατήρ, ἔφη Νικήρατος, ὁ ἐπιμελούμενος ὅπως ἀνὴρ ἀγαθὸς γενοίμην, ἠνάγκασέ με πάντα τὰ Ὁμήρου ἔπη μαθεῖν· καὶ νῦν δυναίμην ἂν Ἰλιάδα καὶ Ὀδύσσειαν ἀπὸ στόματος εἰπεῖν. — Ἅμα τῷ ἔαρι ἔπλευσεν ὁ Φαρνάβαζος εἰς Μῆλον. — Πόλιν οὐκ ἐκ τῶν ὠνίων δοκιμάζειν χρή. — Τὰ πρὸ τῶν ποδῶν ὅρα. — Ἐκ παίδων εἰς ἥβην ὁρμῶμεν. — Ὑδροποσίαν ῥᾷον τῶν λεόντων φέρετε. — Στρατοπεδευομένων τῶν Ἑλλήνων ἐν Ἀρμενίᾳ γίγνεται τῆς νυκτὸς χιὼν πολλή, καὶ ἀσφαλὲς ἐδόκει εἶναι διὰ τὸ πλῆθος τῆς χιόνος. — Εἰ πάνυ ἰσχυρά ἐστιν ἡ λύγξ, ἀναλαβών τι τοιοῦτον, οἵῳ κνήσαις ἂν τὴν ῥῖνα, πτάρε. — Ἔξ φασι τῷ Ῥώμῳ,

---

urbi vicinus. ἀσφαλής, ές, ὁ. ἡ. tutus. — βαρύτερος, comp. βαρύς, gravis. βρέφος, εος, τό. infans. — γεγονέναι. III, 1. γεγονώς, Part. perf. γενοίμην, opt. aor. eiusd. v. γυνή, αικός, ἡ. mulier. γύψ, γυπός, ὁ. vultur. — δαίμων, ονος, ὁ. deus. daemon. δέκα, decem. δέραιον, τό. torques. collare canum. διὰ ταῦτα, propterea. διεμόρφωσεν, 3. aor. 1. sg. διαμορφόω, commuto. effingo. διό, quare. διότι, propterea quod. διπλάσιος, α, ον, duplo maior. δοκιμάζειν, Inf. praes. explorare. censere. δρῦς, ός, ἡ. quercus. δυναίμην, opt. praes. δύναμαι, possum. — ἔγημε, 3. aor. sg. γαμέω, uxorem duco. ἐδημιούργησας, 2. aor. 1. sg. δημιουργέω, fingo. fabricor. ἐδόκει (δοκέω), videbatur. εἰ, si. εἰπεῖν, Inf. aor. 2. dicere. ἔκλεψας, 2. aor. 1. sg. κλέπτω, clam adimo. ἑκκαίδεκα, sedecim. ἐμός, ή, όν, meus. ἕξ, sex. ἐξορύττεσθαι, Inf. praes. pass. c. Acc. effodi quod ad oculos (ὀφθαλμούς). ἐπιβουλεύονται. 3. praes. pl. pass. c. Nom. *quibus* et c. Dat. *a quibus* insidiae atruuntur. ἐπιμελούμενος, Part. praes. ἐπιμελέομαι, curo. ἔπλευσεν, 3. aor. sg. πλέω, navigo. ἔπος, εος, τό. verbum. carmen. ἔρυμα, ατος, τό. praesidium. ἐστρατοπεδεύσαντο, 3. aor. pl. med. στρατοπεδεύω, -ομαι, castra pono. ἔτεμεν, 3. aor. 2. sg. τέμνω, concido. ἔφυσας, 2. aor. 1. sg. φύω, gigno. — ἥβη, pubertas. ἡμίβρωτος, ὁ. ἡ. semesus. ἠνάγκασε, 3. aor. 1. sg. ἀναγκάζω, cogo. ἧπαρ, ατος, τό. iecur. — θυγάτηρ, έρος, ἡ. filia. θώραξ, ακος, ὁ. lorica. — ἱμάς, άντος, ὁ. lorum. habena. ἱππεύς, έως, ὁ. eques. ἰσχυρός, ά, όν, validus. — κατέθεντο, 3. aor. 2. pl. med. (κατατίθημι), deposuerunt. κείρεσθαι, Inf. praes. pass. c. Acc. absumi quod ad aliquid. κελεύσας, Part. aor. 1. κελεύω, iubeo. κνήσαις, 2. opt. aor. 1. act. sg. κνάω, scabo. titillo. κοινός, ή, όν, communis. κύων, κυνός, ὁ. canis. — λαβών, Part. aor. 2. λαμβάνω. λεία, ἡ. praeda. λέων, οντος, ὁ. leo. λύγξ, γός, ἡ. singultus. λύσω, 1. fut. sg. λύω, solvo. — μαθεῖν. Inf. aor. 2. act. μανθάνω, disco. μή, non. ne. μή — μηδέ, neque — neque

διπλασίους δὲ τῷ Ῥωμύλῳ προφανῆναι γύπας, διὸ καὶ νῦν μάλιστα χρῆσθαι γυψὶ Ῥωμαίους. — Οἱ πολέμιοι ἀσθενὲς νομίσαντες τὸ ἄκρον τῆς φάλαγγος ἔχειν ἀνέστρεφον. — Θώρακες ἐρύματα τῶν σωμάτων. — Ὁ σὸς πατὴρ ἔγημε νὴν τοῦ ἐμοῦ πατρὸς θυγατέρα. — Ῥωμύλος δρῦν ἔτεμεν ὑπερμεγέθη καὶ διεμόρφωσεν ὥσπερ τρόπαιον. — Ὁ Κῦρος πολλάκις χῆνας ἡμιβρώτους ἔπεμπε τοῖς φίλοις. — Ὁ Βροῦτος· ὄψομαί σε, ἔφη, ὦ δαῖμον κακέ, περὶ Φιλίππους. — Σύ, ὦ Ἔρως, ἀρχαιότερος εἶ πολὺ τοῦ Ἰαπετοῦ· ἢ διότι μὴ πώγωνα, μηδὲ πολιὰς ἔφυσας, διὰ ταῦτα καὶ βρέφος ἀξιοῖς νομίζεσθαι γέρων καὶ πανοῦργος ὤν; — Λύσω σε φής, ὦ Προμηθεῦ, ὃν ἐχρῆν βαρυτέρας πέδας ἔχοντα ὑπὸ ἑκκαίδεκα γυπῶν μὴ μόνον κείρεσθαι τὸ ἧπαρ, ἀλλὰ καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττεσθαι, ἀνθ' ὧν τὸ πῦρ ἔκλεψας καὶ τὰς γυναῖκας ἐδημιούργησας;

3. Τί δέ; Θεμιστοκλέα οὐκ ἀκούεις ἄνδρα ἀγαθὸν γεγονότα καὶ Κίμωνα καὶ Μιλτιάδην καὶ Περικλέα; — Ἅμα τῷ ἦρι ἐπορεύετο ὁ Δερκυλλίδας ἐκ τῶν Βιθυνῶν. — Εἰς τὰ πάντων ἀνθρώπων ἔθη

---

etiam. μὴ μόνον — ἀλλὰ καί, non solum — sed etiam. μήν, μηνός, ὁ. mensis. μῦθος. II, 3. μυριάς, άδος, ἡ. numerus decem millium. — ναῦς, νεώς, ἡ. navis. νομίζειν, -εσθαι, Inf. praes. act. et pass. νομίζω, existimo. νύξ, νυκτός, ἡ. nox. νῦν. nunc. — ὁρμήσαντες, Part. aor. 1. act. ὁρμῶμεν, 1. praes. pl. ὁρμάω, irruo. me concito. ὁπλίτης, ὁ. miles gravis armaturae. ὅπως, c. opt. ut. ὅρα, Imperat. praes. ὄψομαι, 1. fut. sg. ὁράω, video. — πανοῦργος, ον, callidus. vafer. παραπλεῖν, Inf. praes. praeternavigare. πατρίς, ίδος, ἡ. patria. πάνυ. I, 2. πλῆθος, εος, τό. copia. πέδη, ἡ. compes. πόλεμος, ὁ. bellum. πολιαί, αἱ. cani capilli. ποῦς, ποδός, ὁ. pes. τὰ πρὸ π. quae ante pedes sunt. πρός, c. Dat. apud. prope. προσήκει, impers. decet. προσιόντες, adpropinquantes. προφανῆναι, Inf. aor. 2. pass. (προφαίνω), adparuisse. πτάρε, Imper. aor. 2. πταίρω, sternuo. πῦρ, πυρός, τό. ignis. πώγων, ωνος, ὁ. barba. — ῥᾷον, comp. c. Gen. i. q. ἢ c. Acc. facilius. ῥίν, ῥινός, ἡ. nasus. — σός, ή, όν, tuus. στόμα, ατος, τό. os, oris. ἀπὸ στ. e memoria. στρατεύσαντες, Part. aor. στρατεύω, expeditionem suscipio. στρατοπεδευομένων τῶν Ἑ. Genit. absol. στρατιά, ἡ. exercitus. — τοιοῦτος — οἷος, talis, qualis. τρεῖς, τρία, tres. τρόπαιον, τό. tropaeum. — ὑδροποσία, ἡ. aquae potus. ὑπερμεγέθης, εος, ὁ. ἡ. immensus. — φέρετε, 2. praes. pl. φέρω. φῄς, 2. praes. sg. φασί, 3. pl. φημί. — χήν, νός, ὁ. anser. χιών, όνος, ἡ. nix. χρή, II, 3. ἐχρῆν, oportuit. χρῆσθαι, Inf. χράομαι, utor. ὥσπερ, ut. quasi. ὤνιος, ία, ον, venalis.

3. ἄγαλμα, ατος, τό. simulacrum. statua. ἄγριος, (ία), ιον, ferus. ἀγροῖκος, ὁ. rusticus. ἀγρός, II, 2. αἰδώς, οῦς, ἡ. verecundia. αἶξ, γός, ἡ. capra. ἄλσος, εος, τό. lucus. nemus. ἀμαθής, ές, ὁ. ἡ. indoctus. ἀμφορεύς, έως, ὁ. amphora. ἀμφότερος, έρα, ερον, uterque. ἀνόητος, ὁ, ἡ. amens. ἀντί, praep. c. Gen. pro. ἀπετείχιζε, 3. impf. sg. ἀποτειχίζω, intercludo. ἀπήγαγον, 3. aor. pl. ἀπάγω, domum reduco. ἄστυ, εος, τό.

βλέπετε. — Καὶ εὐνομίας καὶ αἰδοῦς εἰσιν ἅπασιν ἀνθρώποις βωμοί. — Τῶν ἀγαθῶν ἕνεκα δεῖ τὰ ἡδέα πράττειν, ἀλλ' οὐ τἀγαθὰ τῶν ἡδέων. — Οἱ Χάλυβες εἶχον θώρακας λινοῦς καὶ κνημῖδας καὶ κράνη. εἶχον δὲ καὶ δόρυ ὡς πεντεκαίδεκα πηχῶν μίαν λόγχην ἔχον. — Οἱ Ἕλληνες διαρπάζοντες τὰ χωρία τῶν Μοσσυνοίκων δελφίνων τεμάχη ἐν ἀμφορεῦσιν εὕρισκον τεταριχευμένα καὶ στέαρ ἐν τεύχεσι τῶν δελφίνων. — Οἱ ἀγροῖκοι σῦκα καὶ βότρυς καὶ ἐλάας συλλέγουσιν. — Ἰχθῦς τοὺς ἀμαθεῖς καὶ ἀνοήτους ὀνομάζουσιν. — Ὁ Τίβερις ῥεῖ ἐκ τῶν Ἀπεννίνων ὀρῶν. — Οἱ Ἀθηναῖοι ἀντὶ Κόνωνος ἐς Ἄνδρον ἔπεμψαν Φανοσθένην τέτταρας ναῦς ἔχοντα. οὗτος περιτυχὼν δυοῖν τριηροῖν Θουρίαιν ἔλαβεν αὐτοῖς ἀνδράσι. — Ἔνεστιν ἐν τῷ ἐν Σκιλλοῦντι χωρίῳ καὶ λειμὼν καὶ ἄλση καὶ ὄρη δένδρων μεστά, ἱκανὰ καὶ σῦς καὶ αἶγας καὶ οἶς καὶ βοῦς τρέφειν καὶ ἵππους. — Ἔνεισιν ἐν Σελινοῦντι ποταμῷ καὶ ἰχθύες καὶ κόγχαι. — Ἀλκιβιάδης ἀπετείχιζε τὴν Χαλκηδόνα ξυλίνῳ τείχει. — Ἡ οἰμωγὴ ἐκ τοῦ Πειραιῶς διὰ τῶν μακρῶν τειχῶν ἐς ἄστυ διῆκεν. — Ἦσαν αἱ πύλαι τῆς Κιλικίας καὶ τῆς Συρίας δύο τείχη, ἐπὶ δὲ τοῖς τείχεσιν ἀμφοτέροις ἐφειστήκεσαν πύλαι. — Ὅσα πετρώδη τῆς χώρας τῆς περὶ τὴν Φελλόην δρῦς τέ εἰσι καὶ θηρία, ἔλαφοι καὶ ὗς ἄγριοι. — Θεμιστοκλῆς κατεσκεύασε τὸν Πειραιᾶ. — Ἀρετῆς βέβαιαί εἰσιν αἱ κτήσεις μόναι.

---

urbs. αὐτοῖς ἀνδράσι λαβεῖν τι, una cum viris aliquid capere. αὐτόνομος, ὁ. ἡ. suis legibus vivens. ἀφεῖναι, Inf. aor. 2. ἀφίημι, dimitto. — βασιλεύς, έως, ὁ. rex. βέβαιος. II, 1. βλέπετε, 2. Imper. praes. pl. βλέπω. I, 2. βότρυς, υος, ὁ. uva. βοῦς, βοός, ὁ. ἡ. bos. — γένος, ους, τό. genus. — δασύς, εῖα, ύ, densus, hirsutus. δεῖ, I, 2. δελφίν (δελφίς), ῖνος, delphinus. δένδρον, τό. arbor. δεξιός, ά, όν, dexter. διά, c. Gen. per. διαρπάζοντες, Part. praes. διαρπάζω, diripio. διέβη, 3. aor. 2. sg. διαβαίνω, transeo. διῆκεν, 3. impf. sg. διήκω, penetro. pertineo. δόρυ, ατος, τό. hasta. δύναμις, εως, ἡ. vis. pl. copiae. — ἔθος, εος, τό, mos. εἴκοσι, viginti. εἶναι c. Gen. ἑαυτοῦ, sui imperii esse censebat. ἐκβολή, ἡ. I, 1. ἐλάα, ἡ. oliva. ἔλαφος, ὁ. ἡ. cervus. ἕνεκα, c. Gen. propter. ἐνεῖναι, inesse. ἐπεί, quum. postquam. ἔπεμψεν, 3. aor. sg. πέμπω, mitto. ἐπορεύετο, 3. impf. sg. πορεύομαι. εὐνομία, ἡ. aequitas. εὕρισκον, 3. impf. pl. εὑρίσκω. II, 2. ἐφειστήκεσαν, 3. plqpf. pl. (ἐφίστημι), exstructae erant (portae). imminebant. — ζῶον. II, 4. — ἡγεῖτο, 3. impf. sg. ἡγέομαι, c. Genit. dux sum. ἡδύς, εῖα, ύ, suavis. iucundus. ἥμερος, ον, mansuetus. — ἱκανός, ή, όν, idoneus. ἱστορεῖ, 3. praes. sg. ἱστορέω, narro. ἰχθύς, ύος, ὁ. piscis. — κατεσκεύασε, 3. aor. 1. sg. κατασκευάζω, exstrui iubeo. κατά, c. Acc. apud. κέρας, ατος, τό. cornu. κνημίς, ῖδος, ἡ. ocrea. Beinharnisch. κόγχη, ἡ. concha. κράνος, εος, τό. galea. κτῆσις, εως, ἡ. possessio. — λαμπρός, ά, όν, splendidus. λειμών, ῶνος, ὁ. pratum. λίνεος, έα, εον (λινοῦς), lineus. λόγχη, ἡ. lancea. hasta. — μάχη, ἡ. proelium. μεστός, ή, όν, c. Gen. plenus. μόνος, η, ον, solus. — νενικηκό-

— Γένος ἦν ὁ Ἀντίνους ἐκ Βιθυνίας· οἱ δὲ Βιθυνεῖς Ἀρκάδες εἰσίν. — Ἦσαν Ἡρακλεῖδαι συγγενεῖς τοῖς ἐν Αἰτωλίᾳ βασιλεῦσι. — Ἔστιν ἐν τῷ Εὐξείνῳ νῆσος κατὰ τοῦ Ἴστρου τὰς ἐκβολάς, Ἀχιλλέως ἱερά. ὄνομα μὲν τῇ νήσῳ Λευκή, περίπλους δὲ αὐτῇ σταδίων εἴκοσι, δασεῖα δὲ ὕλῃ πᾶσα καὶ πλήρης ζώων ἀγρίων καὶ ἡμέρων, καὶ ναὸς Ἀχιλλέως καὶ ἄγαλμα ἐν αὐτῇ.— Ἀρταξέρξης βασιλεὺς ἐνόμιζε δίκαιον, τὰς μὲν ἐν τῇ Ἀσίᾳ πόλεις ἑαυτοῦ εἶναι, τὰς δὲ ἄλλας Ἑλληνίδας πόλεις αὐτονόμους ἀφεῖναι. — Ἡρόδωρος ἱστορεῖ τὸν Ἡρακλέα χαίρειν ὑπὸ ἐπὶ πράξει φανέντος. — Ἐν τῇ μάχῃ τῇ περὶ τὰς Ἀργινούσας νήσους τοῦ δεξιοῦ κέρως Θράσυλλος ἡγεῖτο καὶ Περικλῆς ὁ Περικλέους τοῦ προσαγορευθέντος Ὀλυμπίου. — Ἀθηναῖοι τὰς δυνάμεις ἀπήγαγον ἐκ τῆς Κύπρου λαμπρὰν νίκην νενικηκότες. — Ἐπεὶ διέβη Ἀγησίλαος εἰς Ἀκαρνανίαν, πάντες οἱ ἐκ τῶν ἀγρῶν Ἀκαρνᾶνες ἔφυγον ἐς τὰ ἄστη.

4. Ἀντικυρεῦσιν εἰσὶ μὲν ἀνδριάντες ἐν τῇ ἀγορᾷ χαλκοῖ, ἔστι δὲ ἐπὶ τῷ λιμένι Ποσειδῶνι οὐ μέγα ἱερόν, λογάσιν ᾠκοδομημένον λίθοις. τῆς πόλεως δὲ ἐν δεξιᾷ πέτρα τέ ἐστιν ὑψηλὴ καὶ ἱερὸν ἐπ' αὐτῆς πεποιημένον ἐστὶν Ἀρτέμιδος, ἔργον τῶν Πραξιτέλους, δᾷδα ἔχουσα ἐν τῇ δεξιᾷ καὶ ὑπὲρ τῶν ὤμων φαρέτραν· παρὰ δὲ αὐτὴν

τες, Part. perf. νικάω, vinco. νίκην ν. victoriam deportare. — ξύλινος, ίνη, ινον, ligneus. — οἰμωγή, ἡ. eiulatus. οἷς (ὄϊς), οἰός, ὁ. ἡ. ovis. ὄνομα, ατος, τό. nomen. ὀνομάζουσιν, 3. praes. pl. ὀνομάζω, nomino. ὄρος, εος, τό. mons. — πεντεκαίδεκα, quindecim. περίπλους, ου, ὁ. circumvectio. Umschiffung. περιτυχών, Part. aor. περιτυγχάνω c. Dat. occurro. πετρώδης, εος, ὁ. ἡ. saxosus. πῆχυς, εως, ὁ. ulna. cubitus. πλήρης, εος, ὁ. ἡ. c. Gen. refertus. πρᾶξις, εως, ἡ. actio. ἐπὶ πρ. in re agenda. πράττειν, facere. προσαγορευθείς, έντος, cognomine adpellatus. πύλη, ἡ. porta. — ῥεῖ, 3. praes. sg. ῥέω, fluo. — στάδιον, τό. stadium. στέαρ, ατος, τό. sebum. συγγενής. III, 1. σῦκον, τό. ficus. συλλέγουσιν, 3. praes. pl. συλλέγω, colligo. — τεῖχος, εος, τό. murus. τέμαχος, εος, τό. frustum. τεταριχευμένος, η, ον, Part. perf. pass. ταριχεύω, sale condio. τεῦχος, εος, τό. vas. τί δέ; quid? τρέφειν, nutrire. τριήρης, εος, ἡ. triremis. — ὕλη, ἡ. silva. ὗς, ὑός, ὁ. ἡ. sus. porcus. — φανείς, έντος, is qui adparuit. χαίρειν, gaudere. delectari. χώρα. II, 3. χωρίον. II, 2.

4. ἀγορά, ἡ. forum. ᾅδης, ου, ὁ. orcus. tartarus. αἰσθανόμεθα (αἰσθάνομαι), intelligimus. sentimus. ἀκίνητος, ὁ. ἡ. immobilis. ἄκρος, α, ον, extremus. ἀνδριάς, άντος, ὁ. statua. ἀνευρίσκουσι, 3. praes. pl. ἀνευρίσκω, invenio. investigo. ἄπιστος, ὁ, ἡ. infidus. ἀπολαύουσιν, 3. praes. pl. ἀπολαύω, fruor. (ἀρήν), ἀρνός, agnus. ἀριστερός, ά, όν, sinister. ἄρχων, οντος, ὁ. princeps. praeses. ἀσπίς, ίδος, ἡ. clypeus. ἄφρων, ονος, ὁ. ἡ. amens. — βόσκημα, ατος, τό. pecus. — γάλα, ακτος, τό. lac. γέλως, ωτος et ω, ὁ. risus. γίγνεται, 3. praes. sg. γίγνομαι. — δᾷς, δᾳδός, ἡ. taeda. fax. δεδεμένος, Part. perf. pass. δέω, vincio. δεσμός, οῦ, ὁ. vin-

κύων ἐν ἀριστερᾷ, μέγεθος δὲ ὑπὲρ τὴν μεγίστην γυναῖκα τὸ ἄγαλμα. — Ἐν τῷ χειμῶνι πολλὰ ὕδατα γίγνεται, καὶ ὕλη πολλάκις ὑπὸ τῶν ὑδάτων συνεξορμᾷ καὶ παρέχει πνιγμὸν τῷ σίτῳ. — Ἐσθὴς ἄλλη μὲν γυναικί, ἄλλη δὲ ἀνδρὶ καλή. ἀνδρὸς μὲν ἕνεκα ἀνὴρ οὐδεὶς μύρῳ χρίεται· αἱ δὲ γυναῖκες μύρου προσδέονται. — Γέλως μὴ πολὺς ἔστω, μηδ' ἐπὶ πολλοῖς. — Γυναικὶ κόσμον ἡ σιγὴ φέρει. — Δίακος τὰς κλεῖς τοῦ ᾅδου φυλάττει. — Αἰγῶν καὶ οἰῶν καὶ ἵππων καὶ βοῶν καὶ ὄνων καὶ ὑῶν καὶ τῶν ἄλλων ζώων ἀγαθὰ ἀπολαύουσιν ἄνθρωποι. — Πολὺ γένος ἀνθρώπων τοῖς μὲν ἐκ τῆς γῆς φυομένοις εἰς τροφὴν οὐ χρῶνται, ἀπὸ δὲ βοσκημάτων γάλακτι καὶ τυρῷ καὶ κρέασι τρεφόμενοι ζῶσιν. — Οἱ Τυνδάρεω παῖδες σωτῆρες νεῶν καὶ ἀνθρώπων εἰσὶ ναυτιλλομένων. — Ζεὺς ἦν, Ζεὺς ἔστι, Ζεὺς ἔσσεται, ὦ μεγάλε Ζεῦ! — Ξενοφῶν εἶδεν ὄναρ, καὶ τὸ ὄναρ πῇ μὲν ἔκρινεν ἀγαθόν, ὅτι φῶς μέγα ἐκ Διὸς ἰδεῖν ἔδοξε, πῇ δὲ καὶ ἐφοβεῖτο, ὅτι ἀπὸ Διὸς βασιλέως τὸ ὄναρ ἐδόκει αὐτῷ εἶναι. — Ὁ Περσῶν βασιλεὺς πάντας ἡγεῖτο δούλους πλὴν τῆς αὐτοῦ γυναικός. — Κύων ἐπὶ τοῖς προβάτοις ἐπιτήδειός ἐστιν. — Αἱ κύνες τῇ ὀσμῇ ἀνευρίσκουσι τὰ ἐν ποσίν. — Λέγουσιν Κώων παῖδες, ἐν Κῷ τεκεῖν ἔν τινι ποίμνῃ ὄϊν· τεκεῖν δὲ οὐκ ἄρνα, ἀλλὰ λέοντα. — Διὰ τῶν ὤτων αἰσθανόμεθα. — Εἰσὶ τῆς ἰχνεύσεως πολλοὶ τρόποι ἐκ τῶν αὐτῶν κυνῶν· αἱ μὲν γάρ, ἐπειδὰν λάβωσι τὰ ἴχνη, τὰ ὦτα διακινοῦσιν, αἱ δὲ τὰ

---

culum. vid. Buttm. §. 56, 6. διασπᾷ, 3. praes. sg. διασπάω, divello. διακινοῦσιν, 3. praes. pl. διακινέω, permoveo. concutio. — ἐδούπησεν, 3. aor. 1. sg. δουπέω, sonitum edo. εἶδεν, 3. aor. sg. ἰδεῖν, Inf. aor. ὁράω, video. ἔκρινεν, 3. impf. sg. κρίνω, censeo. ἕνεκα. III, 3. ἐπειδάν, c. coniunct. simulac. ἔπειτα, postea. ἐπέλιπεν, 3. aor. 2. sg. (ἐπιλείπω), non suppetebat. ἐπιτήδειος, ον, idoneus. ἔργον, τό. opus ab artifice elaboratum, h. l. c. Gen. (τῶν Π.) et eorum quidem a Praxitele confectorum. ἔσσεται, poet. pro ἔσται. ἐφοβεῖτο, 3. impf. sg. (φοβέω. φοβέομαι), timebat. — ζῶσιν, 3. praes. pl. ζάω, vivo. — ἥρως, ωος, ὁ. heros. — ἱππονόμος, ὁ. pastor equorum. ἵππος, ὁ. ἡ. equus. ἴχνευσις, εως, ἡ. investigatio. ἴχνος, εος, τό. vestigium. — κατά, c. Acc. κατὰ φύσιν τῆς τριχός, secundo pilo. nos: nach d. Richtung des Haares. κατέχειν, tenere, continere risum (γέλωτα). κηδεμών, όνος, ὁ. (ἡ). curator. κλείς, δός, ἡ. clavis. κόνις, εως, ἡ. pulvis. κρέας, ατος, τό. caro. — λάβωσι, 3. Coniunct. aor. 2. act. pl. λαμβάνω. λίθος, ὁ. ἡ. lapis. λιμήν. III, 1. λογάς, άδος, ὁ. ἡ. delectus. λίθοι λογ. ex agro collecti lapides. λύκος, ὁ. lupus. — μάρτυς, υος, ὁ. testis. μέγεθος, εος, τό. magnitudo. μή — μηδέ. III, 2. μύρον, τό. unguentum. — ναυτιλλόμενος (ναυτίλλομαι) navigans. — ὄναρ, τό. somnium. ὄνος, ὁ. asinus. ὀσμή, ἡ. odor. οὐρά, ἡ. cauda. οὖς, ὠτός, τό. auris. — παρέχει, 3. praes. sg. παρέχω, praebeo. πεποιημένος, Part. pf. pass. ποιέω, facio. πέτρα, ἡ. lapis. saxum. πῇ μέν — πῇ δὲ καί, partim — partim vero etiam. πλήν, praep. c. Gen. praeter. πνιγμός, ὁ. suffocatio. ποίμνη, ἡ.

ὦτα μὲν ἀκίνητα ἔχουσιν, ἄκρᾳ δὲ τῇ οὐρᾷ σείουσιν. — Οἱ ἄφρονες οὐ δύνανται κατέχειν τὸν γέλωτα. — Οἱ Ἕλληνες ὡς ταῖς ἀσπίσι πρὸς τὰ δόρατα ἐδούπησαν, φόβον ἐποίουν τοῖς ἵπποις τῶν πολεμίων. — Τὸ ὕδωρ ἐκ τῶν φρεάτων ἐπέλιπεν. — Κῦρος ἔθυε πρῶτον μὲν Διὶ βασιλεῖ, ἔπειτα δὲ καὶ ἥρωας γῆς Μηδίας οἰκήτορας καὶ κηδεμόνας συμπαρεκάλει. — Ὁ ἵππος δεδεμένος ῥᾳδίως διασπᾷ τὰ δεσμά. — Χρὴ τὸν ἱπποκόμον σοβεῖν τὴν τοῦ ἵππου κόνιν οὐ κατὰ φύσιν τῆς τριχός. — Λύκος ὅμοιος κυνί. — Χρῆσις πλούτου μάρτυς. — Ὁ Θαλῆς Μιλήσιος ἦν καὶ γένους λαμπροῦ. — Ὦτα ἀπιστότερα ὀφθαλμῶν. — Ὁ δῆμος Ἀθηναῖος ἄρχων ἦν καὶ τῆς ἀγορᾶς καὶ τῶν λιμένων καὶ τῆς Πυκνός.

IV.

1. Ἀριστοτέλης τῆς παιδείας ἔφη τὰς μὲν ῥίζας εἶναι πικράς, γλυκεῖς δὲ τοὺς καρπούς. — Οἱ Αἰγύπτιοι ἐκ χαλκῶν ποτηρίων πίνουσιν. — Λυκοῦργος ἀκυρώσας πᾶν νόμισμα χρυσοῦν καὶ ἀργυροῦν μόνῳ χρῆσθαι τῷ σιδηρῷ προσέταξε. — Πόλεμος ἔνδοξος εἰρήνης αἰσχρᾶς αἱρετώτερος. — Βραχὺς ὁ βίος, ἡ δὲ τέχνη μακρά. — Ἡ

---

grex ovium. πολέμιος, ία, ιον, infestus. ὁ π. hostis. πρόβατον, τό. pecus. ovis. προσδέονται, 3. praes. pl. προσδέομαι. c. Gen. indigeo. — ῥᾳδίως, facile. — σείουσιν, 3. praes. pl. σείω, moveo. σείειν τῇ οὐρᾷ, mit dem Schwanze wedeln. σιγή, ἡ. silentium. σῖτος, ὁ. fruges. seges. σοβεῖν, detergere. excutere. συμπαρεκάλει, 3. impf. sg. συμπαρακαλέω, una advoco. συνεξορμᾷ, 3. praes. sg. una prorumpit. συνεξορμάω. — τεκεῖν, Inf. aor. 2. τίκτω, pario. τρεφόμενος, η, ον (τρέφω), nutritus. τρόπος, ὁ. ratio. modus. τροφή, ἡ. victus. τυρός, ὁ. caseus. — ὕδωρ, ὕδατος, τό. aqua. τὰ ὕ. imbres. ὑπέρ, c. Gen. super. supra. c. Acc. ultra. trans. ὑψηλός, ή, όν. altus. excelsus. φαρέτρα, ἡ. pharetra. φόβος, ὁ. timor. φρέαρ, ατος, τό. puteus. φυλάττει, 3. praes. sg. φυλάττω, custodio. φυόμενος (φύω), procreatus. φῶς, φωτός, τό. lux. lumen. — χάλκεος, έα, εον, aereus. χειμών, ῶνος, ὁ. hiems. χρῆσις, εως, ἡ. usus. χρίω, unguo. ᾠκοδομημένος, Part. pf. pass. (οἰκοδομέω), aedificatus. ὦμος, ὁ. humerus.

IV, 1—2. Motio atque comparatio sive gradatio Adiectivorum. quibus capitibus ea sufficiat hic subministrasse, quae Grammatica non facile tibi largiatur. si quid igitur desideraveris, adi Buttm. §. 59 sq. Matth. §. 105 sq.

1. ἀγάλλονται, 3. praes. pl. ἀγάλλομαι c. Dat. laetor. ἄγκυρα, ἡ. ancora. praesidium. ἀγχίνοος, ον, ὁ. ἡ. sollers. sagax. αἱρετός, ή, ον, optabilis. ἀκυρώσας, Part. aor. 1. ἀκυρόω, irritum reddo. ἀνάπλεως. II, 4. ἀπόλεμος, ὁ. ἡ. imbellis. ἀπορία, ἡ. inopia. ἀργύριον, τό. argentum. ἀργύρεος, έα, ον. argenteus. ἅρπαξ, αγος, rapax. ἄῤῥην, ενος, mas. masculus. ἀσθενής. III, 2. ἀσφαλής. III, 2. ἄφρων. III, 4. — βραχύς, εῖα, ύ, brevis. — γίγνωνται, 3. praes. Coniunct. pl. γίγνομαι. — δένδρον. III, 3.

Σικελία νῆσος εὐδαίμων καὶ πολυάνθρωπος. — Ἀρετῆς οὐδὲν χρῆμα σεμνότερον οὐδὲ βεβαιότερόν ἐστιν. — Δόξα ἀσθενὴς ἄγκυρα, πλοῦτος ἔτι ἀσθενεστέρα. — Τῆς Ἀσσυρίας ἐστὶ καὶ ἄλλα πολίσματα μεγάλα πολλά, τὸ δ' ὀνομαστότατον καὶ ἰσχυρότατόν ἐστι Βαβυλών. — Ἀγαθῷ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίγνεται φθόνος. — Τοὺς φρονίμους ἔλεγεν ὁ Κάτων μᾶλλον ὑπὸ τῶν ἀφρόνων, ἢ τοὺς ἄφρονας ὑπὸ τῶν φρονίμων ὠφελεῖσθαι. — Τὸ πολύτροπον τοῦ Ἀλκιβιάδου οὐκ ὢν ἁπλοῦς, ἀλλὰ κακοήθης καὶ φιλοπόνηρος ἐθαύμαζεν ὁ Τισσαφέρνης. — Κῦρος ἑκόντων μὲν ἡγήσατο Μήδων, ἑκόντων δὲ Ὑρκανίων. — Πάντη πάντα τοῖς θεοῖς ὕποχα καὶ πανταχῇ πάντων ἴσον οἱ θεοὶ κρατοῦσι. — Πᾶσα μὲν τοῖς ἀνδρείοις ὁδὸς εὔπορος, πᾶς δὲ ποταμὸς διαβατός, τῶν δ' ἐπιτηδείων οὐκ ἀπορία. — Παρασκευαστικὸν τῶν εἰς τὸν πόλεμον τὸν στρατηγὸν εἶναι χρὴ καὶ πορίστικὸν τῶν ἐπιτηδείων τοῖς στρατιώταις καὶ μηχανικὸν καὶ ἐργαστικὸν καὶ ἐπιμελῆ καὶ καρτερικὸν καὶ ἀγχίνουν καὶ φιλόφρονά τε καὶ ὠμὸν καὶ ἁπλοῦν τε καὶ ἐπίβουλον καὶ φυλακτικόν τε καὶ κλέπτην καὶ προστικὸν καὶ ἅρπαγα καὶ φιλόδωρον καὶ πλεονέκτην καὶ ἀσφαλῆ καὶ ἐπιθετικὸν καὶ ἄλλα πολλά. — Τὸ ψεῦδος οὐ δύνασαι ἀληθὲς ποιεῖν. — Λέγε τἀληθῆ! — Οἱ θεοὶ δοκοῦσι τὸ ζεῦγος τοῦτο συντεθεικέναι, ὃ καλεῖται θῆλυ καὶ ἄρρεν. — Τὸ εὔχαρι μὴ σκώμμασιν, ἀλλὰ τρόπῳ ἐπιτήδευε. — Ὁ Κῦρος αὐτὸς μένων ἐν Σάρδεσι

διαβατός, ή, όν, qui transiri potest. δύνασαι, 2. praes. sg. δύναμαι. δύσπλοος, ὁ. ἡ. difficilis navigatu. δωροδοκεῖν, oblata munera accipere iisque corrumpi. — ἐγγίγνεται, 3. praes. sg. ἐγγίγνομαι, insum. ἐθαύμαζεν, 3. impf. sg. θαυμάζω, admiror. ἐθελοντής, οῦ, voluntarius. ἔκφρων, ονος, ὁ. ἡ. amens, consternatus. ἑκών, όντος, volens. ἐπίβουλος, ὁ. ἡ. insidiosus. ἐπιθετικός, ή, όν, paratus ad adgrediendum. ἐπιμελής, ές, sedulus. ἐπιτήδειος. III, 4. ἐπιτήδευε, Imp. praes. ἐπιτηδεύω, curo. ἐργαστικός, ή, όν, strenuus. impiger. ἐρυθρός, ά, όν, ruber. ἡ ἐρ. (θάλαττα), sinus Persicus. εὔγεως, ων, fertilis. εὐδαίμων, ονος, ὁ. ἡ. opulentus. εὔπορος, ον, facilis meatu. expeditus. εὔχαρις, ιτος, ὁ. ἡ. gratiosus. facetus. — ζεῦγος, εος, τό. iugum. — ἡγήσατο, 3. aor. sg. ἡγέομαι. III, 3. — θῆλυς, εια, υ, femineus. — ἵνα, c. Coni. nt. — κακοήθης, ὁ. ἡ. malignus. καλοῦμαι, 1. praes. pass. sg. καλέω, voco. καρτερικός, ή, όν, tolerans laborum. κλέπτης, ου, ὁ. fur. — μέσος, η, ον, medius. κατὰ τὸ μ. in media parte. μηχανικός, ή, όν, vafer. — νέος, α, ον, novus. ὁ ν. iuvenis. νόμισμα, ατος, τό. aes signatum. — ὀνομαστός, ή, όν, celeber. οὐ — οὐδέ, neque — neque. οὐδέποτε, haud unquam. — πανταχῇ, πάντη, undique. ubique. πάνυ. I, 2. παραπλήξ, ῆγος, vesanus. παρασκευαστικός, ή, όν, peritus adparandi. πικρός, ά, όν, amarus. πίνουσιν, 3. praes. pl. πίνω, bibo. πλατύς, εῖα, ύ, latus. πλεονέκτης, ου, ὁ. cupidus possidendi. πόλισμα, ατος, τό. oppidum. πολυάνθρωπος, ον, incolis frequens. πολύτροπος, ον, versutus. πόνος, ὁ. labor. πορίστικός, ή, όν, qui facile aliquid

Ἀδούσιον, ἄνδρα Πέρσην, καὶ τἆλλα οὐκ ἄφρονα οὐδ' ἀπόλεμον, καὶ πάνυ δὴ εὔχαριν πέμπει ἐπὶ τὴν Καρίαν. — Τὸ δωροδοκεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ἔκφρονας καὶ παραπλῆγας ποιεῖ. — Πένης καλοῦμαι. — Ἀργύριον λαμβάνει ὁ δῆμος, ἵνα αὐτός τε ἔχῃ καὶ οἱ πλούσιοι πενέστεροι γίγνωνται. — Μὴ φεῦγε τοὺς πόνους, ἀλλ' ἐθελοντὴς ὑπόμενε. — Ἡ ἐρυθρὰ δύσπλους ἐστίν. — Ὁ Ἑλικὼν πάνυ ἐστὶν εὔγεως καὶ δένδρων ἀνάπλεως. — Ἡ Κρήτη πλατυτάτη ἐστὶ κατὰ τὸ μέσον. — Οἱ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται.

2. Ὁ θάνατος κοινὸς καὶ τοῖς χειρίστοις καὶ τοῖς βελτίστοις. — Ὁ κροκόδειλος ἐξ ἐλαχίστου γίγνεται μέγιστος· τὸ μὲν γὰρ ὠὸν οὐ μεῖζόν ἐστι χηνείου, αὐτὸς δὲ γίγνεται καὶ ἑπτακαιδεκάπηχυς. — Μὴ ἐν πολλοῖς ὀλίγα λέγε, ἀλλ' ἐν ὀλίγοις πολλά. — Εἰ οἱ πλούσιοι ἰσχύσουσιν, ὀλίγιστον χρόνον ἡ ἀρχὴ ἔσται τοῦ δήμου τοῦ Ἀθήνῃσιν. — Τῇ πολιτείᾳ ἀγαθόν ἐστιν τοὺς βελτίστους σώζειν ἀεὶ ἐν ταῖς πόλεσιν. — Οἴονται τοὺς ἀχαρίστους καὶ περὶ θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν. — Ὁ Κῦρος τὴν στρατιὰν κατέταξεν ὡς ἐδύνατο κάλλιστα καὶ ἄριστα. — Ὁπότερος ἡμῶν καὶ συμφορώτερα καὶ καλλίω εἰς τὸν ἀεὶ χρόνον διαπέπρακται, οὗτός ἐστιν ὁ νικῶν. — Ὅσῳ ἂν πλείους ἐργάζωνται, τόσῳ πλεῖον τἀγαθὰ εὑρήσουσιν. — Οἱ Ἀθηναῖοι τοὺς χείρους αἱροῦνται ἐν ταῖς πόλεσι ταῖς στασιαζούσαις· εἰ μὲν γὰρ ᾑροῦντο τοὺς βελτίους, ᾑροῦντ' ἂν οὐχὶ τοὺς ταὐτὰ γιγνώσκοντας σφίσιν αὐτοῖς· ἐν οὐδεμιᾷ γὰρ πόλει τὸ βέλτιστον εὔνουν ἐστὶ τῷ δήμῳ, ἀλλὰ

---

comparat. ποτήριον, τό. poculum. προετικός, ή, όν, ad largiendum propensus. προσέταξε, 3. aor. 1. sg. προστάττω, praecipio. — ῥίζα, ἡ. radix. — σεμνός, ή, όν, augustus. castus. σιδήρεος (οῦς), έα, εον, ferreus. σκῶμμα, ατος, τό. cavillatio. συντεθεικέναι, Inf. perf. act. συντίθημι, compono. iungo. — ὑπόμενε, Imperat. praes. ὑπομένω, sustineo. ὕποχος, ον, subiectus alicui. — φεῦγε, Imp. praes. φεύγω, fugio. φιλόδωρος, ον, munificus. φιλοπόνηρος, ον, improbis amicus. φιλόφρων, ονος, ὁ. ἡ. benevolus. φθόνος, ὁ. invidia. φρόνιμος, ον, prudens. φυλακτικός, ή, όν, cautus. — ψεῦδος, εος, τό. mendacium. — ὠμός, ή, όν, durus. severus. ὠφελεῖσθαι, utilitatem percipere.

2. ἀγέννητος, ον, non natus. ἀεί, semper. εἰς τὸν ἀεὶ χρόνον, in omne tempus, in sempiternum. Ἀθήνησιν, i. q. ἐν Ἀθήναις. ἆθλον, τό. praemium certaminis. αἱροῦνται, 3. praes. pl. ᾑροῦντο, 3. impf. pl. med. αἱρέομαι, mihi eligo. ἀνάγκη, ἡ. necessitas. ἀπέχει, 3. praes. sg. (ἀπέχω), c. Genit. distat. ἀποθνήσκων, Part. praes. ἀποθνήσκω, morior. ἀργύρια, τά. argentifodinae. ἀχάριστος, ον, ingratus. — γεωργία, ἡ. agricultura. γιγνώσκων, οντος, Part. praes. γιγνώσκω, cognosco. — διαντλῶν, Part. praes. διαντλέω, tolero. διαπέπρακται, 3. perf. med. sg. διαπράττω, conficio. perficio. — ἐβούλου, 2. impf. sg. βούλομαι. ἐδύνατο, 3. impf. sg. δύναμαι. ἔκαυσεν, 3. aor. 1. sg. καίω, incendo. ἑξακόσιοι, αι, α, sex-

τὸ κάκιστον. — Ἀνδρὶ καλῷ τε κἀγαθῷ ἐργασία καὶ ἐπιστήμη κρατίστη ἡ γεωργία. δοκεῖ γὰρ μαθεῖν τε ῥᾴστη εἶναι καὶ ἡδίστη ἐργάζεσθαι, καὶ τὰ σώματα κάλλιστά τε καὶ εὐρωστότατα παρέχεσθαι. — Ἐν μέσῳ κεῖται τὰ ἀγαθὰ ἆθλα. — Διονύσιος ὁ δεύτερος ἐν μεσαιτάτῳ τῆς Ἑλλάδος ἠσχημόνει βίον διαντλῶν ἀλγεινότατον. — Ἡμῶν καλῶς ποιούντων ἅμα παρόντα ἅπαντα καὶ σαώτερά ἐστι καὶ θᾶσσον τὰ δέοντα ἔχουσιν οἱ πολῖται. — Ἡ Σπάρτη δυνατωτάτη τε καὶ ὀνομαστοτάτη ἐν τῇ Ἑλλάδι ἐφάνη. — Πρεσβύτατον τῶν ὄντων θεός, ἀγέννητος γάρ· κάλλιστον κόσμος, ποίημα γὰρ θεοῦ· τάχιστον νοῦς, διὰ παντὸς γὰρ τρέχει· ἰσχυρότατον ἀνάγκη, κρατεῖ γὰρ πάντων. — Τὰ χείρω τῶν κρειττόνων ἕνεκά ἐστιν. — Αἰθίοπες, ἔφη Ὅμηρος, ἔσχατοι ἀνδρῶν. — Σὺ δέ, ὦ φίλτατε Ἀπολλόδωρε, ἔφη Σωκράτης, μᾶλλον ἂν ἐβούλου με ὁρᾶν δικαίως ἢ ἀδίκως ἀποθνήσκοντα; — Ὁ Τίμων μηρία ταύρων τε καὶ αἰγῶν πιότατα ἔκαυσεν ἐπὶ τῶν βωμῶν. — Οἱ Ἀθηναῖοι θύουσι Διῒ ὑπάτῳ καὶ Ἀθηνᾷ ὑπάτῃ. — Ἔξεστιν ὑμῖν προτέροις τῶν ἀπόντων ἀρίστου τυχεῖν. — Καμβύσης συνέλεξε τοὺς γεραιτέρους Περσῶν. — Ἀπέχει τῶν ἀργυρίων ἡ ἐγγύτατα πόλις Μέγαρα πολὺ πλεῖον τῶν πεντακοσίων σταδίων· ἀπέχει δὲ ἡ μετὰ ταῦτα πλησιαίτατα Θῆβαι πολὺ πλεῖον τῶν ἑξακοσίων.

V.

Δημήτριός τις εἶπε τῷ Νέρωνι· σὺ μὲν ἀπειλεῖς ἐμοὶ τὸν θάνα-

---

centi. ἔξεστιν. I, 2. ἐπιστήμη, ἡ. I, 1. ἑπτακαιδεκάπηχυς, septemdecim ulnas aequans. ἐργάζεσθαι, Inf. praes. ἐργάζωνται, 3. Coni. praes. pl. ἐργάζομαι, laboro. exerceo. ἐργασία, ἡ. opus. labor. εὑρήσουσιν, 3. fut. pl. εὑρίσκω. εὔρωστος, ον, robustus. ἐφάνη, 3. aor. sg. (φαίνεσθαι), se praestitit. ἔχειν, c. Adverb. (ἀμελῶς), non colere aliquem (περί τινα). ἠσχημόνει, 3. impf. sg. ἀσχημονέω, turpiter me gero. — ἰσχυρός. III, 2. ἰσχύσουσιν, 3. fut. pl. ἰσχύω, potens sum. — κατέταξεν, 3. aor. 1. sg. καταστάττω, instruo. κεῖται, 3. praes. sg. κεῖμαι, iaceo. propositus sum. κρατεῖ, 3. praes. sg. κρατέω, c. Gen. dominor. κροκόδειλος, ὁ. crocodilus. — μαθεῖν, Inf. aor. 2. μανθάνω. μηρία, τά. (μηρίον), femur. — νικῶν, Part. praes. νικάω. οἴονται, 3. praes. pl. οἴομαι, arbitror. ὀνομαστός. IV, 1. ὁπότερος, έρα, ερον, uter. — παρέχεσθαι, Inf. praes. med. παρέχω, -ομαι, exhibeo. praebeo. reddo. πολιτεία, ἡ. administratio reipublicae. ποίημα, ατος, τό. opus. — στασιάζων, ουσα, ον, Part. praes. στασιάζω, seditionem moveo. σύμφορος, ον. utilis. συνέλεξε, 3. aor. sg. συλλέγω, colligo. σώζειν, servare. — ταῦρος, ὁ. taurus. τρέχει, 3. praes. sg. τρέχω, curro. τυχεῖν, Inf. aor. 2. τυγχάνω, c. Gen. consequor. — χήνειος, εία, ειον, anserinus. — ᾠόν, τό. ovum. ὡς, c. superl. (κάλλιστα), quam fieri potest pulcherrime.

V. Pronomina. Buttm. §. 72 sq. Matth. §. 145.

τον, σοὶ δὲ ἡ φύσις. — Εὔχομαι τοῖς θεοῖς ἐπὶ μήκιστον ὑμᾶς βιῶναι, σέ τε αὐτὸν καὶ παῖδας τοὺς σούς. — Οὐδὲν οὕτως ἡμέτερόν ἐστιν, ὡς ἡμεῖς ἡμῖν αὐτοῖς. — Τοῖς σεαυτοῦ πρᾶος ἴσθι. — Οἱ Ἀθηναῖοι τοὺς συμμάχους ἀναγκάζουσι πλεῖν ἐπὶ δίκας Ἀθήναζε, καὶ τοὺς μὲν σώζουσι, τοὺς δ' ἀπολλύουσιν ἐν τοῖς δικαστηρίοις· εἰ δὲ οἶκοι εἶχον ἕκαστοι τὰς δίκας, ἅτε ἀχθόμενοι τοῖς Ἀθηναίοις τούτους ἂν σφῶν αὐτῶν ἀπώλλυσαν, οἵτινες φίλοι μάλιστα ἦσαν Ἀθηναίων τῷ δήμῳ. — Γνῶθι σεαυτόν. — Νόμος οὗτος Περσικός· ὅταν εἰς ἀγροὺς ἐλαύνῃ ὁ βασιλεύς, πάντες Πέρσαι κατὰ τὴν ἑαυτοῦ δύναμιν ἕκαστος δῶρα αὐτῷ κομίζουσιν. — Τί δέ; ὦ Ἱππία, ἔφη ὁ Σωκράτης, οὐκ ᾔσθησαι ὅτι ἐγὼ ἃ δοκεῖ μοι δίκαια εἶναι οὐδὲν παύομαι ἀποδεικνύμενος; Καὶ ποῖος δή σοι, ἔφη ὁ Ἱππίας, οὗτος ὁ λόγος ἐστίν; Εἰ δὲ μὴ λόγῳ, ἔφη, ἀλλ' ἔργῳ ἀποδείκνυμαι. — Ὁ Κυαξάρης· Νῦν δοκεῖ μοι καιρός, ἔφη, εἶναι περὶ τούτου διαλέγεσθαι πρῶτον, πότερον στρατεύεσθαι καιρὸς δοκεῖ εἶναι ἔτι, ἢ διαλύειν ἤδη τὴν στρατιάν· λεγέτω οὖν τις περὶ αὐτοῦ τούτου ᾗ γιγνώσκει. ἐκ τούτου πρῶτος εἶπεν ὁ Ὑρκάνιος· Ἄνδρες σύμμαχοι, οὐκ οἶδα μὲν ἔγωγε, εἴ τι δεῖ λόγων ὅπου αὐτὰ τὰ ἔργα δεικνύει τὸ κράτιστον. πάντες γὰρ ἐπιστάμεθα, ὅτι ὁμοῦ μένοντες πλείω κακὰ τοὺς πολεμίους ποιοῦμεν ἢ πάσχομεν· ὅτε δὲ χωρὶς ἡμεν ἀλλήλων, ἐκεῖνοι ἡμῖν ἐχρῶντο ὡς ἐκείνοις ἦν ἥδιστον, ἡμῖν γε μὴν ὡς χαλεπώτατον. — Εὐαριθμήτοις τισὶν ἔδοσαν τοῦτο γέρας οἱ θεοί, ἐξ

Ἀδικεῖ, 2. praes. pass. sg. (ἀδικέω), ἀδικέομαι, iniuriam patior. Ἀθήναζε, i. q. εἰς Ἀθήνας. ἀνεῖναι, Inf. aor. 2. (ἀνίημι), dimittere. ἀναγκάζουσι, 3. praes. pl. ἀναγκάζω, cogo. ἀπειλεῖς, 2. praes. sg. ἀπειλέω, minor. ἀποδείκνυμαι, declaro. ἀπολλύουσιν, 3. praes. pl. ἀπώλλυσαν, 3. impf. pl. ἀπόλλυμι s. ἀπολλύω, perdo. ἅτε, c. Part. (ἀχθόμενοι), quippe irascentes Atheniensibus. — βαρβαρικός, ή, όν, barbaricus. βιῶναι, Inf. aor. 2. (βιόω), vivere. — γέρας, αος, τό. munus. γιγνώσκει, 3. praes. sg. γνῶθι, Imp. aor. 2. γιγνώσκω. — δεικνύει, 3. praes. sg. δεικνύω, ostendo. διαλέγεσθαι, disputare. disserere. διαλύειν, dimittere. διεφθάρησαν, 3. aor. pass. pl. διαφθείρω, corrumpo. δικαστήριον, τό. collegium iudicum. tribunal. δῶρον, τό. donum. — ἔδοσαν, 3. aor. 2. pl. δίδωμι, do. ἐκ, c. Gen. ἐκ τούτου, hinc. quam ob causam. ἐλαύνῃ, 3. Coni. praes. sg. ἐλαύνω, equito. prodeo. ἐπιστάμεθα, 1. praes. pl. ἐπίσταμαι, scio. ἐμποδών, Adv. quod alicui impedimento est. ἔνθεν, unde. h. l. pro ἐκεῖσε ἔνθεν, illuc — eo, quo. εὐαρίθμητος, ον, non multus. εὔχομαι, c. Dat. precor. ἐχρῶντο, 3. impf. pl. χρῆσθαι, Inf. praes. χράομαι, c. Dat. — ἡγήσομαι, 1. fut. sg. ἡγέομαι, duco. ἦσθησαι, 2. perf. sg. αἰσθάνομαι, animadverto. — καιρός, ὁ. tempus. t. opportunum. κατευθύ, recta. gradezu. τὸ κ. quod oculis oppositum est. — λάβῃ, 3. Coni. aor. 2. λήψεσθε, 2. fut. pl. λαμβάνω. λεγέτω, 3. Imperat. praes. sg. λέγω. — μένων, ουσα, ον, Part. praes. μένω, maneo. μιαρός, ά, όν, sceleratus. — νόμος, ὁ. lex. — οἶδα,

ᾄδου πάλιν ἀνεῖναι τὴν ψυχήν. — Οὐκ ἄρα οὗτος ὅρος ἐστὶ δικαιοσύνης, ἀληθῆ τε λέγειν καὶ ἃ ἂν λάβῃ τις ἀποδιδόναι. — Οὗτοι οἱ μιαρώτατοι, οὓς ὁρᾶτε, μόνοι ἡμῖν εἰσιν ἐμποδών. — Ταῖς ὁδοῖς, ὁποῖαι ἂν ὦσι, τοιαύταις ἀνάγκη χρῆσθαι. — Οἱ ἐμοὶ ὀφθαλμοὶ καλλίονες τῶν σῶν. οἱ μὲν σοὶ τὸ κατευθὺ μόνον ὁρῶσιν, οἱ δὲ ἐμοὶ καὶ τὸ ἐκ πλαγίου. — Ἡγήσομαι αὐτὸς ἐγὼ ἔνθεν πολλὰ χρήματα λήψεσθε. — Ὡς αὐτὸς σὺ ὁμολογεῖς, οὐδὲν ὑπ' ἐμοῦ ἀδικεῖ. — Ἐν τούτῳ τῷ καιρῷ τὸ μὲν βαρβαρικὸν στράτευμα προῄει, τὸ δ' Ἑλληνικὸν ἔτι ἐν τῷ αὐτῷ μένον συνετάττετο. — Αἱ τριήρεις αὐτοῖς πληρώμασι διέφθαρησαν.

VI.

1. Ἐπαιδεύθην, ἔφη ὁ Κῦρος, καὶ αὐτὸς οὕτως τοῖς πρεσβυτέροις ὑπείκειν, καὶ ὑμᾶς, ὦ παῖδες, οὕτως ἐπαίδευον τοὺς γεραιτέρους προτιμᾶν. — Ἐγγὺς ἀγαθοῦ παραπέφυκε καὶ κακόν. — Νικίας ὁ ζωγράφος οὕτως ἦν φιλόπονος, ὥστε πολλάκις ἐρωτᾶν τοὺς οἰκέτας, εἰ λέλουκεν. — Οἱ μὲν ἐκέλευον μάχεσθαι, οἱ δὲ ἐκώλυον. — Κινδυνεύσω, ἔφη Σωκράτης, τῷ ὄντι φροντιστὴς εἶναι. — Ὁ Κῦρος ἔθυε Διὶ ἐπὶ τῶν ἄκρων, ὡς Πέρσαι θύουσιν. — Ὁ Δερκυλλίδας ἔθυε τῇ Ἀθηνᾷ· ἐπεὶ δὲ ἐτέθυτο, ἀνεῖπε τοὺς στρατιώτας θέσθαι τὰ ὅπλα. — Οἱ Πέρσαι παιδεύουσι τοὺς παῖδας τρία μόνα,

---

scio. οὐκ οἶδα εἴ τι δεῖ λόγων, an quid opus sit verbis nescio. οἴκοι, Adv. domi. ὁμολογεῖς, 2. praes. sg. ὁμολογέω, confiteor. ὁμοῦ, una. in eodem loco. ὅπου, ubi. ὁρᾶτε, 2. praes. pl. ὁρῶσιν, 3. praes. pl. ὁράω. οὕτως, sic. ita. — πάλιν, rursus. πάσχομεν, 1. praes. pl. πάσχω, patior. παύομαι, c. Part. (ἀποδεικνύμενος) et negatione: non desisto demonstrare, semper demonstro. πλάγιος, ία, ιον, transversus. πλεῖν, navigare. πλήρωμα, ατος, τό. id quo quid completur. plur. remiges. milites navales. ποιοῦμεν, 1. praes. pl. ποιέω, c. Acc. rei et pers. (κακά τινα), adficere aliquem malis. πρᾶος, ον, mitis. placidus. προῄει, 3. impf. sg. προιέναι, progredi. — συνετάττετο, 3. impf. sg. pass. συντάττω, instruo. σώζουσι, 3. praes. pl. σώζω. — χωρίς. II, 1.

VI. 1. Verba pura. 2. 3. v. muta. 4. v. liquida. 5. 6. 7. v. contracta.

1. ἀετός, ὁ. aquila. ἄκρος, α, ον, summus. τὰ ἄκρα, montis cacumen. ἀληθίζομαι, vera dico. verax sum. ἀνεῖπε, proclamabat (ἀνειπεῖν). ἀνεχώρει, 3. impf. sg. ἀναχωρέω, redeo. ἀπορύττομαι, emungo me. — βουλεύω, molior. consilium agito. — διαβολή, ἡ. criminatio. διαλύω, irritum reddo. tollo. διδάσκω, doceo. δρῦς. III, 2. — ἐγγύς, Adv. c. Gen. prope. ἐκ, c. Gen. ἐκ χειρός, cominus. ἔνθα, ubi. ἐπιφέρομαι, med. irruo. inveho. ἐρωτᾶν, Inf. praes. act. ἐρωτάω, interrogo. ἔφορος, ὁ. ephorus. οἱ ἔφ. magistratus quidam Spartanorum. — ζωγράφος, ὁ. pictor. — θεῖον, τό. numen divinum. θέσθαι (τίθημι) ὅπλα, 1. arma deponere. 2. in aciem

ἱππεύειν καὶ τοξεύειν καὶ ἀληθίζεσθαι. — Ἀετὸς ἐπιφερόμενος ἔπαισε τὸν λαγῶ. — Τὰς δρῦς ὑπέρχονται οἱ ἄνθρωποι ὅταν ὕῃ. — Τσον, ὗσον, ὦ φίλε Ζεῦ, κατὰ τῶν πεδίων. — Πιστεύω τὸν χρόνον διδάξειν σε. — Νόμιμον ἦν τοῖς Πέρσαις μήτε πτύειν μήτε ἀπομύττεσθαι. — Σπονδῶν γενομένων ἔσεισεν ὁ θεός. — Ὁ Παυσανίας πιστεύων χρήμασι διαλύσειν τὴν διαβολὴν ἀνεχώρει ἐς Σπάρτην. — Λέγεται Μίδας τὸν Σάτυρον θηρεῦσαι οἴνῳ κεράσας κρήνην. — Ἔφοροι κύριοι ἦσαν καὶ ἄρχοντας καταπαῦσαι. — Εἴ τι ἐμοὶ κακὸν βουλεύεις, ἅμα μοι δοκεῖς καὶ σεαυτῷ κακόνους εἶναι. — Δύο ἐν Ἰωνίᾳ ναοὶ ὑπὸ Περσῶν κατεκαύθησαν. — Ἐν Αἰγὸς ποταμοῖς τὸ Ἀθηναίων ναυτικὸν κατελύθη. — Εἰς οὐρανὸν ὁρῶντες οἱ Ἕλληνες εὔχονται, ἔνθα ἱδρύσθαι τὸ θεῖον δοκεῖ. — Τέθραυσται ὁ θυμὸς ἡμῶν. — Οἱ πολιορκούμενοι εἰς μεγάλην σπάνιν κατεκλείσθησαν. — Ἐπαίσθη ἐκ χειρὸς ὁ λέων λόγχῃ. — Φόνος φόνῳ λέλυται.

2. Τὰ ὑμέτερα σκέψασθε ὡς ἔχει. — Ἡ στρατιὰ ἐπορεύετο τεταγμένη. — Σύγε ἡμῖν τάξεις ἃ ἂν δέοι πράττειν. — Θάπτουσιν οἱ Αἰγύπτιοι τοὺς νεκροὺς ταριχεύοντες. — Τὰς ἡδονὰς διώκειν προπετῶς λύπας ἐστὶ θηρεύειν. — Προετάξαντο μὲν τῆς ἑαυτῶν φάλαγγος οἱ Λακεδαιμόνιοι τοὺς ἱππέας, ἀντετάξαντο δ' αὐτοῖς οἱ Θηβαῖοι τοὺς ἑαυτῶν. — Πᾶν πλῆθος καὶ πᾶς πλοῦτος ἀρετῇ ὑπείκει. — Μὴ βλάπτετε τοὺς φίλους. — Ἔκρυπτεν Αἴθρα τὴν ἀληθινὴν τοῦ Θησέως γένεσιν. — Τοῖς αὐτοῖς ὄμμασι καὶ φιλικῶς καὶ ἐχθρῶς βλέ-

---

consistere. 3. castra ponere. θηρεύω, venor. θραύω, frango. θυμός, ὁ. animus. θύω, sacra facio. hostias immolo. — ἱδρύω, colloco. ἱππεύω, equito. — κατακαίω, comburo. κατακλείω, includo. καταλύω, opprimo. everto. καταπαύω, abrogo. imperio privo. κελεύω, iubeo. κεράσας, Part. aor. 1. κεράννυμι, misceo. κινδυνεύω, periculum facio. κρήνη, ἡ. fons. κύριος, α, ον, potens. valens. κωλύω, impedio. — λαγώς, ὁ. II, 4. λούω, h. l. pro med. balneo utor. λύω, solvo. expio. — μάχομαι, proelium ineo. — νόμιμος, ίμη, ιμον, lege sancitus. — οἰκέτης, ου, ὁ. servus. οἶνος, ὁ. vinum. ὄντι, τῷ. revera. ὅταν, c. Coni. quum. simulac. — παιδεύω, instituo. erudio. παίω, ferio. vulnero. παραφύω, progigno. perf. et aor. 2. nascòr. provenio. πεδίον, τό. campus. πιστεύω, credo. spero c. Inf. fut. πολιορκούμενος, Part. praes. pass. πολιορκέω, obsideo. προτιμᾶν, Inf. praes. προτιμάω, prae ceteris aliquem honorare. πτύω, exspuo. — σπάνις, εως, ἡ. inopia. — τοξεύω, sagitto. — ὑπείκω, cedo. ὑπέρχομαι, c. Acc. subeo aliquid. trete unter. ὕω, pluere. — φιλόπονος. III, 1. φόνος, ὁ. caedes. φροντιστής, οῦ, ὁ. philosophus. ὥστε, c. Inf. ita ut.

2. ἀληθινός, ή, ον, verus. ἀναβαλέσθαι, Inf. aor. 2. med. (ἀναβάλλω), differre, procrastinare. ἀνάπτω, adnecto aliquid ad aliquid (εἴς τι). ἕνευ, praep. c. Gen. sine. ἀντιτάττω, ex adverso instruo. oppono. ἀποβλέπω, respicio. ἅπτω, med. ἅπτομαι, c. Gen. tango. adficio. ἄρχω, im-

πομεν. — Τὰ παρόντα στέργωμεν. — Ἡ σὴ πατρὶς εἴς σε ἀποβλέπει. — Οἱ Αἰγινῆται πρῶτοι νόμισμα ἐκόψαντο. — Ὁ Σόλων τοὺς ἀρίστους Ἀθηναίοις νόμους ἔγραψεν. — Ὁ Λυκοῦργος τὸ ὅλον νομοθεσίας ἔργον εἰς τὴν παιδείαν ἀνῆψε. — Καὶ ὁ Πλάτων καὶ ὁ Ξενοφῶν συμπόσια γεγράφασι. — Τοῦ Μήδου καταβαίνοντος ἐπὶ τὴν Ἑλλάδα Θεμιστοκλῆς κατέλυσε τοὺς Ἑλληνικοὺς πολέμους, καὶ διήλλαξε τὰς πόλεις ἀλλήλαις πείσας τὰς ἔχθρας διὰ τὸν πόλεμον ἀναβαλέσθαι. — Πολλάκις δοκεῖ τὸ φυλάξαι τἀγαθὰ τοῦ κτήσασθαι χαλεπώτερον. — Οἱ νόμοι οἱ πολλοί δοκοῦσί μοι δύο ταῦτα μάλιστα διδάσκειν, ἄρχειν τε καὶ ἄρχεσθαι. — Ὁ Περσῶν βασιλεὺς στέφανον εἰς μύρον βάψας, διεπέπλεκτο δὲ ῥόδων ὁ στέφανος, ἔπεμψεν Ἀνταλκίδᾳ πρεσβεύοντι ὑπὲρ εἰρήνης πρὸς αὐτόν. — Ξενοφῶν ἔστρεψε τοὺς Καρδούχους. οἱ δὲ βάρβαροι στραφέντες ἔφευγον. — Οἱ πολέμιοι τεταραγμένοι ἐμπίπτουσιν εἰς τεταγμένους. — Ἐπί τινος Αἰγύπτου βιβλιοθήκης ἐπιγέγραπται· ψυχῆς ἰατρεῖον. — Τοὺς νόμους φυλάττοντες μάλιστα, ὦ Ἀθηναῖοι, μέγιστοί ἐστε, ἄνευ τούτων μηδὲν πράττειν πειρᾶσθε. — Ὁ καλὸς καὶ ἀγαθὸς ἀνὴρ τὴν ἑαυτοῦ γνώμην ὑποτέταχε τῷ διοικοῦντι τὰ ὅλα καθάπερ οἱ ἀγαθοὶ πολῖται τῷ νόμῳ τῆς πόλεως. — Διογένης ἐθαύμαζε τοὺς ῥήτορας τὰ δίκαια μὲν ἐσπουδακέναι λέγειν, πράττειν δὲ οὐδαμῶς. — Διονύσιος ὁ δεύτερος τὴν ἀρχὴν εἶχεν εὖ μάλα πεφραγμένην. — Τίς οὐκ ἂν ἔφριξε ποιῆσαι τὸ ἄδικον; — Ἡδονὴν φεῦγε, ἥτις ὕστερον λύπην τίκτει. — Ἡ γλῶσσά σου μὴ προτρεχέτω τοῦ νοῦ. — Τῶν ὁμοίων σωμά-

---

pero. — βάπτω, intingo. βιβλιοθήκη, ἡ. bibliotheca. βλάπτω, c. Acc. noceo. βλέπω, adspicio. — γένεσις, εως, ἡ. origo. γνοίης, 2. optat. aor. 2. sg. γιγνώσκω. γράφω, scribo. — διαλλάττω, pacem inter quosdam reconcilio. διαπλέκω, intexo. διοικῶν, οῦντος, Part. praes. διοικέω, administro. διώκω, persequor. studiose quaero. ἐμπίπτω, irruo. ἐπιγράφω, inscribo. ἐπιμελούμενος, Part. praes. ἐπιμελέομαι, c. Gen. curo. prospicio. εὖ μάλα, egregie. ἐχθρῶς, odiose. ἔχω. ὡς ἔχει, quomodo res sint comparatae. θάπτω, sepelio. θαυμάζω, admiror. — ἰατρεῖον, τό. officina medici. — καθάπερ, sicut. καταβαίνω, descendo. adgredior. κόπτω, ferio. med. sibi cudere (argentum). κρύπτω, occulo. κτήσασθαι, Inf. aor. 1. κτάομαι, concilio. adquiro. — λύπη, ἡ. dolor. — μύρον. III, 4. — νεκρός, ὁ. II, 4. νόμισμα. IV, 1. νομοθεσία, ἡ. legis latio. — ὄμμα, ατος, τό. oculus. — πείθω, persuadeo. med. mihi persuadeo. credo. πειρᾶσθε, 2. praes. pl. πειράομαι, conor. πέμπω, mitto. ποιῆσαι, Inf. aor. ποιέω. πορεύομαι, iter facio. proficiscor. προπετῶς. I, 1. πρεσβεύω, legatus mittor ad aliquem. προτάττω, med. c. Gen. (φάλαγγος) equites ante phalangem collocare. προτρέχω, praecurro. — ῥήτωρ, ορος, ὁ. orator. ῥόδον, τό. rosa. — σκέπτω, exploro. σπουδάζω, studiose quaero. στέργω, amo. στέφανος, ὁ. corona. στρατιά, ἡ. exercitus. στρέφω, in fugam converto. συμπόσιον,

τῶν οἱ αὐτοὶ πόνοι οὐχ ὁμοίως ἅπτονται. — Παρὰ τῆς φύσεως τὰ ἀγαθὸν διδάσκεται. — Ὅ τι γνοίης ἀγαθὸν ὂν πραχθῆναι, ἐπιμελούμενος ἂν τούτου εἴης, ὡς ἂν πραχθείη. — Καῖσαρ ἐπέπειστο τὴν τύχην αὐτῷ συστρατεύεσθαι.

3. Ὁ Διονύσιος εἶδε τοὺς υἱοὺς βιαίως αποσφαγέντας καὶ τὰς θυγατέρας ἀποσφαγείσας, οὐδεὶς δὲ τῶν ἀπ' αὐτοῦ ταφῆς τῆς νομιζομένης ἔτυχεν. οἱ μὲν γὰρ κατεκαύθησαν, οἱ δὲ ἐξεῤῥίφησαν εἰς τὸ πέλαγος. αὐτὸς δὲ ἐν πενίᾳ διάγων κατέστρεψε τὸν βίον γηραιός. — Πάντα πεπλασμένα καὶ κατεσκευασμένα ἐλέγχεται. — Περιῤῥέξει τὴν λίμνην κύκλῳ. — Βάδιζε δεῦρο! — Ἐστάσιασεν ἡ πόλις. — Διὰ πολλῶν τε καὶ δεινῶν σεσωσμένοι πάρεστε. — Ὁ Ξενοφῶν ἐπήρετο τὸν Ἀπόλλω τίνι ἂν θεῶν θύων καὶ καλῶς πράξας σωθείη. — Αἰγυπτίοις νενόμισται τὸ πῦρ θηρίον εἶναι ἔμψυχον. — Οἱ Κυζικηνοὶ τῶν Πελοποννησίων ἐκλιπόντων τὴν πόλιν ἐδέχοντο τοὺς Ἀθηναίους. Ἀλκιβιάδης δὲ μείνας αὐτοῦ εἴκοσιν ἡμέρας, οὐδὲν ἄλλο κακὸν ἐργασάμενος ἐν τῇ πόλει, ἀπέπλευσεν ἐς Πέρινθον· καὶ Περίνθιοι εἰσεδέξαντο ἐς τὸ ἄστυ τὸ στρατόπεδον. ἐντεῦθεν δ' ἀφικόμενοι ἐς Χρυσόπολιν ἐτείχισαν αὐτὴν καὶ δεκατευτήριον κατεσκεύασαν ἐν αὐτῇ· καὶ τὴν δεκάτην ἐξελέγοντο τῶν ἐκ τοῦ Πόντου πλοίων, φυλακὴν ἐγκαταλιπόντες ναῦς τριάκοντα καὶ στρατηγὼ δύω τοῦ τε χωρίου ἐπιμελεῖσθαι καὶ εἴ τι ἄλλο ἠδύναντο βλάπτειν τοὺς πολεμίους. — Ὁ Κῦ-

---

τό. convivium. συστρατεύομαι, adiuvo in bello gerendo. — τάξις, εως, ἡ. acies. ταράττω, turbo. ταριχεύω. III, 3. τάττω, instruo. τίκτω, pario. — ὑποτάττω, subiicio. — φεύγω, fugio. φιλικῶς, amice. benigne. φράττω, munio. φρίττω, horreo. φυλάττω, custodio.

3. αἴσθοιντο. III, 2. ἀκούω, audio. ἁλώσεσθαι, Inf. fut. ἐάλωσαν, 3. aor. pl. ἁλίσκομαι, capior. ἅμα μέν — ἅμα δέ, partim, partim. non modo, sed etiam. ἁμαρτία, ἡ. culpa. peccatum. ἀνδράποδον, τό. servus. ἀποδιδράσκω, aufugio. ἀπολαμβάνω, mecum abduco. ἀποπλέω, navigo. ἀποσφάττω, interficio. iugulo. ἁρμόζω, adapto. med. me adapto alicui. ἁρπάζω, diripio. αὐτοῦ, Gen. loci. ibi. ἀφυής, ές, imperitus. — βαδίζω, eo. pergo. βιαίως, violenter. — γηραιός, ά, όν, senilis. — δεδιώς, timens. δειπνίζω, coenam praebeo. δεκατευτήριον, τό. locus vectigalibus exigendis adsignatus. δεῦρο, huc. δέχομαι, recipio. διάγω (βίον), vitam transigo. διαπέμπω, huc illuc mitto. διαφυλάττω, custodio. — ἐάν s. ἄν, c. Coni. si. ἐγκαταλείπω, relinquo. ἔθνος, εος, τό. gens. εἶδε (ὁράω), c. Part. conspexit. εἰσδέχομαι, recipio. ἐκλέγω, med. mihi eligo. ἐκλείπω, desero. ἐκρίπτω, proiicio. eiicio. ἐλέγχω, erroris, mendacii convinco aliquem. ἐλυσιτελεῖ, 3. impf. sg. λυσιτελέω, prosum. ἔμψυχος, ον, animatus. ἔννομος, ον, legitimus. ἐξαλλάττω, immuto. Part. perf. pass. inauditus. insolens. ἐξαλείφω, deleo, tollo (aliquem e numero civium, h. l. triginta tyrannorum). ἐπῆεσαν (ἐπιέναι), impetum fecerunt. ἐπήρετο, 3. aor. (ἐπερωτάω), interrogabat. ἐπιεικῶς, egregie. ἐργάζομαι (κακόν), facere. patrare. ἔτυ-

ρας δειπνίσας τοὺς Πέρσας, ἐπεὶ συνεσκότασε, πολλοὺς αὐτῶν διέπεμψε· καὶ ἐκέλευσε κύκλῳ τοῦ στρατοπέδου κρυπτεύειν, νομίζων ἅμα μὲν φυλακὴν ἔσεσθαι, ἐάν τις ἔξωθεν προσίῃ, ἅμα δὲ ἐάν τις ἔξω χρήματα φέρων ἀποδιδράσκῃ ἁλώσεσθαι αὐτόν· καὶ ἐγένετο οὕτως· πολλοὶ μὲν γὰρ ἀπεδίδρασκον, πολλοὶ δὲ ἑάλωσαν, οὓς ὁ Κῦρος ἐκέλευσεν ἀποσφάξαι. — Ἐγώ, ἔφη ὁ Κριτίας, Θηραμένην τουτονὶ ἐξαλείφω ἐκ τοῦ καταλόγου. ἀκούσας ταῦτα ὁ Θηραμένης· ἐγὼ δ' ἔφη, ὦ ἄνδρες, ἱκετεύω τὰ πάντων ἐννομώτατα μὴ ἐπὶ Κριτίᾳ εἶναι ἐξαλείφειν μήτε ἐμέ, μήτε ὑμῶν ὃν ἂν βούληται. ὡς δ' εἶπεν ὁ Σάτυρος, ὅτι οἰμώξειεν εἰ μὴ σιωπήσειεν, ἐπήρετο· ἂν δὲ σιωπῶ, οὐκ ἄρα, ἔφη, οἰμώξομαι; — Ἐπεὶ ἐσάλπιγξεν, ἐπήεσαν οἱ στρατιῶται. — Ὅπλα πρὸς ἡμᾶς κομίσατε, καὶ τοῖς κομίζουσιν ἔστω εἰρήνη. — Κτησικλῆς σκύτος ἔχων ἐπόμπευε καὶ τούτῳ μεθύων ἐπάταξέ τινα ἐχθρὸν ὑπάρχοντ' αὐτῷ. — Πηλίκον ποτ' ἂν στενάξειαν οἱ ἄνδρες ἐκεῖνοι οἱ καλῶν ἔργων ὑπομνήματα καταλιπόντες, εἰ ἄρα αἴσθοιντο, ὅτι ἡ πόλις εἰς ὑπηρέτου σχῆμα καὶ τάξιν προελήλυθε. — Σωκράτης ἥρμοστο πρὸς πάντα ἐπιεικῶς. — Τοῦτο καὶ λέγεται καὶ λελέξεται, ὅτι τὸ μὲν ὠφέλιμον καλόν, τὸ δὲ βλαβερὸν αἰσχρόν. — Αἱ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας εἰσίν. — Αἱ καμηλοπαρδάλεις κατεστιγμέναι εἰσίν. — Τέτταρα τάλαντα κατέλιπεν ὁ πατὴρ κατορωρυγμένα. — Λαγὼ βίον ζῇς δεδιὼς καὶ τρέμων καὶ ἀεὶ πληγήσεσθαι προσδοκῶν. — Ὁ Σωκράτης παίζων οὐδὲν ἧττον ἢ σπουδάζων ἐλυσιτέλει τοῖς συνδιατριβουσιν. — Οἱ πολῖται ἀγαθοὶ ὄντες καὶ ἐν πολέμῳ σώσουσι τὴν πόλιν καὶ ἐλευθέραν καὶ εὐδαίμονα διαφυλάξουσι. — Μεσοποταμία ἀπὸ τοῦ κεῖσθαι μεταξὺ τοῦ

χεν, 3. aor. τυγχάνω c. Gen. consequor. εὐπραξία, ἡ. recte factum. — ζῇς, 2. praes. (ζάω), vivis. — ἱκετεύω, supplico. — καθίζω, adsideo. καμηλοπάρδαλις, εως, ἡ. camelopardalis. κατακαίω. VI, 1. καταλείπω, relinquo. κατασκευάζω, paro. Part. pf. pass. h. l. exornatus, fucatus. κατασείζω, compungo. καταστρέφω, finio. subigo. κατορύττω, defodio. κεῖσθαι, situm esse. κομίζω, adporto. κρυπτεύω, occulo. absconde. κύκλος, ὁ. orbis. Dat. undique. circa. — λίμνη. III, 1. — μεθύω, ebrius sum. μείνας, Part. aor. μένω, maneo. — νομιζόμενος, η, ον, usu receptus. — οἰμώζω, ploro. patior aliquid. ὅπλον, τό. arma. — παίζω, ludo. πατάσσω, ferio. πέλαγος, τό. mare. πενία, ἡ. paupertas. περιτρέχω, fut. -θρέξομαι, circumcurro. πηλίκος, η, ον, quantus. πλάττω, fingo. πλήσσω, caedo. vulnero. πομπεύω, triumphans, superbiens incedo. προελήλυθε, 3. perf. πρόεργομαι, progredior. προσίῃ, 3. Coni. praes. προσιέναι, accedere. προσδοκῶν, Part. praes. προσδοκάω, exspecto. — σαλπίζω, tuba canere. σατράπης, ὁ. satrapa. σιωπῶ, Coni. praes. σιωπάω, sileo. σκύτος, τό. pellis. στασιάζω, seditionem moveo. στενάζω, gemo. συγκρύπτω, occulto. συνδιατρίβω, versor cum aliquo discendi causa. συσκιάζω, obtego. συσκα-

Εὐφράτου καὶ τοῦ Τίγριος ὠνόμασται. — Ὁ Νεῖλος θηρία τρέφει πολλὰ ταῖς ἰδέαις ἐξηλλαγμένα. — Διογένης ἰδὼν τοξότην ἀφυῆ παρὰ τὸν σκοπὸν ἐκάθισεν εἰπών, ἵνα μὴ πληγῶ. — Ὁ Κῦρος τῷ Κιλίκων βασιλεῖ ἔδωκε δῶρα ἃ νομίζεται τίμια, καὶ τὴν χώραν μηκέτι ἁρπάζεσθαι· τὰ δὲ ἡρπασμένα ἀνδράποδα ἀπολαμβάνειν. — Ἐπεὶ ὁ Κῦρος ἐν Βαβυλῶνι ἦν, ἐδόκει αὐτῷ σατράπας πέμπειν ἐπὶ τὰ κατεστραμμένα ἔθνη.

4. Οἱ Ῥωμαῖοι πολλὰς ἀποικίας ἔστειλαν. — Κῦρος ἀπεστάλκει στράτευμα ἐπὶ Φρυγίαν. — Εἰ ἀγνωμονοῦσιν ἢ ὁ ἀποστείλας ἢ ὁ ἀπεσταλμένος, ὁ δῆμος βουλεύσεται τί δεῖ ποιεῖν. — Κάδμος ἀποκτείνει δράκοντα, τῆς Ἀρείας κρήνης φύλακα, καὶ τοὺς ὀδόντας αὐτοῦ σπείρει· τούτων δὲ σπαρέντων ἀνέτειλαν ἐκ γῆς ἄνδρες ἔνοπλοι. — Χαλεπόν ἐστι διακρῖναι τὸν κόλακα καὶ τὸν φίλον. — Λέγεται Ἀπόλλων ἐκδεῖραι Μαρσύαν. — Κλεομένης ὁ Λακεδαιμόνιος ἑαυτὸν μαχαίρᾳ κατέτεμεν. — Πολλῶν ὁ Φιλάδελφος βασιλέων πλούτῳ διέφερε καὶ περὶ πάντα ἐσπουδάκει τὰ κατασκευάσματα φιλοτίμως, ὥστε καὶ πλείων πλήθει πάντας ὑπερέβαλλεν. — Ἡδέως καθεύδω ἐκτεταμένος. — Οἱ ἰατροὶ τέμνουσι καὶ καίουσιν ἐπ' ἀγαθῷ. — Οἱ συγγενεῖς δίκῃ διακριθῆναι ἐψηφίσαντο, εἴ τι ἀμφίλογον πρὸς ἀλλήλους γίγνοιτο. — Ὁ σκοπάρχης πέμπει τινὰ τὰ ἐν πολεμίοις ὄντα ἀγγελοῦντα τῷ Κύρῳ. ὁ δὲ τοὺς σκοποὺς ἐκέλευσε μένοντας ἐπὶ ταῖς σκοπαῖς ὅ τι ἂν ἀεὶ καινὸν ὁρῶσιν ἐξαγγέλλειν. — Ἀνδρόμαχος ὁ Ἠλεῖος ὕπαρχος αὐτὸς αὑτὸν διέφθειρεν. — Δημοσθένης τῷ μὴ διαφθαρῆναι χρήμασιν κεκράτηκε Φιλίππου. — Ὁ μὴ δαρεὶς ἄνθρωπος οὐ παιδεύεται. — Ἀθληταὶ

τάζει, imperf. advesperascit. σχῆμα, ατος, τό. forma. — τάξις, ἡ. habitus. conditio. ταφή, ἡ. sepultura. τειχίζω, munio. muro cingo aliquid. τίμιος, ία, ιον, honoratus. τρέμω, tremo. τρέφω, nutrio. — ὑπάρχω, adsum. ὑπηρέτης, ου, ὁ. minister. ὑπόμνημα, ατος, τό. monumentum.

4. ἀγγέλλω, nuncio. certiorem facio. ἀγνωμονέω, inique s. imperite ago. ἀθλητής, οῦ, ὁ. athleta. ἀμφίλογον, τό. res controversa. ἀνατέλλω, orior. ἀπαγγέλλω, renuncio. ἀποικία, ἡ. colonia. ἀποκτείνω, interficio. ἀποστέλλω, mitto. — βουλεύομαι, decerno. — δαίμων, ὁ. δαιμόνιον, τό. deus. δέρω, verbero. διακρίνω, discerno. διαφέρω, c. Gen. praestare. διαφθείρω, corrumpo. δός, Imp. aor. 2. δίδωμι. — εἰσφέρω, induco, doceo res novas. ἐκδέρω, pellem detraho. ἐκτείνω, extendo. ἐθέλω, volo. ἐμπολή, ἡ. εἰς ἐμπ. ad coemendas merces. ἔνοπλος, ον, armatus. ἐνορᾷ, 3. praes. ἐνοράω, deprehendo. ἐξαγγέλλω, indico. enuncio. ἐπαίρω, commoveo. ἐπ' ἀγαθῷ, ad utilitatem adferendam. εὐφραίνω, oblecto. — θεωροῦντες, Part. praes. θεωρέω, specto. — καθεύδω, dormio. καινός, ή, όν, novus. καίω, uro. κατασκεύασμα, τό. molimen. aedificium. κατατέμνω, mutilo. κόλαξ, ακος, ὁ. adulator. κρατέω, c. Gen. potior sum. — μάχαιρα, ἡ. gladius. μένω, maneo. — νέμω, distribuo. administro. — ὀδούς,

ὅταν γένωνται κρείττονες, τοῦτο αὐτοὺς εὐφραίνει. — Αἰσχρόν, ἃ θεωροῦντας ἡμᾶς εὐφραίνει, ταῦτα μὴ ἐθέλειν ἀπαγγεῖλαι. — Ὁ Πλάτων φησὶ τὸν θεὸν ἐπὶ τῷ κόσμῳ γενομένῳ εὐφρανθῆναι. — Οὐδέν με ἐπῇρεν οὐδὲ προήγετο τὴν πόλιν προδοῦναι. — Εἴ τις χρημάτων προσδεῖσθαι νομίζει εἰς ἐμπολήν, λαμβανέτω· εἰ δέ τίς τι καὶ ἄλλο δέον ἐνορᾷ, πρὸς ἐμὲ σημαινέτω. — Ὅταν τὰ τῶν θεῶν καλῶς ἔχῃ, σημανοῦμεν. — Δαίμων ὁ πάντων κύριος ὡς ἐβούλετο ἔνειμε τὸ τέλος. — Δός μοι φανῆναι ἀξίῳ τῆς πατρίδος ἀνδρί. — Σωκράτης· καινά, ἔφη, δαιμόνια πῶς ἂν ἐγὼ εἰσφέροιμι λέγων, ὅτι θεοῦ μοι φωνὴ φαίνεται σημαίνουσα ὅ τι χρὴ ποιεῖν;

5. Ἀλέξανδρος Τύρον ἐπολιόρκει ἑπτὰ μῆνας. — Φίλοις εὐτυχοῦσι καὶ ἀτυχοῦσιν ὁ αὐτὸς ἴσθι. — Οὐ μετανοεῖν, ἀλλὰ προνοεῖν χρὴ τὸν ἄνδρα τὸν σοφόν. — Ἀργὸς μὴ ἴσθι, μηδ' ἂν πλουτῇς. — Θεοὶ οὔτε τῶν ἀσεβούντων οὔτε τῶν ἀνόσια ποιούντων ἀμελοῦσι. — Μὴ φθόνει τοῖς εὐτυχοῦσι, μὴ δοκῇς εἶναι κακός. — Μία χελιδὼν ἔαρ οὐ ποιεῖ. — Ποίει ἃ κρίνεις εἶναι καλὰ κἂν ποιῶν μέλλῃς ἀδοξεῖν. — Ἀνὴρ δίκαιος ὢν καὶ δοκῶν εἶναι τοιοῦτος ἐπαινῶμαι ὑπ' ἀνθρώπων. — Ἡδέως πονοῦσιν οἱ ἄνθρωποι, ἵνα φίλους ἀγαθοὺς κτήσωνται, ἢ ὅπως ἐχθροὺς χειρώσωνται, ἢ ἵνα τὸν ἑαυτῶν οἶκον καλῶς οἰκῶσι καὶ τοὺς φίλους εὖ ποιῶσι καὶ τὴν πατρίδα εὐεργετῶσι. — Ἡμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, δικαστὰς καλῶν ὀρθῶς ἂν καλοίην. — Ὅσα τὸ πᾶν πλῆθος κρατοῦν τῶν τὰ χρήματα ἐχόντων γράφει μὴ πεῖσαν, βίᾳ μᾶλλον ἢ νόμος ἂν εἴη; — Πρὸς φιλίαν μέγα ὑπάρχει τὸ ἐκ τῶν αὐτῶν φῦναι. οὕτω γὰρ ἂν μάλιστα φίλοι γίγνοιντο καὶ πλεῖστον χρόνον φιλοῖεν καὶ μέγιστα εὐεργετοῖεν. — Χρὴ οὐδ' ἀπὸ τῶν ἰδίων κτημάτων ὀκνεῖν δαπανᾶν εἰς τὸ κοινὸν ἀγαθόν. — Μὴ

ὄντος, ὁ. dens. — προάγομαι, adigere. perducere. προδοῦναι, Inf. aor. 2. προδίδωμι, prodo. προσδέομαι, insuper egeo. — σημαίνω, c. Dat., rarius ut h. l. πρός τινα, indicare. σκοπάρχης, ὁ. praefectus speculatorum. σκοπός, ὁ. speculator. σκοπή, ἡ. specula. σπείρω, spargo. σπουδάζω, περί τι, studium s. curam adhibeo. στέλλω, mitto. deduco. — τέμνω, seco. — ὕπαρχος, ὁ. dux exercitus. ὑπερβάλλω, supero. antecello. — φαίνομαι, adpareo. me praesto. — ψηφίζομαι, decerno.

5. ἄγειν (εἰρήνην), in pace degere. ἀδοξέω, male audio. αἱρέομαι, praefero. malo. ἀκινδύνως, sine periculo. ἀλύω, negotiis vacare. ἀμελέω, c. Gen. negligo. ἀνόσιος, (ία), ιον, impius. ἀργός, όν, iners. segnis. piger. ἀσεβέω, impius sum. ἀτυχέω, adversa fortuna utor. — βία, ἡ. vis. — γράφω, h. l. praecipio. — δαπανάω, insumo. διὰ βίου, per totam vitam. — ἐννοέω, considero. ἐξόν, quum liceat. ἐπαινέω, laudo. probo. εὐεργετέω, c. Acc. beneficiis adficere. εὐτυχέω, secunda fortuna utor. — κἂν i. e. καὶ ἐάν, etiamsi. κοινός, ή, όν, communis. κρίνω, iudico. κτάομαι, mihi paro. κτῆμα, τό. opes. divitiae. — μαχαίριον, τό. gladiolus. μέλλω, c.

πιστοὺς νόμιζε τοὺς ἅπαν ὅ τι ἂν ποιῇς ἢ λέγῃς ἐπαινοῦντας. — Ὁ Περσῶν βασιλεὺς ὁδοιπορῶν, ἵνα μὴ ἀλύῃ, φιλύριον εἶχε, καὶ μαχαίριον, ἵνα ξέῃ τοῦτο. — Ἀγαμέμνων ἐς Τροίαν ἔπλει. — Ἐννοήσατε ὅτι ἐγγύτερον τῷ ἀνθρωπίνῳ θανάτῳ οὐδέν ἐστιν ὕπνου. — Ὁ Ἀσωπὸς καὶ ὁ Ἰσμηνὸς διὰ τοῦ πεδίου ῥέουσι τοῦ πρὸ τῶν Θηβῶν. — Καρχηδόνιοι περὶ τῆς Σικελίας ἐπολέμουν πρὸς Ῥωμαίους. — Οἱ Τάοχοι χωρία ᾤκουν ἰσχυρά. — Ταῦτα φιλοπολέμου δοκεῖ ἀνδρὸς ἔργα εἶναι, ὅστις ἑξὸν μὲν εἰρήνην ἄγειν αἱρεῖται πολεμεῖν, ἑξὸν δὲ ῥᾳθυμεῖν βούλεται πονεῖν ὥστε πολεμεῖν, ἑξὸν δὲ χρήματα ἔχειν ἀκινδύνως αἱρεῖται πολεμῶν μείογα. ταῦτα ποιεῖν. — Ῥᾴδια πάντα θεῷ τελέσαι. — Τέρας ἐστίν, εἴ τις εὐτύχηκε διὰ βίου.

6. Σωκράτης κωμῳδούμενος ἐγέλα, Πολίαγρος δὲ ἀπήγξατο. — Οἱ ἀδολέσχαι, εἰ ἠνιῶντο ὡς ἀνιῶσιν, οὐκ ἂν ἐμακρηγόρουν. — Πλάτων πολλάκις διψῶν ἐκ τοῦ φρέατος ἀνιμᾶτο τὸ ὕδωρ καὶ ἐξέχει κολάζων τὴν ἐπιθυμίαν. — Τίς ἀνθρώπων οὐ πολλῶν κακῶν πεπείρατται; — Ὁ ἰατρὸς πολλάκις πικρότατα πώματα διδοὺς καὶ πεινῆν καὶ διψῆν ἀναγκάζει. — Ταῦτα ἐῶμεν, ὅσα κρείττω ἐστὶ τῆς ἡμετέρας δυνάμεως. — Θεοὺς τίμα· τὰ σπουδαῖα μελέτα. — Ἐγὼ οὐδὲ προσήκειν φημὶ ἀνδρὶ τυράννῳ πρὸς ἰδιώτας ἀγωνίζεσθαι. νικῶν μὲν γάρ, ὦ Ἱέρων, οὐκ ἂν θαυμάζοιο, ἀλλὰ φθονοῖο ὡς ἀπὸ πολλῶν τὰς δαπάνας ποιούμενος, νικώμενος δ' ἂν πάντων μάλιστα καταγελῷο. ἐὰν σὺ εὐδαιμονεστάτην τὴν πόλιν ἧς προστατεύεις παρέχῃς, εὖ ἴσθι νικῶν τῷ καλλίστῳ ἀγωνίσματι, καὶ πάντες ἄνθρωποι ὑμνοῖεν ἂν τὴν σὴν ἀρετήν. περίβλεπτος δὲ ὢν οὐχὶ ὑπ' ἰδιωτῶν μόνον, ἀλλὰ καὶ

Inf. praes. futurum esse. μετανοέω, serius iudico s. considero. μήν. III, 2. ξέω, rado. polio. — ὁδοιπορέω, iter facio. οἰκέω, habito. incolo. ὀκνέω, cunctor. dubito. — πείθω. VI, 2. πιστός, ή, όν, fidus. fidelis. πλέω, navigo. πλουτέω, dives sum. πολεμέω, bellum gero. πολιορκέω, obsideo. πονέω, laboro. προνοέω, provideo. praemeditor. — ῥᾳθυμέω, quieti s. socordiae se dare. ῥέω, fluo. — τελέω, perficio. τέρας, ατος, τό. prodigium. — χειρόω, med. sibi subiicere. χειδών. III, 1. — ὥστε. VI, 1. ὅπως, ut.

6. ἀγαπάω, amo. magni facio. ἀγωνίζομαι, certamen ineo. ἀδολέσχης, ὁ. garrulus. ἀναγκάζω, cogo. ἀναλίσκω, fut. ώσω, absumo. insumo. ἀνιάω, molestiis s. incommodis aliquem adfligo. ἀνιμάω, attollo. haurio. ἀπάγχω, med. gulam laqueo sibi frangere. ἀπορέω, nescio. haesito. ἀποτυχών, Part. aor. ἀποτυγχάνω, infelici successu utor. — βοάω, clamo. — γελάω, rideo. γηράσκω, i. q. γηράω, senesco. — διψάω, sitio. δράω, facio. δυστυχέω, infelix sum. — ἐάω, missum facio. non facio. ἐκ παλαιοῦ, iam olim. antiquitus. ἐκχέω, effundo. ἐπιγελάω, irrideo. ἐράω, c. Gen. amo. — ζάω, vivo. — καταγελάω, derideo. κολάζω, punio. castigo. κωμῳδέω, perstringo aliquem (in scena). — λαβών, όντος, Part. aor. λαμβάνω, accipio.

ὑπὸ πολλῶν πόλεων ἀγαπῶο ἄν. — Ἀποροῦμεν τί χρὴ δρᾶν. — Ἀνάγκη τὸν πολλὰ ἔχοντα πολλὰ καὶ δαπανᾶν. — Πολλάς; ὦ ξένοι, μάχας νενικήκατε. — Ἡ Δῆλος νῆσος τετίμηται ἐκ παλαιοῦ. — Μητροκλῆς ἔφη τὸν πλοῦτον βλαβερὸν εἶναι, εἰ μή τις ἀξίως αὐτῷ χρῶτο. — Οἱ πολλοὶ σιωπῶσι μὲν λαβόντες τὰ χρήματα, βοῶσι δ' ἀναλώσαντες. — Τῷ δυστυχοῦντι μὴ ἐπιγέλα. — Τοῦ ζῆν οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ. — Πέμπουσιν Ἀνταλκίδαν πρὸς τὸν Τιρίβαζον προστάξαντες αὐτὸν πειρᾶσθαι εἰρήνην τῇ πόλει ποιεῖσθαι πρὸς βασιλέα. — Ἐπὶ τοῖς ἀποθνήσκουσι μὴ λυποῦ; ἀλλ' ἐπὶ τοῖς αἰσχρῶς τελευτῶσιν. — Δικαίως κτῶ. — Οὐχ οἷόν τε ὀργῇ χρώμενον λογισμῷ χρῆσθαι. — Ὃ μέλλεις πράττειν μὴ πρόλεγε, ἀποτυχὼν γὰρ γελασθήσῃ. — Οὐκ ἐπειδὰν ἡμεῖς τελευτήσωμεν καὶ οἱ λόγοι οἱ περὶ ἡμῶν αὐτῶν σεσιγήσονται. — Λακεδαιμόνιοι Ἀγησίλαον βασιλέων ἐτίμησαν μάλιστα.

7. Πλάτων πρός τινα τῶν παίδων· μεμαστίγωσο ἄν, ἔφη, εἰ μὴ ὠργιζόμην. — Ζήλου τὴν ἀρετήν. — Μεγάλα ἂν ζημιοῖο, εἰ τοὺς σεαυτοῦ κατακαίνοις. — Ἡ ψυχὴ ἑαυτὴν ὁρᾷ, ἑαυτὴν διαρθροῖ, ἑαυτὴν ὁποίαν ἂν βούληται ποιεῖ. — Χρύσιππος ἐζήλου Ἐπίκουρον ἐν πολυγραφίᾳ. — Ἡ ἀριστερὰ κατορθοῖ τὸ προβόλιον. — Σιμωνίδης ἐρωτηθεὶς πόσον χρόνον βιώῃ· χρόνον, εἶπεν, ὀλίγον, ἔτη δὲ πολλά. — Σκεπτέον μέν σοι ποῖα ἐπιστάμενος Θεμιστοκλῆς ἱκανὸς ἐγένετο τὴν Ἑλλάδα ἐλευθεροῦν· σκεπτέον δὲ ποῖά ποτε εἰδὼς Περικλῆς κράτιστος ἐδόκει τῇ πατρίδι σύμβουλος εἶναι· ἀθρητέον δὲ καὶ πῶς ποτε Σόλων φιλοσοφήσας νόμους κρατίστους τῇ πόλει κατέθηκεν· ἐρευνητέον δὲ καὶ ποῖα Λακεδαιμόνιοι ἀσκοῦντες κράτιστοι δοκοῦσιν ἡγεμόνες εἶναι. — Οἱ νενικηκότες ἐστεφανοῦντο. — Ὀδυσσεὺς τὸν

λυπέω, tristitia aliquem adficio, med. doleo. graviter fero. — μακρηγορέω, multa verba facio. μάλιστα πάντων, omnium maxime. μελετάω, meditor. — νικάω, vinco. — ὀργή, ἡ. ira. οἷόν τε, c. Acc. et Inf. fieri potest. — παρέχω, exhibeo. πεινάω, esurio. περίβλεπτος, ον, illustris. προλέγω, pronuntio. προσήκειν, c. Dat. decere, aptum esse. προστάττω, iubeo. πῶμα, ατος, τό. potus. — σιγάω, sileo. σπουδαῖος, αία, αῖον, serius. gravis. — τελευτάω, morior. τιμάω, honore prosequor aliquem. — ὑμνέω, celebro. — φθονέω, invideo. φρέαρ. III, 4. — χράομαι, c. Dat. utor.

7. ἀθρέω, diligenter inquiro. ἀμαυρόω, deleo. exstinguo. ἀνδριαντοποιέω, statuas effingo. ἀνθιστῆται, Coni. praes. med. ἀνθίστασθαι, se opponere. ἀξιόω, c. Gen. dignum iudico. ἀσκέω, exerceo. αὔξω (αὐξάνω), augeo. — βασιλεία, ἡ. regnum. — δῃόω, vasto. populor. διαρθρόω, exprimo. explano. δουλόω, subiicio. med. sibi subigere. εἰδώς, sciens. intelligens. — ἐκστρατεύω, bellum infero. ἐκτυφλόω, excaeco. ἐλευθερόω, libero. ἐπίσταμαι, scio. ἐργολαβέω, aliquid faciendum suscipio. ἐρευνάω, investigo. ἐρωτάω, quaero. — ζηλόω, aemulor. ζημιόω, punio. — θαλαττοκρατέω, copiis navalibus valeo. — κατακαίνω, interficio. καταπλέω,

Κύκλωπα μεθύσας ἐξετύφλωσεν. — Ὁ χρόνος ἠμαύρωκε πολλά. — Μὴ πειρῶ τὴν κτῆσιν αὔξειν, ἀλλὰ τὴν ἐπιθυμίαν μειῶσαι. — Παρ' Ἰνδοῖς ὁ τεχνίτου πηρώσας χεῖρα ἢ ὀφθαλμὸν θανάτῳ ζημιοῦται. — Ἤν τις ἀνθιστῆται, πειρασόμεθα χειροῦσθαι. — Ξέρξης ἐξεστράτευσεν ὡς δουλωσόμενος τὴν Ἑλλάδα. — Ὁ Κόνων καταπλεύσας εἰς Φερὰς ἐδήωσε ταύτην τὴν χώραν. — Οἱ Κορίνθιοι ναῦς πληρώσαντες ἐθαλαττοκράτουν ἐν τῷ περὶ Ἀχαΐαν καὶ Λέχαιον κόλπῳ. — Οἱ μάντεις οὕτως ἐτιμῶντο, ὥστε καὶ βασιλείας ἀξιοῦσθαι. — Μακεδόνες ἐδουλώσαντο Πέρσας. — Αἰσχρόν, ὦ νεανία, τὸν βουλόμενον ἐν τῇ πόλει στρατηγεῖν, ἐξὸν τοῦτο μαθεῖν, ἀμελῆσαι αὐτοῦ· καὶ δικαίως ἂν οὗτος ζημιοῖτο πολὺ μᾶλλον, ἢ εἴ τις ἀνδριάντας ἐργολαβοίη μὴ μεμαθηκὼς ἀνδριαντοποιεῖν.

---

navigo. κατέθηκεν, 3. aor. 1. κατατιθέναι (νόμους), leges dare. κατορθόω, dirigo. κόλπος, ὁ. sinus. — μαθεῖν, Inf. aor. μεμαθηκώς, Part. pf. μανθάνω. μαστιγόω, verbero. μεθύσκω, ύσω, inebrio. μειόω, tempero, coerceo. — ὀργίζομαι, irascor. — πηρόω, mutilo. πληρόω, repleo. προβόλιον, τό. venabulum. — σκεπτέον (σκέπτομαι), considerandum est. στεφανόω, coronis redimio. σύμβουλος, ὁ. consultor. — τεχνίτης, ὁ. artifex. — φιλοσοφέω, philosophiae operam do.

PARS PRIOR

QVAE CONTINET SCRIPTORES ORATIONIS PEDESTRIS.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ

ΑΝΘΟΛΟΓΙΟΝ.

I. Πυθαγόρου.

Ἰσχὺς καὶ τεῖχος καὶ ὅπλον σοφῶν ἡ φρόνησις. — Ψυχῆς πᾶν πάθος εἰς σωτηρίαν αὐτῆς πολεμιώτατον. — Πράττε μεγάλα μὴ ὑπισχνούμενος μεγάλα. — Χαλεπὸν πολλὰς ὁδοὺς ἅμα τοῦ βίου βαδίζειν. — Πυθαγόρας ἔφη, ὅτι χρὴ βίον αἱρεῖσθαι τὸν ἄριστον· ἡδὺν γὰρ αὐτὸν ἡ συνήθεια ποιήσει. πλοῦτος ἀσθενὴς ἄγκυρα, δόξα ἔτι ἀσθενεστέρα· τὸ σῶμα ὁμοίως, αἱ ἀρχαί, αἱ τιμαί, πάντα ταῦτα ἀσθενῆ καὶ ἀδύνατα. τίνες οὖν ἄγκυραι δυναταί; φρόνησις, μεγαλοψυχία, ἀνδρεία· ταύτας οὐδεὶς χειμὼν σαλεύει. οὗτος θεοῦ νόμος, ἀρετὴν εἶναι τὸ ἰσχυρὸν καὶ βέβαιον μόνον, τὰ δ' ἄλλα λῆρον.

II. Σωκράτους.

Τοῦ βίου καθάπερ ἀγάλματος πάντα τὰ μέρη καλὰ εἶναι δεῖ. —

Ioannes Stobaevs tempore quidem vixit minus certo, sed Imperatoribus Christianismum diu professis et, si recentiorum quorundam iudicium audiemus, eo seculo quo Iustinianus I. (527.) purpuram imperialem sibi induit. quae in usum filii sui digessit collectanea (*Ἀνθολόγιον* s. *Ἐκλογαὶ ἀποφθεγμάτων καὶ ὑποθηκῶν.*) magnam scriptorum copiam maximeque philosophorum dicta comprehendunt. ex quibus pauca quaedam atque talia praesertim satis habeo delegisse, quae et facillima sunt intellectu, et nisi Stobaei industria aetatem non facile tulerint. Ed. Th. Gaisford. Oxon. 1822. I — IV. 8. Lips. 1823. I — IV. 8.

I. *ἡ φρόνησις.* ubi verbum desideras, ut hoc semel moneamus, in iunctura Nominativi cum uno pluribusve Praedicatis, ante omnia auxiliare *εἶναι* respicias. nec solum *ἐστί*, ut h. l., vel *εἰσὶ* in oratione recta, obliqua et interrogativa, sed etiam *εἰμί*, *ἐσμὲν* et Part. *ὤν*, tametsi rarius, sensu postulante suppleri debent. vid. B. §. 129. 12. — *εἰς σωτηρίαν*, *incolumitati eius infestissimum.* — *ὑπισχνούμενος* a v. *ὑπισχνέομαι.* — *ὁδούς*, de gen. vocis B. p. 463. nr. 4. *ἅμα*, Latinorum *una* et *simul.* quid sit h. l., per se liquet. — *ἔφη* a v. *φημί.* — *χρή*, B. verb. anom. s. v. *χράω.* — *ποιήσει* a v. *ποιέω.* — *πάντα ταῦτα haec omnia.* de nominibus *varii* generis. — *θεοῦ*, Articulo omisso. B. §. 124. not. 3. — *νόμος*, Praedicatum ad *οὗτος*. alias dicendum esset: *οὗτος ὁ νόμος.*

II. *δεῖ*, B. v. anom. s. v. *δέω.* de constructione vocis vid. Lexic. —

Ἀνδριὰς μὲν ἐπὶ βάσεως, σπουδαῖος δὲ ἀνὴρ ἐπὶ καλῆς προαιρέσεως ἑστὼς ἀμετακίνητος ὀφείλει εἶναι. — Σωκράτης ἐρωτηθείς, τί φρόνησις; Εὐαρμοστία, εἶπε, ψυχῆς. ὁ αὐτὸς ἐρωτηθείς, τίνες φρόνιμοι; Οἱ μὴ ῥᾳδίως, εἶπεν, ἐξαμαρτάνοντες. — Ὁ μὲν δειλὸς τῆς πατρίδος, ὁ δὲ φιλόδοξος τῆς πατρῴας οὐσίας ἐστὶ προδότης. — Οἱ δραπέται, κἂν μὴ διώκωνται, φοβοῦνται· οἱ δὲ ἄφρονες, κἂν μὴ κακῶς πράττωσι, ταράττονται. — Οἱ μὲν ξένοι ἐν ταῖς ὁδοῖς, οἱ δὲ ἀπαίδευτοι ἐν τοῖς πράγμασι πλανῶνται. — Ὁ μὲν Πρωτεὺς τῇ μορφῇ, ὁ δ' ἀπαίδευτος τῇ ψυχῇ παρ' ἕκαστον ἀλλοιοῦται. — Οὔθ' οἱ ἄμουσοι τοῖς ὀργάνοις, οὐδ' οἱ ἀπαίδευτοι ταῖς ἀτυχίαις δύνανται συναρμόσασθαι. — Σωκράτης ἰδὼν μειράκιον πλούσιον καὶ ἀπαίδευτον· Ἰδού, ἔφη, χρυσοῦν ἀνδράποδον!

III. Σωσιάδου τῶν ἑπτὰ σοφῶν ὑποθῆκαι.

Ἕπου θεῷ. νόμῳ πείθου. θεοὺς σέβου. γονεῖς αἰδοῦ. γνῶθι μαθών. ἀκούσας νόει. σαυτὸν ἴσθι. ἑστίαν τίμα. ἄρχε σεαυτοῦ. φίλοις βοήθει. θυμοῦ κράτει. ὅρκῳ μὴ χρῶ. σοφίαν ζήλου. ψέγε μηδένα. ἐπαίνει ἀρετήν. πράττε δίκαια. ἀλλοτρίων ἀπέχου. φίλῳ χαρίζου. μηδὲν ἄγαν. χρόνου φείδου. ὅρα τὸ μέλλον. δόλον φοβοῦ. σοφοῖς χρῶ. ἦθος δοκίμαζε. λαβὼν ἀπόδος. ἀκούων ὅρα. ἔριν μίσει. ὕβριν ἀμύνου. ἀποκρίνου ἐν καιρῷ. ἁμαρτάνων μετανόει. κινδύνευε φρονίμως. οὓς τρέφεις ἀγάπα. ἀπόντι μὴ μάχου. πρεσβύτερον αἰδοῦ, νεώτερον δίδασκε. προγόνους στεφάνου. θνῆσκε ὑπὲρ πατρίδος. τύχῃ μὴ πίστευε. παῖς ὢν κόσμιος ἴσθι, ἡβῶν ἐγκρατής, μέσος δίκαιος, πρεσβύτερος εὔλογος. τελεύτα ἄλυπος.

βάσεως. de Accentu v. B. §. 11. 8. — ἑστὼς (a v. ἵστημι) pr. ἑστηκώς. de significatione vid. B. p. 223. 1. 2. — ὀφείλει. B. v. anom. s. v. ὀφείλω. — ἐρωτηθεὶς a v. ἐρωτάω. — τί φρόνησις; etiam Latini dicerent: *quid* sit prudentia. — εἶπε, B. v. anom. s. v. εἰπεῖν. — κἂν i. e. καὶ ἐάν, *etiamsi*. — φοβοῦνται, a v. φοβέομαι *timeo, timore percellor*. comp. formam activam. — πλανῶνται, a v. πλανάομαι *erro, in errores abducor*. comp. formam act. — τῇ μορφῇ. Dat. idem valet quod Lat. Ablativus, qui accuratius aliquid definire solet. nos: in Ansehung einer Sache. — ἀλλοιοῦται, a v. ἀλλοιόω, -όομαι. — συναρμόσασθαι (Med.) c. Dat. *congruere cum aliquo*. — ἰδών. B. v. anom. s. v. ὁράω. — ἰδού, Interiectionem cave cum ἰδοῦ Imperativo confundas et ἀνδράποδον pro casu quarto interpreteris. comp. Lat. *en, ecce*.

III. αἰδοῦ, a v. αἰδέομαι c. Acc., ut Lat. *revereri aliquam*. — γνῶθι, a v. γιγνώσκω. B. v. anom. s. v. — μαθών, a v. μανθάνω. — σαυτ. ἴσθι (οἶδα.) *noce temet ipsum*. — τίμα, a v. τιμάω. — ἄρχε c. Genit., ut mox κράτει et reliqua verba imperandi. — χρῶ, Imperat. a v. χράομαι, χρῆσθαι, c. Dat. *uti aliqua re*. — ζήλου a v. ζηλόω. — ἀπέχου (ἀπέχω, -έχομαι.) c. Genit. *se continere ab aliqua re*. — μηδὲν ἄγαν. Lat. *nê quid nimis*. utrumque elliptice et verbum agendi vel perficiendi mente cogitandum. — φείδου, c. Genit., quem nostrates quoque adhibere solent. — ὅρα a v. ὁράω. — λαβών, a v. λαμβάνω. ἀπόδος, a v. ἀποδίδωμι. — ἔριν. de hoc Acc. in ν vid. B. §. 44. 2. — ἀγάπα, a v. ἀγαπάω. — ἀπόντι (ἄπειμι.) μ. μάχ. *cum* absente noli pugnare. cf. infra ad Aesop. fab. VIII. — στεφάνου, a v. στεφανόω. — ὑπὲρ πατρ. *pro patria*. — π. ὤν, Partic. verbi εἰμί, *als* Knabe; Lat. *tu, dum puer es, modestus sis* (ἴσθι, Imperat. eiusd. v., quocum comp. quod modo legimus, ἴσθι, a v. οἶδα.). — ἡβῶν, a v. ἡβάω. — μέσος, h. l. de tempore sive aetate, quae medium tenet inter et pueritiam et senectutem. sic μέσον ἡμέρας et alia. nec abhorret usus Lat. Cic. Cato mai. c. 20. de studiis *pueritiae, ineuntis adolescentiae, mediae aetatis, senectutis* loquitur.

IV. Διογένους.

Ἔφη τις τὸν Διογένην ἀνόητον εἶναι· ὁ δέ, Ἀνόητος μὲν οὐκ εἰμί, ἔφη, τὸν δὲ αὐτὸν ὑμῖν νοῦν οὐκ ἔχω. — Πωλούμενος ἐν Κορίνθῳ ἐρομένου τοῦ κήρυκος· Τί ἐπίστασαι; Ἀνθρώπων, ἔφη, ἄρχειν. καὶ ὁ κήρυξ γελάσας· Μέγα ἐπιτήδευμα πωλῶ, εἴ τις θέλει πρίασθαι κύριον. — Διογένης ἐσθίειν ἔλεγε τοὺς ἀνθρώπους τοῦ ἥδεσθαι ἕνεκα, ἀποπαύεσθαι δὲ αὐτοῦ τούτου χάριν μὴ ἐθέλειν. — Διογένης οὐδένα καλὸν ἔφησεν εἶναι πόνον, οὗ μὴ τέλος εἴη εὐψυχία καὶ τόνος ψυχῆς, ἀλλ' οὐχὶ σώματος. — Διογένης Ἀττικοῦ τινος ἐγκαλοῦντος αὐτῷ, διότι Λακεδαιμονίους μᾶλλον ἐπαινῶν παρ' ἐκείνοις οὐ διατρίβει· Οὐδὲ γὰρ ἰατρός, εἶπεν, ὑγιείας ὢν ποιητικὸς ἐν τοῖς ὑγιαίνουσι τὴν διατριβὴν ποιεῖται. — Οἱ φιλάργυροι καθάπερ μαχαίρᾳ τῷ βίῳ χρῶνται πάντα ποιοῦντες κατὰ τὴν λαβήν.

V. Σιμωνίδου.

Σιμωνίδης ὁ μελοποιὸς εἰπόντος τινός, ὅτι πολλοὶ αὐτὸν παρ' αὐτῷ κακῶς λέγουσιν· Οὐ παύσῃ, ἔφη, ποτὲ σὺ τοῖς ὠσί με βλασφημῶν; — Σιμωνίδης ἐρωτηθεὶς διὰ τί ἐσχάτου γήρως ὢν φιλάργυρος εἴη; Ὅτι, εἶπε, βουλοίμην ἂν ἀποθανὼν τοῖς ἐχθροῖς μᾶλλον ἀπολιπεῖν, ἢ ζῶν δεῖσθαι τῶν φίλων, κατεγνωκὼς τῆς τῶν πολλῶν φιλίας τὸ ἀβέβαιον.

VI. Ἀντισθένους.

Δεῖ τοὺς μέλλοντας ἀγαθοὺς ἄνδρας γενήσεσθαι τὸ μὲν σῶμα

IV. τὸν — αὐτὸν ὑμῖν ctt. *eandem vobiscum mentem.* ὁ αὐτὸς autem et alia quaedam, quae aliquid cum tertio aliquo vel remotiore comparent, Dativum adsciscunt. — πωλούμενος, iunge ἔφη. ἐρομένου τ. κήρ. Genitivus, quem dicunt, absolutus. vid. B. §. 145. 2 et 3. — ἄρχειν. vid. ad c. 3. — γελάσας (γελάω.) B. §. 95. not. 3. — πρίασθαι, Inf. Aor. vid. B. verb. anom. s. v. — τοῦ ἥδ. ἕνεκα. Infinitivus Articulo neutr. gen. praeposito vim nominis substantivi accipit, quem usum nos imitamur. comp. Zumpt. Gr. Lat. cap. 80. §. 597. 598. ἕνεκα et mox χάριν Praepositiones c. Genit., ut Lat. *causa — gratia.* — οὗ μὴ τέλ. —, ἀλλ' οὐχί, *cuius finis non esset* —, *minime vero* ctt. — μᾶλλον, suppl. ἢ τοὺς Ἀθηναίους. — οὐδὲ γὰρ ctt. plenius: οὐ διατρίβω παρὰ τοῖς Λακεδ., οὐδὲ γάρ. — ὤν. vid. ad c. 3. — διατρ. ποιεῖται (Medium) *commoratur.* — χρῶνται (χρῆσθαι.) vid. ad c. 3. — κατὰ τ. λαβήν, ex φιλάργυροι sume ἀργύρου. *ex ratione argenti, quod avari corripere possint.*

V. εἰπόντος (εἰπεῖν. B. verb. anom. s. v.) τινός. Genit. abs. v. ad c. 4. — κακῶς λέγ. c. Accus. sic etiam κακολογεῖν et reliqua verba dicendi cum Adverbiis iuncta. secus Latini: *maledicere alicui.* — οὐ παύσῃ — ποτὲ σύ ctt. παύεσθαι postulat Participium verbi sibi adiuncti, h. l. βλασφημῶν, *desinere* (se desinentem facere.) *aliquem maledictis lacessere.* comp. παύειν c. Acc. Participii. σὺ Pron. ne otiose positum putes, opponitur voci πολλοί, et quod huc quoque pertinet, ardorem praecepta dantis aut stomachosius aliquem inclamantis et adloquentis magis exprimit. comp. Zumpt. Gr. lat. c. 84. §. 693. 1. τοῖς ὠσὶ videtur Dativus esse, quem dicunt, incommodi, ex toto sententiarum nexu explicandus. — ἐρωτηθείς, supra c. 2. — ὤν (εἶναι.), cum Genit. *cuius rei* vel *personae esse* dicimur. — ἀποθανών, a v. ἀποθνήσκω. — ζῶν, a v. ζάω, ζῆν. — δεῖσθαι τῶν φ. *indigere amicorum* (amicis.). — κατεγνωκώς; a v. καταγιγνώσκω. — τὸ ἀβέβ. Articulus etiam Adiectivis vim Substantivorum tribuit. vid. de Infin. ad c. 4.

VI. δεῖ, supra ad c. 2. — μέλλοντας — γενήσεσθαι (γίγνεσθαι.), *qui*

γυμνασίοις ἀσκεῖν, τὴν δὲ ψυχὴν παιδεύειν. — Ἀντισθένης ἐρωτηθεὶς ὑπό τινος τί διδάξει τὸν υἱόν, εἶπεν· Εἰ μὲν θεοῖς μέλλει συμβιοῦν φιλόσοφον, εἰ δὲ ἀνθρώποις ῥήτορα. — Ἀντισθένης ἐρωτηθεὶς τί δή ποτε οὐχ οἱ πλούσιοι πρὸς τοὺς σοφοὺς ἀπίασιν, ἀλλ' ἀνάπαλιν; εἶπεν· Ὅτι οἱ σοφοὶ μὲν ἴσασιν ὧν ἐστὶν αὐτοῖς χρεία πρὸς τὸν βίον, οἱ δὲ οὐκ ἴσασιν, ἐπεὶ μᾶλλον χρημάτων ἢ σοφίας ἐπεμελοῦντο.

VII. Περὶ ἀνδρείας.

Λεωνίδης ἀκούσας ἐπισκιάζεσθαι τὸν ἥλιον τοῖς Περσῶν τοξεύμασιν· Χάριεν, ἔφη, ὅτι καὶ ὑπὸ σκιᾷ μαχούμεθα. Γοργὼ ἡ Λακεδαιμονία, Λεωνίδου γυνή, τοῦ υἱοῦ αὐτῆς ἐπὶ στρατείαν πορευομένου τὴν ἀσπίδα ἐπιδιδοῦσα εἶπεν· Ἢ ταύταν ἢ ἐπὶ ταύτᾳ. Λάκαινα γυνὴ τοῦ υἱοῦ αὐτῆς ἐν παρατάξει χωλωθέντος καὶ δυσφοροῦντος ἐπὶ τούτῳ· Μὴ λυποῦ τέκνον, εἶπεν, καθ' ἕκαστον γὰρ βῆμα τῆς ἰδίας ἀρετῆς ὑπομνησθήσῃ. Ἄμις ὁ βασιλεὺς ἔφη τοὺς Λακεδαιμονίους μὴ ἐρωτᾶν ὁπόσοι εἰσίν, ἀλλὰ ποῦ εἰσὶν οἱ πολέμιοι. καὶ ἐρωτῶντός τινος· Πόσοι εἰσὶ Λακεδαιμόνιοι, ἔφη· Ἱκανοὶ τοὺς κακοὺς ἀπερύκειν. — Ἀνδρεῖος οὐχ ὁ τῶν πολεμίων κρατῶν μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρείσσων. Σωκράτης ἐρωτηθεὶς τί ῥώμη, εἶπε· Κίνησις ψυχῆς μετὰ σώματος. Σωκράτους φεύγοντος τὴν δίκην Λυσίας λόγον τινὰ συγγράψας ἦλθεν αὐτῷ κομίζων καὶ ἐκέλευε χρήσασθαι. τοῦ δὲ Λυσίου εἰπόντος, καὶ μὴν κάλλιστον αὐτὸν εἶναι· Καὶ τὰ ῥόδα, ἔφη, κάλλιστά ἐστιν, ἀλλ' οὐ πρέπειν αὐτῷ τὸ στεφάνωμα. Τεθνήξῃ τοίνυν, ἔφη ὁ Λυσίας, εἰ μὴ οὕτως ἀπολογήσῃ. ὁ δέ· Εἰ

---

aliquando (futuro tempore) *fieri cupiunt.* cf. ad Aesop. I. — διδάξει (διδάσκω.), ut Lat. *docere aliquem aliquid*, et cum solo Acc. personae, ut proxime: φιλόσοφον — ῥήτορα, intell. διδάξω, i. e. *docendo philosophum reddam*, efficiam ut philosophus fiat. nos: zum Redner einen bilden, erziehen ctt. — ἀπίασιν, a v. ἄπειμι, ἰέναι. — ἴσασιν (ἴσημι.) ὧν — χρεία. Attractio, ὧν enim a voce χρεία attrahitur, quum pertineat etiam ad ἴσασιν. quod ubi fit, Pronomen relat. a nomine suo una pluribusve vocubis disiungi solet. — ἐπεμελοῦντο (ἐπιμελέομαι.) c. Genit. B. p. 371.

VII. ὅτι καὶ — μαχούμεθα (μάχομαι.), *quod etiam in umbra pugnabimus.* aliud enim atque novum argumentum accedit, cur bene Lacedaemonii pugnaturi sint. ὅτι καὶ igitur idem fere est, quod alias καὶ γάρ. μαχούμεθα, Fut. Att. vid. B. §. 95. not. 16. ceterum Herodoto auctore (VII, 226.) Dieneces, qui unus fortissimorum in Thermopylis occidit, hoc dictum dixisse fertur. Latine expressit Cic. Tuscul. I, 42, 101. — ἐπιδιδοῦσα, a v. ἐπιδίδωμι. — ταύταν — ταύτᾳ, Dorice. comp. B. §. 34. not. IV. 1. ceterum haec pro more Laconico breviter monita sic explens: ἢ τ. ἀνακόμιζε ἢ ἐπὶ τ. ἀνακομίζον. interfecti enim proelio reportabantur in clypeum impositi. — χωλωθέντος, a v. χωλόω. — δυσφοροῦντος (δυσφορέω.), *quum aegre ferret.* — λυποῦ, a v. λυπέομαι. comp. Act. λυπέω. — ὑπομνησθήσῃ. B. verb. anom. v. μιμνήσκω. — ἱκανοὶ ctt. Lat. satis multi *ad ignavos propulsandos.* — ὁ — κρατῶν. vid. supra ad c. 3. init. — κρείσσων, Comparativus cum Genit. eius rei, quae comparatur, ubi Latini casu sexto utuntur *quam* omisso. — τί ῥώμη. vid. ad c. 2. init. — ἦλθεν a v. ἔρχομαι. — χρήσασθαι (χράομαι), Objectum (vid. ad c. 3.) pete a voce λόγον. — καὶ μήν, *et vero, et sane.* — τὰ ῥόδα — ἐστιν. Neutrum numeri plur. verbum num. sing. fere adsciscit, certe in rebus inanimis. — οὐ πρέπειν, exspectes ex praegressis πρέπει, nunc vero transit in orationem obliquam. — τεθνήξῃ,

γάρ, ἔφη, καὶ μὴ νῦν, πάντως τεθνήξομαι. Πλάτων ἔφη τοὺς ἀγαθοὺς ἄνδρας βίου μὴ μακροῦ, ἀλλὰ λαμπροῦ δεῖσθαι. Πλάτων ἐρωτηθεὶς, πῶς ἔχειν δεῖ πρὸς τὰ συμπτώματα· Οὕτως, εἶπεν, ὥστε προϊδόντα μὴ ἐμβῆναι, ἐμβάντα δὲ κατ' ἄγνοιαν μὴ φροντίσαι.

VIII. Ἀριστείδου ἐν τῷ Γ τῶν Περσικῶν.

Περσῶν μετὰ πεντακοσίων μυριάδων ἐπὶ τὴν Ἑλλάδα φερομένων Λακεδαιμόνιοι τριακοσίους εἰς Θερμοπύλας ἔπεμψαν, στρατηγὸν αὐτοῖς δόντες Λεωνίδην. οὗτος τὸ ἐπερχόμενον θεασάμενος τῶν πολεμίων πλῆθος εὐωχουμένοις εἶπε τοῖς συμμάχοις· Οὕτως ἀριστᾶτε, ὦ τριακόσιοι, ὡς ἐν ᾅδου δειπνήσοντες. ἐπιφανέντων οὖν τῶν βαρβάρων Λεωνίδας πολλοῖς περιπεπαρμένος δόρασι μεθ' ὁρμῆς ἐπὶ Ξέρξην ἠμύνθη, καὶ περιελόμενος αὐτοῦ τὸ διάδημα πρὸ τῶν τραυμάτων κατέσχε καὶ αἱμορραγήσας ἐξέπνευσεν. ἀνατεμὼν δὲ ὁ βασιλεὺς τὸ τοῦ Λεωνίδου στῆθος εὗρεν αὐτοῦ τὴν καρδίαν τριχῶν γέμουσαν.

IX. Ξενοφῶντος.

Ξενοφῶντι ἐν Σκιλλοῦντι ἐστεφανωμένῳ καὶ θύοντι ἀπήγγειλέ τις Γρύλλον τὸν υἱὸν περὶ Μαντίνειαν πολεμοῦντα ἀνῃρῆσθαι. ὁ δὲ ἀποθέμενος τὸν στέφανον εἴρετο, ὅπως ἀγωνιζόμενος τελευτήσειε· τοῦ δ' εἰπόντος, Ἄριστα, ἐπιθέμενος τὸν στέφανον πάλιν ἔθυεν.

---

a v. θνήσκω. B. verb. anom. — πάντως, *omnino sane, utique vero.* — δεῖσθαι, vid. supra c. 5. — π. ἔχειν — πρὸς τ. συμπτ. *quomodo quis se gerere* (B. p. 452. s. v. ἔχειν) *debeat erga calamitates.* συμπτώματα (σύν, πίπτειν.) *casus, res fortuitae*, vox est bonis auctoribus minus firmata. veteres certe praeferunt τὰ συμβάντα, συμβεβηκότα et similia. — οὕτως — ὥστε, *ita ut*, h. l. cum Infin. ἐμβῆναι (ἐμβαίνω.), cui προϊδόντα (προορᾶω.) Accusativus Subi. accedit. comp. Aesop. fab. II. extr. — κατ' ἄγνοιαν, *per imprudentiam* s. *prae imprudentia.*

VIII. μυριάδων. v. B. §. 71. 4. — ἐπὶ τ. Ἑλλ. φερομένων. vid. ad Aesop. fab. XVII. — Θερμοπύλας, angustus transitus ex Thessalia in Locridem et Boeotiam, inter sinum Maliacum et praeruptos montes Locrorum Epicnemidiorum. nomen dederunt aquae calidae inde emergentes, immortalitatem trecenti isti. — δόντες a v. δίδωμι. — θεασάμενος (θεάομαι.). ad Aesop. f. VII. — εὐωχουμένοις a v. εὐωχέω, -έομαι. — ἀριστᾶτε a v. ἀριστάω. — ὡς — δειπνήσοντες, *quasi in orco coenaturi.* v. ad Aesop. f. XII. ἐν ᾅδου, ne requiras ἐν ᾅδῃ, quod soloecum semel bisve occurrit apud scriptorem pessimae notae, vid. B. §. 132. not. 9. comp. ad Aelian. c. XXXI. — ἐπιφανέντων. B. verb. anom. s. v. φαίνομαι. — περιπεπαρμένος (περιπείρω.), B. §. 101. 8. saepius apud Lucianum, ut nostro loco. κρέα περιπεπαρμένα τοῖς ὀβελοῖς, et simil. — δόρασι. B. unreg. Nom. s. v. δόρυ. — ἠνέχθη (φέρω.), *ad Xerxem referebatur.* haec quidem Aristides, secus Herodotus VII, 225. τὸν νεκρὸν τοῦ Λ. ἀρετῇ οἱ Ἕλληνες ὑπεξείρυσαν. — περιελόμενος a v. περιαιρέω. — κατέσχε a v. κατέχω. — ἐξέπνευσεν (ἐκπνέω.) B. verb. anom. v. πνέω. — εὗρεν a v. εὑρίσκω. — τριχῶν (B. §. 18. 2.) γέμουσαν, *crinibus scatentem.* γέμω, verbum abundantiae, cum Genit. ad rem comp. a Mureto disputata *de quibusdam qui piloso sunt corde.* opp. omnia. II. p. 283.

IX. ἐν Σκιλλοῦντι. Σκιλλοῦς urbs Triphyliae, in qua urbe Xenophon ab Atheniensibus exsilio multatus aliquamdiu vixit et templum dedicavit Dianae ex pecunia deae sacra. hinc ἐστεφανωμένος (στεφανόω.) et θύων dicitur. — ἀνῃρῆσθαι (ἀναιρέω.), *sublatum, interfectum esse.* — ἀποθέμενος, a v. ἀποτίθημι. — εἴρετο, ex indole linguae Atticae rectius dices ἤρετο. vid. B. v. verb. anom. v. ἐρέσθαι. — ὅπως, *quemadmodum, quomodo.*

X. Ἐπαμεινώνδου.

Πρέσβεις ἧκον παρὰ βασιλέως χρυσίον κομίζοντες, βουλόμενοι δωροδοκῆσαι τὸν Ἐπαμινώνδαν. ὁ δὲ αὐτοὺς εἰς ἄριστον εἰσεδέξατο· ᾔδει γὰρ ἐφ' ᾧ τινι ἧκον. καὶ ἐκέλευσεν αὐτοὺς πρότερον ἀριστᾶν, εἶτα λέγειν περὶ ὅτου βούλοιντο. παρακειμένης δὲ τραπέζης φαύλης καὶ ὀξίνην ἔπινον. οἱ μὲν οὖν οὐκ εἶχον ὅ τι καὶ εἴποιεν ἐπὶ τούτοις· ὁ δὲ διαμειδιάσας· Ἄπιτε, ἔφη, κἀὶ λέγετε τῷ δεσπότῃ τῷ ὑμετέρῳ οἷα ἄριστα ἀριστῶ· καὶ συνήσει, ὡς ἔγωγ' οὐκ ἂν προδοίην τι ὁ τούτοις ἀρκούμενος.

X. ἧκον, *venerant.* — βασιλέως. B. §. 124. not. 3. — Ἐπαμινώνδαν. forma altera, ut videtur, antiquior Ἐπαμεινώνδαν. — ᾔδει a v. οἶδα. — οὐκ εἶχ. ὅ τι ctt. *non habebant quid dicerent.* καὶ post relat. vid. infra ad Aelian. c. XIX. — διαμειδιάσας. B. §. 95. 5. — ἄπιτε a v. ἄπειμι. — συνήσει (συνίημι.), vulgo συνήσεται. — προδοίην a v. προδίδωμι. — τούτοις ἀρκ. *his contentus.*

ΜΥΘΟΙ ΑΙΣΩΠΕΙΟΙ.

I. Γεωργὸς καὶ παῖδες αὐτοῦ.

Ἀνὴρ γεωργὸς μέλλων τελευτᾶν καὶ βουλόμενος τοὺς αὐτοῦ παῖδας ἐμπείρους ποιῆσαι τῆς γεωργίας, μετακαλεσάμενος αὐτοὺς ἔφη· Τεκνία μου, ἐν ἑνί μου τῶν ἀμπελώνων θησαυρὸς ἀπόκειται. οἱ δὲ μετὰ τὴν αὐτοῦ τελευτὴν ὕννας τε καὶ δικέλλας λαβόντες πᾶσαν αὐτῶν τὴν γεωργίαν ὤρυξαν καὶ τὸν μὲν θησαυρὸν οὐχ εὗρον, ἡ δ' ἄμπελος πολλαπλάσιον τὴν φορὰν αὐτοῖς ἀντεδίδου.

Ὁ λόγος δηλοῖ, ὅτι ὁ κάματος θησαυρός ἐστι τοῖς ἀνθρώποις.

II. Βάτραχοι αἰτοῦντες βασιλέα.

Βάτραχοι λυπούμενοι ἐπὶ τῇ ἑαυτῶν ἀναρχίᾳ πρέσβεις ἔπεμψαν ἐπὶ τὸν Δία, δεόμενοι βασιλέα αὐτοῖς παρασχεῖν. ὁ δὲ συνιδὼν τὴν

Aesopvs, quem alii Thracem, alii Phrygem, alii nescio qua terra natum referunt, servus fuit Iadmonis Samii teste Herodoto (II, 134.), ob liberale ingenium iam pridem manumissus. vinculis solutis in aula Croesi regis degebat, postea vero in Graeciam ab eodem missus familiariter cum VII sapientibus maximeque cum Solone vixisse fertur. ex quo colligas licet, eum aequalem fuisse Sapphus poetriae, Alcaei, Mimnermi, et viridem eius vigentemque aetatem incidere in Olymp. 50. 578 a. C. n. huic igitur *λογοποιῷ* verisimile est totum poeseos genus nomen Aesopei acceptum referre, quamquam ipsius fabulae ne per litteras quidem, sed per ora populi ad posteros transiisse videntur. — Vid. dissert. anonymi cuiusdam de Gr. fabularum scriptt. in Nachtr. z. Sulzers Th. d. s. K. V, 1. p. 269 sq. — Edd. G. H. Schaefer, e. Hudsoni et Heusing. not. Lips. 1810. 8. I. G. Schneider. Vratisl. 1812. 8.

I. (42. ed. Schn.) *ἀνὴρ γεωργός*. nota prius vocabulum, homini negotium vel artem aliquam exercenti iunctum, quod nos et Latini omittere solemus, quamquam Graeci aeque ac *γυνὴ γραῦς* et sim. non sine causa adiiciunt. v. Buttm. §. 123. not. 2. — *μέλλων τελ. quum moriturus esset, in eo esset ut moreretur*. B. §. 150. p. 451. — *ἐμπείρους*, ut Lat. *peritus* c. Genit., quo pars totius alicuius rei indicetur. — *μετακαλεσάμενος* (*καλέω.*) v. B. §. 95. not. 3. et verb. anom. s. v.

λαβόντες (*λαμβάνω.*) B. verb. anom. s. v. — *ὤρυξαν* a v. *ὀρύττω fodio, perfodio.* — *εὗρον* (*εὑρίσκω.*). de Augm. B. §. 84. not. 2. — *πολλαπλάσιον*. de genere vocis B. §. 60. 4. — *ἀντεδίδου*. v. Gramm. s. v. *δίδωμι*.

II. (44.) Compara Phaedrum, qui lib. I, 2. hanc fabulam expressit, postquam priore poematii parte fabulam Aesopeam eo tempore excogitatam iudicavit, quo Pisistratus tyrannus Athenarum arcem occupaverit. vid. tamen Fabricii Bibl. Gr. I. p. 619. Harl.

δεόμενοι. de contractione huius vocis v. B. §. 105. not. 2. — *παρασχεῖν* a v. *παρέχειν*. — *συνιδὼν* (*ὁράω.*) *τὴν εὐήθ. quod stultitiam s. simplici-*

εὐήθειαν ξύλον εἰς τὴν λίμνην καθῆκε· καὶ οἱ βάτραχοι τὸ μὲν πρῶτον καταπλαγέντες τὸν ψόφον ἑαυτοὺς εἰς τὰ βάθη τῆς λίμνης ἐδίδοσαν. ὕστερον δὲ ὡς ἀκίνητον ἦν τὸ ξύλον, ἀναδύνοντες εἰς τοσοῦτον καταφρονήσεως ἦλθον, ὡς ἐπιβαίνοντες αὐτῷ ἐπικαθέζεσθαι. ἀναξιοπαθοῦντες δὲ τοιοῦτον ἔχειν βασιλέα ἦκον ἐκ δευτέρου πρὸς τὸν Δία καὶ τοῦτον παρεκάλουν ἀλλάξαι αὐτοῖς τὸν ἄρχοντα· τὸν γὰρ πρῶτον λίαν εἶναι ναχελῆ. καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ' αὐτῶν ὕδραν αὐτοῖς ἐπέπεμψεν, ὑφ' ἧς συλλαμβανόμενοι κατησθίοντο.

Ὁ λόγος δηλοῖ, ὅτι ἄμεινόν ἐστι νωθεῖς καὶ μὴ πονηροὺς ἔχειν ἄρχοντας, ἢ ταρακτικοὺς καὶ κακούργους.

III. Ἀνὴρ κακοπράγμων.

Ἀνὴρ κακοπράγμων συνορισάμενος πρός τινα ψευδὲς ἐπιδείξειν τὸ ἐν Δελφοῖς μαντεῖον, ὡς ἐνέστη ἡ προθεσμία, λαβὼν στρουθίον εἰς τὴν χεῖρα καὶ τοῦτο τῷ ἱματίῳ σκεπάσας ἧκεν εἰς τὸ ἱερὸν καὶ στὰς ἄντικρυς ἐπηρώτα, πότερόν τι ἔμπνουν ἔχει μετὰ χεῖρας ἢ ἄπνουν; βουλόμενος, ἐὰν μὲν ἄψυχον εἴπῃ, ζῶν τὸ στρουθίον ἐπιδεῖξαι, ἐὰν δὲ ἔμπνουν, ἀποπνίξας προενεγκεῖν. καὶ ὁ θεὸς συνεὶς αὐτοῦ τὴν κακοτεχνίαν εἶπεν, ἀλλ' ὦ οὗτος πέπαυσο· ἐν σοὶ γάρ ἐστι τοῦτο ὃ ἔχεις ἢ νεκρὸν εἶναι ἢ ἔμψυχον.

Ὁ λόγος δηλοῖ, ὅτι τὸ θεῖον ἀπαρεγχείριστόν ἐστι.

IV. Γέρων καὶ Θάνατος.

Γέρων ποτὲ ξύλα κόψας καὶ ταῦτα φέρων πολλὴν ὁδὸν ἐβάδιζε. διὰ δὲ τὸν κόπον τῆς ὁδοῦ ἀποθέμενος τὸ φορτίον τὸν θάνατον ἐπεκα-

---

tatem intellexit. καθῆκε a v. καθίημι *demitto.* — τὸ μ. πρῶτον *primum quidem.* καταπλαγέντες (καταπλήττω.) τὸν ψ. *strepitu* s. *timore strepitus perculsi*, quo sensu κατεπλάγην Aor. frequentatur Atticis. η verbi πλήττω compositis in α mutari docet B. verb. anom. s. v. — ἑαυτοὺς — ἐδίδοσαν *se dederunt* (immiserunt) *in profunda paludis loca.* plerumque εἴς τι s. εἴς τινα δοῦναι c. Pron. reflexivo id indicat, cuius in usum, ut alicui aut offeram aliquid aut areeam, me dedi operamque meam. sic Demosthenes orator de se: ἔδωκα ἐμαυτὸν ὑμῖν ἁπλῶς εἰς τοὺς κινδύνους τῆς πόλεως.

τοσοῦτον c. Genit., ut Lat. *huc* vel *eo insolentiae.* comp. B. §. 132. not. 4. — ἦλθον a v. ἔρχομαι. — ὡς — ἐπικαθέζεσθαι (καθίζω.) *ita ut* (ὡς enim i. q. ὥστε c. Inf. B. §. 140. 4.) *in eo* (ξύλῳ) *insiderent.* ceterum ex regula grammatica (B. §. 142. 4.) exspectaveris ἐπιβαίνον τ ε ς, quod Subi. non mutatur. v. supra Stob. c. 7. extr.

ἦκον. B. §. 137. not. 8. — ἐκ δευτέρου *iterum.* — τὸν γ. — εἶναι. Acc. c. Inf. pendet ab omisso verbo dicendi.

III. (36.) συνορισάμενος, idem valet quod simplex ὁρίζεσθαι *pactionem facere, spondere,* quamquam σὺν praepositio h. l. suam sibi vim tuetur. — ἐπιδείξειν (δείκνυμι). de iis dicitur, quicunque artis vel artificii alicuius specimen edunt, maxime cum specie ostentationis. — ἐνέστη vid. ἵστημι in Gramm. — προθεσμία, vox forensis. proprie enim dies est, de quo convenit inter actorem et reum, vadimonii obeundi. hinc nostro loco *dies constituta,* d. anberaumte Tag. — λαβών. fab. I. — ἧκεν. fab. II. — στὰς a v. ἵστημι. — πότερον — ἔχει. de Indic. temporis praes. et a nostro et a Latinorum usu dicendi recedente vid. B. §. 137. not. 7. — προενεγκεῖν a v. προφέρω.

συνεὶς a v. συνίημι. — ὦ οὗτος, *heus tu!* B. §. 76. not. 3. — ἐν σοὶ γάρ ἐστι, *penes te est.*

IV. (60.) κόπον, a v. κόπτειν *pulsare, tundere,* unde κόπος proprie *contusio,* das Zerschlagensein, hoc vero loco *defatigatio.* — ἀποθέμενος a v. ἀποτίθημι. — φορτίον a v. φέρειν, vel potius φορεῖν, quod conti-

λεῖτο· τοῦ δὲ θανάτου φανέντος καὶ πυθομένου, δι' ἣν αἰτίαν αὐτὸν παρακαλεῖται, ὁ γέρων ἔφη· Ἵνα τὸ φορτίον ἄρῃς· θανεῖν δὲ οὐ θέλω.

Ὁ λόγος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος φιλόζωος ἐν τῷ βίῳ, κἂν δυστυχῇ.

V. Ἐχθροί.

Δύο ἐχθροὶ ἐν μιᾷ νηῒ ἔπλεον· βουλόμενοι δ' ἀλλήλων πολὺ διεξεῦχθαι ὥρμησαν ὁ μὲν ἐπὶ τὴν πρώραν, ὁ δὲ ἐπὶ τὴν πρύμνᾶν, καὶ ἐνταῦθα ἔμενον. χειμῶνος δὲ σφοδροῦ καταλαβόντος καὶ τῆς νηὸς περιτρεπομένης ὁ ἐν τῇ πρύμνῃ ἐπυνθάνετό τινος, περὶ ποῖον μέρος καταδύεται τὸ σκάφος πρῶτον κινδυνεῦον· τοῦ δὲ εἰπόντος· Κατὰ τὴν πρώραν, ἔφη· Ἀλλ' ἔμοιγε οὐκέτι λυπηρὸς ὁ θάνατός ἐστιν, εἴγε ὁρᾶν μέλλω τὸν ἐχθρόν μου προαποπνιγόμενον.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων διὰ τὴν πρὸς ἐχθροὺς δυσμένειαν αἱροῦνται καὶ αὐτοὶ τὸ δεινὸν πάσχειν, χάριν τοῦ κἀκείνους ὁρᾶν δυστυχήσαντας.

VI. Ὁδοιπόροι καὶ Ἄρκτος.

Δύο φίλοι τὴν αὐτὴν ὁδὸν ἐβάδιζον· ἄρκτου δὲ ἐν τῇ ὁδῷ φανείσης ὁ μὲν εἷς ἀνέβη ἐπί τι δένδρον, κἀκεῖ κατεκρύπτετο· ὁ δὲ ἕτερος μέλλων περικατάληπτος γενέσθαι, ἐπὶ τοῦ ἐδάφους πεσὼν νεκρὸν ἑαυτὸν προσεποιεῖτο. τῆς δὲ ἄρκτου προσενεγκούσης αὐτῷ τὸ ῥύγχος καὶ περιοσφραινομένης αὐτὰς τὰς ἀναπνοὰς οὗτος συνεῖχεν αὐτάς· φασὶ γὰρ νεκροῦ μὴ ἅπτεσθαι τὸ ζῶον. ἀπαλλαγείσης δὲ αὐτῆς ὁ ἀπὸ τοῦ δένδρου καταβὰς ἐπυνθάνετο· Τί ἡ ἄρκτος πρὸς τὸ οὖς εἴρηκεν; ὁ δὲ εἶπεν τοιούτοις τοῦ λοιποῦ μὴ συνοδοιπορεῖν φίλοις, οἳ ἐν κινδύνοις οὐ παραμένουσι.

---

nuationem τοῦ φέρειν significat. igitur ut φορεῖν onustum esse vel onera portare, sic φορτίον h. l. onus sarmentis virgultisque collectis a sene susceptum. — τοῦ δὲ θανάτου ctt. Genit. abs. B. §. 145. 2. — παρακαλεῖται. de Indic. idem valet, quod fab. III extr. de ἔχει monitum est. — κἂν (καὶ ἐάν) etiamsi. — θανεῖν, a v. θνήσκω.

V. (68.) ἔπλεον. de contractione verbi v. B. §. 105. not. 2. — ἀλλήλων Genitivus pendet a v. διαζεύγνυσθαι.

καταλαβόντος. vid. ad f. XI init. — ἐπυνθάνετό τινος, etiam ἐκ et παρά τινος recte diceretur. — πρῶτον iunge cum καταδύεται. — ὁρᾶν cum Participio, ut semper ubi nos Infinitivo uteremur; sic h. l. προαποπνιγόμενον prius suffocatum, quae compositio verbi legitime structa Lexicis inserenda est. — χάριν τοῦ — ὁρᾶν ob id ipsum quod conspiciunt.

VI. (65.) ἄρκτος. de genere vocis v. B. §. 32. not. 3. — ὁ μὲν εἷς — ὁ δ' ἕτερος, alter — alter, unus — alter. in his oppositis Articulo praepositivo voculae εἷς adiecto vis eiusdem aliquantulum augetur. Hom. Od. 20, 109. οἱ μὲν ἄρ' ἄλλαι εὗδον, — ἡ δὲ μί' οὔπω πάνυτο. — ἀνέβη a v. ἀναβαίνω. — πεσὼν a v. πίπτω. quocum verbo ἐπὶ Praepositio cum Genit. iuncta motum significat, quo versus aliquis concidat. — προσεποιεῖτο. προσποιεῖσθαι Medium saepius, ut h. l., de rebus a me alienis, quas simulate mihi arrogo atque profiteor.

προσενεγκούσης. ad fab. III extr. — συνεῖχεν (ἔχω.) de Augm. v. B. §. 84. 2. — ἅπτεσθαι et alia verba tangendi cum Genit., quo non totum, sed pars aliqua adtacta significetur. — τί ἡ ἄρκτος ctt. quidnam ad aurem te admonuit ursa? in aurem tibi dixit? εἴρηκεν vid. B. v. anom. s. v. εἰπεῖν. τοῦ λοιποῦ. Genit. temporis. nos: des ferneren, d. weiteren. hinfort.

Ὁ λόγος δηλοῖ, ὅτι τοὺς γνησίους τῶν φίλων αἱ συμφοραὶ δοκιμάζουσι.

VII. Ἔλαφος καὶ Λέων.

Ἔλαφος δίψει συσχεθεῖσα παρεγένετο ἐπί τινα πηγήν· πιοῦσα δὲ ὡς ἐθεάσατο τὴν ἑαυτῆς σκιὰν κατὰ τοῦ ὕδατος, ἐπὶ μὲν τοῖς κέρασιν ἠγάλλετο ὁρῶσα τὸ μέγεθος καὶ τὴν ποικιλίαν, ἐπὶ δὲ τοῖς ποσὶ σφόδρα ἤχθετο ὡς λεπτοῖς οὖσι καὶ ἀσθενέσιν. ἔτι δ' αὐτῆς διανοουμένης λέων ἐπιφανεὶς ἐδίωκεν αὐτὴν κἀκείνη εἰς φυγὴν τραπεῖσα κατὰ πολὺ αὐτοῦ προεῖχε. μέχρι μὲν οὖν ψιλὸν ἦν τὸ πεδίον, ἡ μὲν προθέουσα ἐσώζετο· ἐπεὶ δὲ ἐγένετο κατά τινα ὑλώδη τόπον, τηνικαῦτα συνέβη τῶν κεράτων αὐτῆς ἐμπλακέντων τοῖς κλάδοις μὴ δυναμένην τρέχειν συλληφθῆναι τῷ λέοντι. μέλλουσα δὲ ἀναιρεῖσθαι ἔφη πρὸς ἑαυτήν· Δειλαία ἐγώ, ἥτις ὑφ' ὧν μὲν ᾠόμην προδοθήσεσθαι, ἐσωζόμην ὑπὸ τούτων, οἷς δὲ καὶ σφόδρα ἐπεποίθειν, ὑπὸ τούτων ἀπωλόμην.

Οὕτω πολλάκις ἐν κινδύνοις οἱ μὲν ὕποπτοι τῶν φίλων σωτῆρες ἐγένοντο, οἱ δὲ σφόδρα ἐμπιστευθέντες προδόται.

VIII. Ἔχις καὶ Ὕδρος.

Ἔχις φοιτῶν ἐπί τινα κρήνην ἔπινεν· ἡ δὲ ἐνταῦθα οἰκοῦσα ὕδρα ἐκώλυεν αὐτόν, ἀγανακτοῦσα εἴγε μὴ ἀρκεῖται τῇ ἰδίᾳ νομῇ, ἀλλὰ καὶ ἐπὶ τὴν ἑαυτῆς δίαιταν ἀφικνεῖται. ἀεὶ δὲ τῆς φιλονεικίας αὐξανομένης συνέθεντο ὅπως εἰς μάχην ἀλλήλοις καταστῶσι καὶ τοῦ νικῶντος ἥ τε τῆς γῆς καὶ τοῦ ὕδατος νομὴ γένηται. ταξαμένων δ' αὐτῶν τὴν προθεσμίαν οἱ βάτραχοι διὰ μῖσος τῆς ὕδρας παραγενόμενοι πρὸς τὸν ἔχιν παραθαῤῥύνουσιν αὐτόν, ἐπαγγελλόμενοι καὶ αὐτοὶ συμμαχήσειν αὐτῷ. ἐνσταθείσης δὲ τῆς μάχης ὁ μὲν ἔχις πρὸς τὴν ὕδραν ἐπολέμει, οἱ δὲ βάτραχοι μηδὲν περαιτέρω δυνάμενοι δρᾶν

VII. (75.) Compara cum hac fab. Phaedri lib. I. f. 12. — συσχεθεῖσα (συνέχω.) *cohibita*, *vexata*. — παρεγένετο ἐπί τινα π. ut nostrates: ich *werde* da oder dorthin, sic Graecis *γίγνεσθαι* et composita quaedam saepissime, ut h. l. et paulo inferius, verba *veniendi* vel *eundi*. — ἐθεάσατο. v. B. §. 95. 5. — ὡς λεπτ. οὖσι, *utpote qui* (πόδες) *graciles essent*. in quibus enuntiatis ὦν Participium raro omittere solent.

τραπεῖσα (τρέπω.) B. §. 96. 2 et 6. — κατὰ πολὺ — προεῖχε *longe eum antevenit*. Genitivum verbis superandi et dominandi iungi docet B. §. 132. 3. p. 371.

μέχρι, et plenius μέχρι τοῦδε, *hactenus*, *huc usque*. — προθέουσα (θέω.) vid. supra ad fab. V. init. de verbo πλέω. — συνέβη (συμβαίνω.) impers. *evenit*. ceterum haec periodus sic ordinanda: τῶν κερ. αὐτ. ἐμπλακέντων (πλέκω.) τοῖς κλ. — συνέβη μὴ τρέχειν δυν. συλληφθῆναι (λαμβάνω.) τῷ λ. — οἷς δὲ καὶ σφ. ctt. *quibus vero vel maxime confisa sum* ctt. nos: worauf ich *grade gar sehr* vertrauete. cf. infra ad Achan. c. XIX. ἐπεποίθειν. B. v. anom. s. v. πείθω et §. 97. 4. c. — ἀπωλόμην a v. ἀπόλλυμι.

VIII. (91.) ἀρκεῖται c. Dat. *contentum esse aliqua re*. — δίαιταν, omnia quibus ad vitam sustentandam opus est.

συνέθεντο *paciscebantur*. pacto convenit, ut ad pugnam se accingerent. καταστῶσι a v. καθίστημι. — προθεσμίαν. vid. ad fab. III. — συμμαχήσειν c. Dat. ut μάχεσθαι σύν τινι pugnare cum aliquo socio, altero adiuvante. — ἐνσταθείσης, ἐνίστασθαι *imminere*, *instare*. — περαιτέρω (πέρα, πέραν.)

μεγάλα ἐκεκράγεισαν καὶ ὁ ἔχις νικήσας ἠτιάσατο αὐτούς, ὅτι συμμαχήσειν αὐτῷ ὑποσχόμενοι παρὰ τὴν μάχην οὐ μόνον οὐκ ἐβοήθουν, ἀλλὰ καὶ ἥδον. οἱ δὲ ἔφασαν πρὸς αὐτόν· Ἀλλ' εὖ ἴσθι ὦ οὗτος, ὅτι ἡ ἡμετέρα συμμαχία οὐ διὰ χειρῶν, ἀλλὰ διὰ μόνης φωνῆς κάθέστηκεν.

Ὁ λόγος δηλοῖ, ὅτι ἔνθα χειρῶν χρεία ἐστὶν ἡ διὰ λόγων βοήθεια οὐδὲν λυσιτελεῖ.

IX. Παῖς κλέπτης καὶ μήτηρ.

Παῖς ἐκ διδασκάλου τὴν τοῦ συμφοιτητοῦ δέλτον ἀνελόμενος τῇ μητρὶ ἐκόμισε· τῆς δὲ οὐ μόνον αὐτὸν οὐκ ἐπιπληξάσης, ἀλλὰ καὶ ἐπαινεσάσης αὐτὸν ἐκ δευτέρου ἱμάτιον κλέψας ἤνεγκεν αὐτῇ καὶ ἔτι μᾶλλον ἐκείνη ἀπεδέξατο. προϊὼν δὲ τοῖς χρόνοις ὁ νεανίας ἐπὶ τὰ μείζονα ἐχώρει· ληφθεὶς δέ ποτε καὶ περιαγκωνισθεὶς ἐπὶ τὸν δήμιον ἀπήγετο. τῆς δὲ μητρὸς ἐπακολουθούσης αὐτῷ καὶ στερνοπονουμένης ὁ νεανίας εἶπεν· Θέλω τι εἰπεῖν τῇ μητρί μου εἰς τὸ οὖς· τῆς δὲ προσελθούσης ταχέως ἐπελάβετο τοῦ ὠτὸς αὐτῆς καὶ ἐξέκοψε. τῆς δὲ κατηγορούσης αὐτὸν ὡς δυσσεβῆ ἐκεῖνος ἔφη· Ἀλλὰ τότε, ὅτε σοὶ πρῶτον μὲν δέλτον κλέψας ἤνεγκα, εἰ ἔπληξάς με, οὐκ ἂν μέχρι τούτου ἐχώρησα καὶ ἐπὶ θάνατον ἠγόμην.

Ὁ λόγος δηλοῖ, ὅτι τὸ κατ' ἀρχὰς μὴ κωλυόμενον ἐπὶ μεῖζον αὔξει.

X. Πένταθλος κομπαστής.

Ἀνὴρ πένταθλος ἐπ' ἀνανδρίᾳ ἑκάστοτε ὑπὸ τῶν πολιτῶν ὀνειδιζόμενος, ἀποδημήσας ποτὲ καὶ μετὰ χρόνον ἐπανελθών, ἀλαζονευόμενος ἔλεγεν, ὡς πολλὰ μὲν καὶ ἐν ἄλλαις πόλεσιν ἀνδραγαθήσας ἐν

---

ulterius. — μεγάλα ἐκεκρ. (κράζω.). μεγάλα et alia Adiect. in numero plur. adposita verbis clamandi, amandi, nocendi et contrario, cave pro Adverbiis interpreteris. sunt potius Accusativi Obiect. ad verba illa, quae dixi quorumque vis in actione consistit. Sic μικρὰ ὠφελεῖν, μεγάλα βλάπτειν, δεινὰ βοᾶν ctt. cf. B. §. 128. not. 4. — ὑποσχόμενοι a v. ὑπισχνέομαι. — οὐ μόνον οὐκ — ἀλλὰ καί, *non modo non — sed etiam.* καὶ intendit vim adversativam (sondern noch dazu, obenein.). — ἴσθι a v. οἶδα. — ὦ οὗτος. v. ad f. III extr.

IX. (196.) ἐκ διδασκάλου, *e domicilio magistri*, fortasse rectius quam altera lectio διδασκαλείου. sic recte dixeris: ἐκ γειτόνων εἶναι, ἐν γειτόνων οἰκεῖν. comp. ad Ael. XXXI. ἀνελόμενος *auferens.* a v. ἀναιρεῖσθαι. — τῆς δέ. vid. B. §. 126. 1—4. — ἐκ δευτέρου v. fab. II extr. — ἤνεγκεν a v. φέρω. — καὶ ἔτι μᾶλλον, *atque tanto magis.*

προϊὼν (πρόειμι.) τοῖς χρόνοις, *aetate provectus.* — ληφθείς, a v. λαμβάνω. — δήμιον. is est, qui damnatos morte afficit, ὁ τῶν ἐπὶ θανάτῳ καταδικασθέντων φονεύς. *carnifex.* comp. v. δημόσιος. — ἀπήγετο. ἀπάγεσθαι, vox solennis de iis, qui abducuntur in locum supplicii. δήμιος, ut Herodianus Grammaticus ait, ὁ ἀπάγων τὴν ἐπὶ θανάτῳ.

στερνοπονουμένης. στερνοπονεῖσθαι, quod Lexica ignorant, *laborare* s. *angi animi* (*pectoris*) *doloribus.* similia composita, quamquam et ea non cuivis scriptori usitata habetis στερνοτυπεῖσθαι, quod alii hic praeferunt, et στερνοκοπεῖσθαι, *pectus plangere.* — ἐπελάβετο cum Genit., ex eadem ratione qua supra fab. VI. ἅπτεσθαι c. Genitivo.

X. (33.) ἀνὴρ πένταθλος, vir quinque certaminum genera exercens. πένταθλον (quinquertium) enim in Indis Graecorum usitatum, et quidem πυγμή, δρόμος, ἅλμα, δίσκος, πάλη. comp. παγκρατιαστής. — μ. χρόνον tem-

τῇ Ῥόδῳ τοιοῦτον ἥλατο πήδημα, ὡς μηδένα τῶν Ὀλυμπιονικῶν ἐφικέσθαι· καὶ τούτου μάρτυρας ἔφη παρέξεσθαι τοὺς παρατετυχηκότας ἄνδρας, ἂν ἄρα ποτὲ ἐπιδημήσωσι. τῶν δὲ παρόντων τις ὑποτυχὼν ἔφη πρὸς αὐτόν· Ἀλλ' ὦ φίλε εἰ τοῦτο ἀληθές ἐστιν, οὐδὲν δεῖ σοι μαρτύρων· αὕτη γὰρ Ῥόδος καὶ πήδημα.

Ὁ λόγος δηλοῖ, ὧν πρόχειρος ἡ δι' ἔργων πεῖρα, περὶ τούτων πᾶς λόγος περιττός ἐστι.

XI. Ἄνθρωπος καὶ Σάτυρος.

Ἄνθρωπόν ποτε λέγεται πρὸς Σάτυρον φιλίαν σπείσασθαι· καὶ δὴ χειμῶνος καταλαβόντος καὶ ψύχους γενομένου ὁ ἄνθρωπος τὰς χεῖρας τῷ στόματι ἐπέπνει. τοῦ δὲ Σατύρου τὴν αἰτίαν ἐρομένου δι' ἣν τοῦτο πράττει, ἔλεγεν, ὅτι θερμαίνει τὰς χεῖρας διὰ τὸ κρύος. ὕστερον δὲ παρατεθείσης αὐτοῖς τραπέζης καὶ προσφαγήματος θερμοῦ σφόδρα ὄντος ὁ ἄνθρωπος ἀναιρούμενος κατὰ μικρὸν τῷ στόματι προσέφερε καὶ ἐφύσα· πυνθανομένου δὲ πάλιν τοῦ Σατύρου τί τοῦτο ποιεῖ; ἔφασκε καταψύχειν τὸ ἔδεσμα, ἐπεὶ λίαν θερμόν ἐστι. κἀκεῖνος ἔφη πρὸς αὐτόν, ἀλλ' ἀποτάσσομαί σου τῇ φιλίᾳ, ὦ οὗτος, ὅτι ἐκ τοῦ αὐτοῦ στόματος τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐξιεῖς.

Ἀτὰρ οὖν καὶ ἡμᾶς περιφεύγειν δεῖ τὴν φιλίαν ὧν ἀμφίβολός ἐστιν ἡ διάθεσις.

XII. Κύων κρέας φέρουσα.

Κύων κρέας ἔχουσα ποταμὸν διέβαινε· θεασαμένη δὲ τὴν ἑαυτῆς σκιὰν κατὰ τοῦ ὕδατος ὑπέλαβεν ἑτέραν κύνα εἶναι μεῖζον κρέας ἔχουσαν· διόπερ ἀφεῖσα τὸ ἴδιον ὥρμησεν ὡς τὸ ἐκείνης ἀφαιρησο-

---

pore aliquo interiecto. — ἥλατο (ἅλλομαι.) πήδημα, *saltum saliebat*, ut interpretemur more Graecorum. vid. B. §. 131. 3. — ὡς μηδ. — ἐφικέσθαι (ἱκνέομαι.) vid. ad fab. II extr. — παρατετυχηκότας (τυγχάνω.) *viri qui forte se obtulerint atque adfuerint.*

ἀλλ' ὦ φ. vid. B. §. 149. p. 438. — ὑποτυχών, a v. ὑποτυγχάνω. — οὐδὲν δεῖ ctt. prorsus ut Latini: *nihil opus tibi est testium*, quamquam hic Genitivus rarior. — αὕτη γὰρ Ῥ. ctt. *hic Rhodus, hic saltus.* quod proverbium Graeci etiam exprimunt: ἰδοὺ Ῥόδος, ἰδοὺ καὶ τὸ πήδημα! — πρόχειρος. de genere vocis B. §. 60. 4.

XI. (35.) φιλίαν σπείσ. (σπένδω. B. §. 25. 4.) πρός τινα (saepius c. Dat.) *amicitiae foedus celebrare.* sic εἰρήνην σπένδεσθαι apud Herodotum. — καταλαβόντος (λαμβάνω.) h. l. significatione intrans. *hieme ingressa.* sic τὰ καταλαβόντα *ea quae acciderunt.*

πράττει. de Indic. vid. ad f. III extr. — παρατεθείσης ctt. *mensis vel cibis adpositis.* — ἀναιρούμενος, intell. προσφάγημα. sic Hom. Od. 19, 22. σῖτα ἀναιρεῖσθαι *cibum sumere.* — κατὰ μικρὸν *paulatim, frustatim*, pro quo etiam dicunt κατὰ βραχύ. — τί τοῦτο π. *quid — cur istud faciat.* — ὦ οὗτος. vid. ad f. III extr. — ἐξιεῖς a v. ἐξίημι. de forma illa Atticis minus probata, quam ἐξίης vid. B. §. 107. not. I, 2. — ἀτὰρ οὖν *nun denn also.* — δεῖ, *oportet.*

XII. (132.) Compara Phaedri fab. 4. libri I.

θεασαμένη vid. ad f. VII. — ὑπέλαβεν *suspicabatur.* — ἑτέραν. B. §. 78. 2. not. 1. — ἀφεῖσα a v. ἀφίημι. — ὡς cum Part. temporis fut. consilium exprimit ex mente et cogitatione alterius cuiusdam, non ipsius scriptoris prolatum. — τὸ ἐκείνης. comp. usum Latinorum ab usu Graecorum

μένη. Συνέβη δ' αὐτῇ ἀμφοτέρων στερηθῆναι, τοῦ μὲν μὴ ἐφικομένη διότι μηδὲ ἦν, τοῦ δ' ὅτι ὑπὸ τοῦ ποταμοῦ παρεσύρη.

Πρὸς ἄνδρα πλεονέκτην ὁ λόγος εὔκαιρος.

XIII. Λέων, Ὄνος καὶ Ἀλώπηξ.

Λέων καὶ ὄνος καὶ ἀλώπηξ κοινωνίαν πρὸς ἀλλήλους ποιησάμενοι ἐξῆλθον εἰς ἄγραν· πολλὰ δὲ αὐτῶν συλλαβόντων ὁ λέων προσέταξε τῷ ὄνῳ διελεῖν αὐτοῖς· τοῦ δὲ τρεῖς μοίρας ποιήσαντος καὶ ἐκλέξασθαι αὐτῷ παραινοῦντος ὁ λέων ἀγανακτήσας, ἀλλόμενος κατεθοινήσατο τὸν ὄνον, καὶ τῇ ἀλώπεκι μερίσαι προσέταξεν. ἡ δὲ πάντα εἰς μίαν μερίδα συναθροίσασα καὶ μικρὰ ἑαυτῇ ἀπολιπομένη παρῄνει αὐτῷ ἑλέσθαι· ἐρομένου δ' αὐτὴν τοῦ λέοντος, καὶ τίς αὐτὴν διανέμειν ἐδίδαξεν; ἡ ἀλώπηξ εἶπεν· Αἱ τοῦ ὄνου συμφοραί.

Ὁ λόγος δηλοῖ, ὅτι σωφρονισμὸς γίνεται τοῖς ἀνθρώποις τὰ τῶν πέλας δυστυχήματα.

XIV. Λέων καὶ Ἀλώπηξ.

Λέων γηράσας καὶ μὴ δυνάμενος δι' ἀλκῆς ἑαυτῷ τροφὴν πορίζειν ἔγνω δεῖν δι' ἐπινοίας τοῦτο πρᾶξαι. καὶ δὴ παραγενόμενος εἴς τι σπήλαιον καὶ ἐνταῦθα κατακλιθεὶς προσεποιεῖτο τὸν νοσοῦντα, καὶ οὕτω τὰ παραγενόμενα πρὸς αὐτὸν εἰς ἐπίσκεψιν ζῶα συλλαμβάνων κατήσθιε. πολλῶν δὲ θηρίων καταναλωθέντων ἀλώπηξ τὸ τέχνασμα αὐτοῦ συνεῖσα παρεγένετο, καὶ στᾶσα ἄπωθεν τοῦ σπηλαίου ἐπυνθάνετο αὐτοῦ, πῶς ἔχοι· τοῦ δὲ εἰπάντος κακῶς καὶ τὴν αἰτίαν ἐρομένου δι' ἣν οὐκ εἴσεισιν, ἔφη· Ἀλλ' ἔγωγε εἰσῆλθον ἄν, εἰ μὴ ἑώρων πολλῶν εἰσιόντων ἴχνη, ἐξιόντος δὲ οὐδενός.

Οὕτως οἱ φρόνιμοι τῶν ἀνθρώπων ἐκ τέκμηρίων προορώμενοι τοὺς κινδύνους ἐκφεύγουσι.

---

abhorrentem. Zumpt. Gramm. cap. 86. §. 767. — *συνέβη evenit, accidit.* — *στερηθῆναι* c. Genit. B. §. 132. 2. p. 370. — *ἐφικομένη* c. Genit. a v. *ἐφικνεῖσθαι adsequi. alterius quippe non participi.* — *τοῦ δ'* — intell. *μὴ ἐφικομένη.*

XIII. (147.) Hanc fabulam intexuit Goethe carmini suo: Reineke Fuchs. X. vers. fin.

κοινωνίαν πρὸς ἀλλ. ποιησ. postquam societatem inter se fecerunt. comp. f. XI. *φιλίαν πρός τ. σπείσασθαι.* — *ἐξῆλθον εἰς ἄγρ.* zogen sie aus auf die Jagd. — *διελεῖν* (*διαιρέω.*) *αὐτοῖς, partiri inter se.* — *ἑλέσθαι* (*αἱρέω.*), *sibi sumere, eligere.* — *καὶ τίς.* prior vocula simul et intendendi et copulandi significationem habet. nos: und wer denn eigentlich ctt. — *αἱ — συμφοραί.* orationem exple ex verbo *ἐδίδαξεν.*

XIV. (140.) Comp. Phaedr. fabb. Append. I. XXX. — *γηράσας.* vid. B. §. 95. 5. — *ἔγνω* a v. *γιγνώσκω.* B. verb. anom. s. v. — *δι' ἐπινοίας,* non adverbialiter, ut saepe *διὰ* c. Genit., reddendum est, *solerter, callide,* sed *calliditate.*

παραγενόμενος εἰς — cf. ad f. VII init. — *προσεποιεῖτο,* eodem sensu quo supra fab. VI, ubi vid. not. — *καταναλωθέντων* a v. *καταναλίσκω.* — *συνεῖσα* a v. *συνίημι.* — *ἄπωθεν τοῦ σπ.* forma Atticis fere insitatior est *ἀποθεν. procul a spelunca* (spelaeo.). — *ἐπυνθάνετο.* ad f. V. — *ἀλλ' ἔγωγε.* v. ad f. X extr. — *ἑώρων* a v. *ὁράω.* de Augm. syllab. huius vocis B. §. 84. not. 8.

XV. Λύκος καὶ Ἄρην.

Λύκος θεασάμενος ἄρνα ἀπό τινος ποταμοῦ πίνοντα, τοῦτον ἠβουλήθη μετά τινος εὐλόγου αἰτίας καταθοινήσασθαι. διόπερ στὰς ἀνωτέρω ᾐτιᾶτο αὐτὸν ὡς θολοῦντα τὸ ὕδωρ καὶ πίνειν αὐτὸν οὐκ ἐῶντα. τοῦ δὲ λέγοντος ὡς ἄκροις τοῖς χείλεσι πίνει καὶ ἄλλως οὐ δυνατὸν αὐτοῦ ἑστῶτος κάτω ἐπάνω ταράσσειν τὸ ὕδωρ, ὁ λύκος ἀποτυχὼν ταύτης τῆς αἰτίας ἔφη· Ἀλλὰ πέρυσι τὸν πατέρα μου ἐλοιδόρησας. εἰπόντος δὲ ἐκείνου μηδέπω γεννηθῆναι, ὁ λύκος ἔφη πρὸς αὐτόν· Ἐὰν σὺ ἀπολογιῶν εὐπορῇς, ἐγώ σε οὐ κατέδομαι.

Ὁ λόγος δηλοῖ, ὅτι οἷς πρόθεσίς ἐστιν ἀδικεῖν, παρ' αὐτοῖς οὐδὲ δικαία ἀπολογία ἐστί.

XVI. Ἀστρολόγος.

Ἀστρολόγος ἑξιὼν ἑκάστοτε ἑσπέρας ἔθος εἶχε τοὺς ἀστέρας ἐπισκοπῆσαι· καὶ δή ποτε περιϊὼν εἰς τὸ προάστειον καὶ τὸν νοῦν ὅλον ἔχων ἐν τῷ οὐρανῷ, ἔλαθε καταπεσὼν εἰς φρέαρ. ὀδυρομένου δὲ αὐτοῦ καὶ βοῶντος παριών τις ὡς ἤκουσε τῶν στεναγμῶν, προσελθὼν καὶ μαθὼν τὰ συμβεβηκότα, ἔφη πρὸς αὐτόν· Ὦ οὗτος, σὺ τὰ ἐν οὐρανῷ βλέπειν πειρώμενος τὰ ἐπὶ τῆς γῆς οὐχ ὁρᾷς.

Τῷ λόγῳ τούτῳ χρήσαιτο ἄν τις πρὸς ἐκείνους τῶν ἀνθρώπων, οἳ περὶ δόξης ἀλαζονεύοντες οὐδὲ τὰ κοινὰ τοῖς ἀνθρώποις ἐπιτελεῖν δύνανται.

XVII. Ἀετὸς καὶ Κολοιὸς καὶ Ποιμήν.

Ἀετὸς καταπτὰς ἀπό τινος ὑψηλῆς πέτρας ἄρνα ἥρπασε· κολοιὸς δὲ τοῦτον θεασάμενος διὰ ζῆλον τοῦτον μιμήσασθαι ἤθελε. καὶ δὴ καθεὶς ἑαυτὸν μετὰ πολλοῦ ῥοίζου ἐπὶ κριὸν ἠνέχθη· ἐμπαρέντων δ' αὐτῷ τῶν ὀνύχων τοῖς μαλλοῖς ἐξαρθῆναι μὴ δυνάμενος ἐπτερύσσε-

---

XV. (152.) Comp. Phaedri fab. 1. libri I.

ἄρνα. vid. B. Verz. d. unregelm. Nom. s. v. *ἀρνός.* — *ἠβουλήθη* (*βούλομαι.*). de Augm. B. §. 83. not. 5. — *ἀνωτέρω.* de hoc Comparat. B. §. 115. 6. — *καὶ ἄλλως. et praeterea, et insuper.* — *ἀποτυχὼν ταύτης τ. αἰτ. huius accusationis expers. ἀποτυγχάνειν* pertinet ad verba, quibus inopia vel defectus subest. B. §. 132. 2. p. 370. sic *εὐπορῇς* paulo inferius c. Genit., quod copiam alicuius rei comprehendit. — *κατέδομαι.* B. §. 95. not. 18. — *οὐδέ, ne — quidem.*

XVI. (40.) *ἑσπέρας.* Genit. temporis. B. §. 132. 2. b. comp. ad f. VI extr. — *ἔλαθε* (*λανθάνω.*) cum Partic. (*καταπεσών. πίπτω.*) B. §. 144. not. 8. — *τὰ συμβεβηκότα* i. q. *τὰ καταλαβόντα.* vid. not. ad f. XI init.

χρήσαιτο ἄν, cum Dativo. *hoc dicto uti aliquis potuerit ad illos homines notandos. ἐκείνους τῶν ἀ.* de Genit. partitivo B. §. 132. 2. a. — *οὐδὲ τὰ κοινὰ — ἐπιτελεῖν, ne vulgares quidem res,* quippe quae terrestres sensum communem non fugiant, *perficere posse.*

XVII. (2.) *καταπτὰς* a v. anom. *καταπέτομαι.* — *ἄρνα*, ad f. XV. — *ἐπὶ κρ. ἠνέχθη* (*φέρω.*) *cum impetu in arietem delatus est.* qua significatione hostili Medium verbi *φέρεσθαι* saepe occurrit. *οἱ βάρβαροι φερόμενοι ἐσέπιπτον ἐς τοὺς Αἰγινήτας.* Herod. nec solum de animantibus, sed etiam de lapidibus, de telis, de curribus, qui impetu feruntur. comp. *φέρειν καὶ ἄγειν.* — *ἐμπαρέντων. ἐμπείρω.* B. §. 101. 8. — *ἐξαρθῆναι* a v. *ἐξαίρω.* —

το, ἕως ὁ ποιμὴν τὸ γεγονὸς αἰσθόμενος, προσδραμὼν συνέλαβεν αὐτόν, καὶ περικόψας αὐτοῦ τὰ ὀξύπτερα, ὡς ἑσπέρα κατέλαβε, τοῖς αὐτοῦ παισὶν ἐκόμισε. τῶν δὲ πυνθανομένων, τί ἂν εἴη τὸ ὄρνεον, ἔφη, ὡς μὲν ἐγὼ σαφῶς οἶδα, κολοιός, ὡς δὲ αὐτὸς βούλεται, ἀετός.

Οὕτως ἡ πρὸς τοὺς ὑπερέχοντας ἅμιλλα πρὸς τῷ μηδὲν ἀνύειν καὶ ἐπὶ συμφοραῖς προσκτᾶται γέλωτα.

XVIII. Ἑρμῆς καὶ Ἀγαλματοποιός.

Ἑρμῆς γνῶναι βουλόμενος, ἐν τίνι τιμῇ παρ' ἀνθρώποις ἐστίν, ἧκεν ἀφομοιωθεὶς ἀνθρώπῳ εἰς ἀγαλματοποιοῦ ἐργαστήριον· καὶ θεασάμενος Διὸς ἄγαλμα ἐπύθετο, πόσου· τοῦ δὲ εἰπόντος, δραχμῆς, γελάσας ἠρώτα τῆς Ἥρας πόσου ἐστίν· εἰπόντος δὲ ἔτι μείζονος θεασάμενος καὶ ἑαυτοῦ ἄγαλμα ὑπέλαβεν, ὅπι αὐτόν, ἐπειδὴ καὶ ἄγγελός ἐστι καὶ ἐπικερδής, περὶ πολλοῦ οἱ ἄνθρωποι ποιοῦνται. διὸ προσεπυνθάνετο ὁ Ἑρμῆς, καὶ ὁ ἀγαλματογλύφος ἔφη· Ἀλλ' ἐὰν τούτους ἀγοράσῃς, τοῦτόν σοι προσθήκην δώσω.

Πρὸς ἄνδρα κενόδοξον, ἐν οὐδεμιᾷ μοίρᾳ παρὰ τοῖς ἄλλοις ὄντα ὁ λόγος ἁρμόζει.

XIX. Ζεύς, Προμηθεύς, Ἀθηνᾶ, Μῶμος.

Ζεὺς καὶ Προμηθεὺς καὶ Ἀθηνᾶ κατασκευάσαντες, ὁ μὲν ταῦρον, ὁ Προμηθεὺς ἄνθρωπον, ἡ δὲ οἶκον, Μῶμον κριτὴν εἵλοντο. ὁ δὲ φθονήσας τοῖς δημιουργήμασιν, ἀχθόμενος ἔλεγε, τὸν μὲν Δία ἡμαρτηκέναι τοῦ ταύρου τοὺς ὀφθαλμοὺς ἐπὶ τοῖς κέρασι μὴ θέντα, ἵνα βλέπῃ ποῦ τύπτει· τὸν δὲ Προμηθέα, διότι ἀνθρώπου τὰς φρένας οὐκ ἔξωθεν ἀπεκρέμασεν, ἵνα μὴ λανθάνωσιν οἱ πονηροί, φανεροῦντες εἴτι ἕκαστος κατὰ νοῦν ἔχει. τρίτον δὲ ἔλεγεν, ὡς ἔδει τὴν Ἀθηνᾶν τῷ οἴκῳ τροχοὺς ὑποθεῖναι, ἵνα, ἐὰν πονηρῷ τις παροικισθῇ γείτονι, ῥᾳδίως μεταβαίνῃ. καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ' αὐτοῦ ἐπὶ τῇ βασκανίᾳ τοῦ Ὀλύμπου αὐτὸν ἐξέβαλεν.

τὸ γεγονός. γέγονα (B. v. anom. s. v. γίγνομαι) Praeteritum significationem a verbo εἶναι adsciscit. — αἰσθόμενος a v. αἰσθάνομαι. — κατέλαβε, intrans. vid. ad f. XI. — πρὸς τῷ μ. ἀνύειν. Infinitivus Articulo generis neutr. praeposito locum Substantivi obtinet. vid. infra ad Aelian. c. IV. init.

XVIII. (89.) γνῶναι a v. γιγνώσκω. — ἐν τίνι — ἐστίν. Latini: in quo honore apud homines esset; h. l. in *quonam* honore *est*. vid. ad f. III. — ἧκεν. B. §. 137. not. 8. — ἄγαλμα. ad Aelian. c. II. init. — πόσου, Genit. pretii, quem pendentem facias ab omisso ἐστίν, ἄξιόν ἐστιν, ἀξιοῦται vel similibus, quae Genitivum admittunt. comp. usum Lat. Zumpt. Gramm. c. 73. §. 444. — γελάσας. B. §. 95. not. 3. — ἔτι μείζονος, intell. ἄξιον εἶναι τὸ ἄγαλμα. — ὑπέλαβεν (λαμβάνω.) *coniiciebat*, *existimabat*. — περὶ πολλοῦ — ποιοῦνται. B. §. 150. p. 448.

XIX. (100.) Ἀθηνᾷ. B. §. 34. not. 1. — εἵλοντο (αἱρέω.), *sibi elegerunt*. cf. fab. XIII. — φθονήσας. vulgo c. Dat. pers. et Genit. *rei*, quam alicui invideo. — ποῦ τύπτει. de Indic. ad f. XVIII init. ceterum τύπτειν non solum *baculo ferire* vel *icere*, sed de quolibet alio modo verberandi vulnerandique. vid. Lexica. — ἀνθρώπου. est ex iis nominibus, quae Articulo fere carent, ubi de toto genere humano dictum est. sic etiam ἀνὴρ et id genus alia. v. B. §. 124. not. 3. — ἀπεκρέμασεν. B. v. anom. s. v. κρεμάν-

Ὁ λόγος δηλοῖ, ὅτι οὐδὲν οὕτως ἐστὶν ἐνάρετον, ὃ μὴ πάντως περί τι ψόγον ἐπιδέχεται.

XX. Κολοιὸς καὶ Ὄρνεις.

Ζεὺς βουλόμενος βασιλέα ὀρνέοις καταστῆσαι προθεσμίαν αὐτοῖς ἔταξεν, ᾗ παραγενήσονται. Κολοιὸς δὲ συνειδὼς ἑαυτῷ δυσμορφίαν, περιϊὼν τὰ ἀποπίπτοντα τῶν ὀρνέων πτίλα ἀνελάμβανε καὶ ἑαυτῷ περιετίθει. ὡς δὲ ἐνέστη ἡ ἡμέρα, ποικίλος γενόμενος ἧκε πρὸς τὸν Δία· μέλλοντος δὲ αὐτοῦ διὰ τὴν εὐπρέπειαν βασιλέα αὐτὸν χειροτονεῖν τὰ ὄρνεα ἀγανακτήσαντα περιέστη καὶ ἕκαστον τὸ ἴδιον πτερὸν ἀφείλατο. οὕτως τε συνέβη αὐτὸν ἀπογυμνωθέντα πάλιν κολοιὸν γενέσθαι.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ χρεωφειλέται, μέχρι μὲν τὰ ἀλλότρια ἔχουσι χρήματα, δοκοῦσί τινες εἶναι, ἐπειδὰν δὲ ἀποδῶσιν, ὁποῖοι ἐξ ἀρχῆς ἦσαν εὑρίσκονται.

XXI. Βορέας καὶ Ἥλιος.

Βορέας καὶ Ἥλιος περὶ δυνάμεως ἤριζον· ἔδοξε δὲ αὐτοῖς ἐκείνῳ τὴν νίκην ἀπονεῖμαι, ὃς ἂν αὐτῶν ἄνθρωπον ὁδοιπόρον ἐκδύσῃ. καὶ ὁ Βορέας ἀρξάμενος σφοδρὸς ἦν· τοῦ δὲ ἀνθρώπου ἀντεχομένου τῆς ἐσθῆτος μᾶλλον ἐπέκειτο. ὁ δὲ ὑπὸ τοῦ ψύχους καταπονούμενος ἔτι μᾶλλον καὶ περιττοτέραν ἐσθῆτα προσελάμβανεν, ἕως ἀποκαμὼν τῷ Ἡλίῳ μετὰ τοῦτο παρέδωκε. κἀκεῖνος τὸ μὲν πρῶτον μετρίως προσέλαμψε· τοῦ δὲ ἀνθρώπου τὰ περισσὰ τῶν ἱματίων ἀποτιθεμένου σφοδρότερον τὸ καῦμα ἐπέτεινε, μέχρις οὗ πρὸς τὴν ἀλέαν ἀντέχειν μὴ δυνάμενος, ἀποδυσάμενος ποταμοῦ ῥέοντος ἐπὶ λουτρὸν ἀπῄει.

Ὁ λόγος δηλοῖ, ὅτι πολλάκις τὸ πείθειν τοῦ βιάζεσθαι ἀνυτικώτερόν ἐστι.

νυμι. — τοῦ Ὀλύμπου. Genit. pendet a v. ἐξέβαλεν. — ἐνάρετον, vox rarissima. veteres Grammatici docent, non ἐνάρετος, sed σπουδαῖος dicendum esse.

XX. (101.) Comp. cum hac fab. Lessingii fabb. l. II, 6. — καταστῆσαι (ἵστημι.) ponere, praeficere (regem alicui.). — προθεσμίαν. vid. ad f. III. — ᾗ παραγενήσονται, qua die ut adessent constituit deus. wo er wollte, dafs sie ctt. sive: wo sie dasein sollten. — συνειδὼς ἑαυτῷ, Lat. conscius sibi alicuius rei.

μέλλοντος — χειροτονεῖν, iam vero quum ob egregium istum ornatum regem eum creaturus esset. χειροτονεῖν, -νία (comp. vv. ψηφίζεσθαι, ψήφισμα.) propriae voces concionum populi Graeci, qui suffragia ferebat manibus vel attollendis vel demittendis. — τὰ ὄρνεα, cum verbo num. sing. B. §. 129. 1. — συνέβη. vid. ad f. XII. — δοκοῦσί τινες εἶναι, et saepius ut Latini, δοκοῦσί τι εἶναι, videntur aliquid esse, ubi τι nihil aliud est, quam θαυμάσιον ὅσον. cf. B. p. 445. s. v. ὅσος.

XXI. (46.) νίκην ἀπονεῖμαι (νέμω.) victoriam deferre alicui. — ὃς ἂν — ἐκδύσῃ, uter — vestimenta exuentem fecerit. — τῆς ἐσθῆτος, pendet ab ἀντέχεσθαι contra tenere, adhaerere, i. e. tam obstinate vestibus adhaerere, ut eas a te divelli non sinas. — ἐπέκειτο, intell. τῷ ἀνθρώπῳ. — παρέδωκε, intell. τὸν ἄνθρωπον. — τὸ μ. πρῶτον. B. §. 125. not. 5. — τὰ περισσὰ c. Genit. B. §. 128. 1. — μέχρις οὗ. comp. ad f. VII. — ἀποδυσάμενος, vestibus positis. — τοῦ βιάζεσθαι. de Infin. c. Artic. neutr. gen. vid. ad Aelian. c. IV. init. de Genit. v. B. §. 132. 4. p. 371.

XXII. Ξυλευόμενος καὶ Ἑρμῆς.

Ξυλευόμενός τις κατά τινα ποταμὸν τὸν πέλεκυν ἀπέβαλε· τοῦ δὲ ῥεύματος παρασύραντος αὐτόν, καθήμενος ἐπὶ τῆς ὄχθης ὠδύρετο, μέχρις οὗ ὁ Ἑρμῆς ἐλεήσας αὐτὸν ἧκεν καὶ μαθὼν τὴν αἰτίαν, δι' ἣν ἔκλαιε, τὸ μὲν πρῶτον καταβὰς χρυσοῦν πέλεκυν αὐτῷ ἀνήνεγκε καὶ ἐπυνθάνετο, εἰ οὗτος εἴη· τοῦ δὲ εἰπόντος μὴ τοῦτον εἶναι, ἐκ δευτέρου ἀργυροῦν ἀνήνεγκεν καὶ πάλιν ἠρώτα, εἰ τοῦτον ἀπέβαλεν. ἀρνησαμένου δὲ καὶ τοῦτον, τὸ τρίτον αὐτῷ τὴν ἰδίαν ἀξίνην ἐκόμισε· τοῦ δὲ ἐπιγνόντος ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην πάσας αὐτῷ ἐχαρίσατο. καὶ ὃς ἀνελόμενος, ἐπειδὴ παρεγένετο πρὸς τοὺς ἑταίρους, τὰ γεγενημένα αὐταῖς διηγήσατο. τῶν δέ τις ἐποφθαλμιάσας ἐβουλήθη καὶ αὐτὸς τῶν ἴσων περιγενέσθαι· διόπερ ἀναλαβὼν πέλεκυν παρεγένετο ἐπὶ τὸν αὐτὸν ποταμόν, καὶ ξυλευόμενος ἐπίτηδες τὴν ἀξίνην εἰς τὰς δίνας ἀφῆκε καθιζόμενός τε ἔκλαιεν. Ἑρμοῦ δὲ φανέντος καὶ πυνθανομένου, τί τὸ συμβεβηκὸς εἴη, ἔλεγε τὴν τοῦ πελέκυος ἀπώλειαν. τοῦ δὲ χρυσοῦν αὐτῷ ἀνενεγκόντος καὶ διερωτῶντος, εἰ τοῦτον ἀπώλεσεν, ὑπὸ τοῦ κέρδους ὑποφθὰς ἔφασκεν αὐτὸν εἶναι· καὶ ὁ θεὸς αὐτῷ οὐκ ἐχαρίσατο, ἀλλ' οὐδὲ τὸν πέλεκυν ἀποκατέστησεν.

Ὁ λόγος δηλοῖ, ὅτι ὅσον τοῖς δικαίοις τὸ θεῖον συναγωνίζεται, τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται.

XXII. (168.) κατά τινα ποταμὸν — de regione, qua quis ligna caedat, *prope* ripam fluminis, ubi lignator securim amisit (ἀπέβαλε). — καταβὰς — ἀνήνεγκεν (φέρω.), *postquam descendit*, — *retulit in loca fluvialibus undis superiora.* — εἰ οὗτος εἴη. εἰ h. l. post verbum interrogandi i. q. πότερον, ut Lat. *si* pro *num*, ubi tamen εἰ c. Optat. non tam interrogat, quam potius dubium relinquit id et prorsus incertum, quod quis responsurus sit. — ἐκ δευτέρου, idem fere quod τὸ δεύτερον.

καὶ τοῦτον, suppl. μὴ εἶναι, aut rectius fortasse Accus. ab ἀρνεῖσθαι pendet, ita ut nihil omissum cogitetur. — ἀποδεξάμενος, *qui adprobatione aliquid accipit.* — καὶ ὅς. Articulus postpositivus (comp. Herm. ad Viger. p. 706.), ubi praepositivum vel Pronomen exspectes, quum aliis loquutionibus usu receptus, tum καὶ copula praeposita. v. B. §. 126. 5 et not. 2. — ἀνελόμενος (ἀναιρέω.) *auferens*, *praemia reportans.* — παρεγένετο πρός, et mox ἐπί τινα. vid. ad f. VII.

ἐποφθαλμιάσας, *qui oculos cupiditatis ad aliquid adiicit*, ut cum Cicerone loquamur. hinc recte interpretantur Grammatici Graeci: ἐποφθαλμιᾶν, -άζειν = φθονεῖν, ἐπιθυμεῖν τινος. — καὶ αὐτός. vid. καὶ αὐτὸ ad Aelian. c. II. — περιγενέσθαι, cum Genit. pers., qua quis superior est. — καὶ ξυλ. — καθιζ. τε. de hac copulandi ratione quidque differat ab altera τέ — καί, vid. B. pag. 434. s. vv. — ὑποφθάς, hunc videtur sensum habere: *lucro impulsus* (ὑπὸ τ. κ. B. p. 421. s. v. ὑπὸ.), *praeveniens* (respondendo) *eam esse securim adseverabat;* i. e. festinanter et sine omni cunctatione confirmabat.

ΚΛΑΥΔΙΟΥ ΑΙΛΙΑΝΟΥ

ΣΟΦΙΣΤΟΥ.

I. Περὶ Σωκράτους, ὅτε τὸ κώνειον ἔπιεν.

Ὅτε ἧκεν ἡ ναῦς ἡ ἐκ Δήλου καὶ ἔδει Σωκράτην ἀποθνήσκειν, ἀφίκετο εἰς τὸ δεσμωτήριον Ἀπολλόδωρος, ὁ τοῦ Σωκράτους ἑταῖρος, χιτῶνά τε αὐτῷ φέρων ἐρίων πολυτελῆ καὶ εὐήτριον καὶ ἱμάτιον τοιοῦτο. καὶ ἠξίου ἐνδύντα αὐτὸν τὸν χιτῶνα καὶ θολμάτιον περιβαλόμενον εἶτα οὕτω πιεῖν τὸ φάρμακον. ἔλεγε γὰρ αὐτῷ καλῶν ἐνταφίων μὴ ἀμοιρήσειν, εἰ ἐν αὐτοῖς ἀποθάνοι· καὶ γὰρ οὖν καὶ προκεῖσθαι σὺν τῷ κόσμῳ τὸν νεκρὸν οὐ πάνυ τι ἀδόξως. ταῦτα τὸν Σωκράτην ὁ Ἀπολλόδωρος. ὁ δὲ οὐκ ἠνέσχετο, ἀλλ' ἔφη πρὸς τοὺς ἀμφὶ τὸν Κρίτωνα καὶ Σιμμίαν καὶ Φαίδωνα· Καὶ πῶς ὑπὲρ ἡμῶν κα-

---

Clavdivs Aelianvs ortu Praenestinus, civitate Romanus sub M. Aurelio Severo (a. 222 p. C. n.) in urbe vixit, unde et ipse Romam sibi patriam fuisse profitetur. quas hic exhibemus narrationes depromptae sunt ex eiusdem *variae historiae libris* XIV. *Αἰλιανοῦ ποικίλης ἱστορίας βιβλία.* Edd. Jacobus Perizonius. Lugd. B. 1701. 8. Carolus Kühn. Lips. 1780. Vol. II. 8.

I. (Lib. I, 16.) *ἡ ναῦς* ctt. haec navis Apollini consecrata, quod Theseum et bis septem illos Cretensibus devotos servaverat, quotannis Delum ab Atheniensibus mittebatur, sed ante eius reditum urbem lustrari, nec supplicii pollui religio erat. *νόμος ἐστὶν — μηδένα ἀποκτιννύναι, πρὶν ἂν εἰς Δῆλόν τε ἀφίκηται τὸ πλοῖον καὶ πάλιν δεῦρο.* Plat. Phaed. §. 3. — *ἐρίων.* Genitivus materiem indicans, ex qua quid conficitur. v. M. §. 374. b. B. §. 132. 3. — *εὐήτριον bene textam* (tunicam). comp. *εὐϋφής.*

ἱμάτιον pallium. χιτῶνα, vestem adstrictiorem pressiusque corpori inhaerentem nobis induimus (*ἐνδῦναι*), pallio amicimur atque involvimur (*περιβάλλεσθαι*). ceterum *δίπλαξ* et *τετράγωνα ἱμάτια* Graecis de more patrio fere insignia. comp. *χλαμύς, χλαῖνα.* — *εἶτα οὕτω.* B. §. 144. not. 6.

ἐνταφίων — ἀμοιρ. vestimento funebri carere i. e. eo, quo moriturus ornare se possit. de Genit. v. B. §. 132. 2. — *προκεῖσθαι* suppl. *ἔλεγε.* num forte *προκείσεσθαι* desiderari possit? — *οὐ πάνυ τι* non sane quidquam, in ulla re. *τι* Accusativus Adverbii vim auget ab eoque vix dirimi poterit. v. Bernhard. Synt. p. 441.

ταῦτα τὸν Σωκράτην (i. e.) *θολμάτιον* (B. §. 29. not. 4.) *περιβαλέσθαι ἠξίου.*

ἠνέσχετο. de augmento et significatione vocis eo mutata v. B. §. 86. not. 6. §. 114. s. v. *ἔχω.* — *τοὺς ἀμφὶ τὸν Κ.* i. e. *Critonem*, tamen respectu aliorum quorundam, qui cum Critone consentiant. B. §. 150. pag. 449. —

λῶς Ἀπολλόδωρος οὕτω δοξάζει, εἴγε αὐτὸ πεπίστευκεν, ὅτι μετὰ τὴν ἐξ Ἀθηναίων φιλοτησίαν καὶ τὸ τοῦ φαρμάκου πόμα ἔτι οὕτως ὄψεται Σωκράτην, εἰ γὰρ οἴεται τὸν ὀλίγον ὕστερον ἐῤῥιμμένον ἐν ποσὶ καὶ κεισόμενόν γ' ἐμὲ εἶναι, δῆλός ἐστί με οὐκ εἰδώς.

II. Περὶ Διονυσίου συλήσαντος τὰ τῶν θεῶν.

Διονύσιος ἐξ ἁπάντων τῶν ἐν Συρακούσαις ἱερῶν ἐσύλησε τὰ χρήματα. τοῦ δὲ ἀγάλματος τοῦ Διὸς περιεῖλε τὴν ἐσθῆτα καὶ τὸν κόσμον, ὃς ἦν, φασί, χρυσίου πέντε καὶ ὀγδοήκοντα ταλάντων. ὀκνούντων δὲ τῶν δημιουργῶν ἅψασθαι ὅδε πρῶτος ἔκρουσε τὸ ἄγαλμα. καὶ τὸ ἄγαλμα δὲ τοῦ Ἀπόλλωνος περιεσύλησεν ἔχον καὶ αὐτὸ χρυσοῦς βοστρύχους, κελεύσας ἀποκεῖραί τινα αὐτό. πλεύσας δὲ εἰς Τροιζηνίους τὰ τοῦ Ἀπόλλωνος καὶ τῆς Λευκοθέας ἅπαντα ἐσύλησε χρήματα, τὴν παρακειμένην ἀργυρᾶν τῷ Ἀπόλλωνι τράπεζαν κελεύσας ἀφελεῖν, Ἀγαθοῦ Δαίμονος τῷ θεῷ διδόντας πρόποσιν.

III. Περὶ Ἀλεξάνδρου μεγαλοφροσύνης εἰς τὸν Φωκίωνα καὶ τούτου εἰς ἐκεῖνον.

Ἀλέξανδρος ὁ Φιλίππου, εἰ δέ τῳ δοκεῖ, ὁ τοῦ Διός, ἐμοὶ γὰρ οὐδὲν διαφέρει, Φωκίωνι μόνῳ, φασί, τῷ Ἀθηναίων στρατηγῷ γράφων, προσετίθει τὸ Χαίρειν. οὕτως ἄρα ᾑρήκει τὸν Μακεδόνα ὁ Φωκίων. ἀλλὰ καὶ τάλαντα αὐτῷ ἀργυρίου ἔπεμψεν ἑκατόν, καὶ πό-

---

ἔτι οὕτως *eo facto*, posteaquam potione mens a corpore segregata est, ut recte Perizonius.

ἐῤῥιμμένον ἐν π. *proiectum ad pedes.* comp. πίπτειν Hom. Il. 1, 593. 4, 482. Eurip. El. 424. Seidl. — δῆλος c. Participio. B. §. 151. 7. M. §. 549. 5. — εἰδώς, a v. οἶδα.

II. (L. I, 20.) χρήματα, donaria quaecunque et ornamenta deorum ex argento vel auro facta. Periz.

ἀγάλματος (ἀγάλλειν nitidum reddere), ἀγάλματα πάντα τὰ κόσμου τιμὸς μετέχοντα Suid. h. l. de simulacro Iovis. περιεῖλε, a v. περιαιρέω. — ταλάντων Genitivus conditionem atque naturam rei indicans, quae h. l. pretio simulacri aestimato insignitur; ubi nihil est Ellipsis, quum vis illa proprium sit Genitivi verbo εἶναι adiecti. B. §. 132. 4.

καὶ αὐτό, alias *ipsum quoque*, *ipsum adeo*, h. l. *et ipsum*, gleichfalls; respicit enim ad alteram illam statuam, cuius ornamenta aeque essent aurea atque Apollinis cincinni. — ἀποκεῖραί τινα B. §. 127. 4. — αὐτό, num αὐτούς?

εἰς Τροιζ. B. §. 147. not. 5. — Λευκοθέα, dea maritima, Troezeni urbi in sinu Argolico sitae sacra, quam incolae templo, ut verisimile est, vel certe imaginibus aliquanti pretii dignabantur. — Ἀγαθοῦ Δαίμ. ctt. cum Perizonio interpretamur, Dionysium iussisse, illos mensis remotis sive fine epulandi facto propinare deo poculum Boni Genii. mos enim erat, ut libatio ad finem coenae fieret.

III. (L. I, 25.) εἰς τὸν Φωκ. ut aliis locis ἐπὶ quarto casui iunctum *adversus*, *contra*. ἔγκλημα εἰς θεοὺς. Xenoph. ὀργαῖς εἰς ἀλλήλους ἐχρήσαντο. Thuc. h. l. non vituperantis est, *erga*, *in*.

εἰ δέ τῳ i. q. τινι. B. §. 77. 2. — οὐδὲν διαφέρει s. οὐ δ. *nihil refert.* — τὸ Χαίρειν, *salvere*, *gaudere* iussit Phocionem. formula solemnis in inscriptionibus Epistolarum illud χαίρειν vel εὖ πράττειν ex eo quidem tempore, quo Cleon Sphacteria occupata, primus adhibuisse et ad populum Atheniensem dedisse fertur. Schol. ad Arist. Nub. 611.

ᾑρήκει *cepit* Macedonem i. e. gratiam eius obtinuit.

λεις τέσσαρας ὠνόμασεν, ὧν ἠξίου μίαν ἣν βούλεται προελέσθαι αὐτόν, ἵνα ἔχῃ καρποῦσθαι τὰς ἐκεῖθεν προσόδους. ἦσαν δὲ αἱ πόλεις αἵδε, Κίος, Ἐλαία, Μύλασα, Πάταρα. ὁ μὲν οὖν Ἀλέξανδρος μεγαλοφρόνως ταῦτα καὶ μεγαλοπρεπῶς· ἔτι γε μὴν μεγαλοφρονέστερον ὁ Φωκίων μήτε τὸ ἀργύριον προσιέμενος, μήτε τὴν πόλιν. ὡς δὲ μὴ δοκοίη πάντη ὑπερφρονεῖν τοῦ Ἀλεξάνδρου, ἐτίμησεν αὐτὸν κατὰ τοῦτο· τοὺς ἐν τῇ ἄκρᾳ τῇ ἐν Σάρδεσι δεδεμένους ἄνδρας ἠξίωσεν αὐτὸν ἀφεῖναι ἐλευθέρους αὐτῷ, Ἐχεκρατίδην τὸν σοφιστὴν καὶ Ἀθηνόδωρον τὸν Ἴμβριον καὶ Δημάρατον καὶ Σπάρτωνα· ἀδελφὼ δὲ ἄρα ἦστην οὗτοι Ῥοδίω.

IV. Περὶ χρόνου ταμιεύσεως καὶ τοῦ μὴ ἐᾶσαι Λακεδαιμονίους περιπατεῖν.

Λακεδαιμόνιοι δεινὴν ἐποιοῦντο τοῦ χρόνου τὴν φειδώ, ταμιευόμενοι πανταχόθεν αὐτὸν εἰς τὰ ἐπειγόμενα καὶ μηδενὶ τῶν πολιτῶν ἐπιτρέποντες μήτε ῥᾳστωνεύειν, μήτε ῥᾳθυμεῖν εἰς αὐτόν, ὡς ἂν μὴ πρὸς τὰ ἔξω τῆς ἀρετῆς ἀναλισκόμενος εἶτα μάτην διαφθείροιτο. μαρτύριον τούτου πρὸς τοῖς ἄλλοις καὶ τοῦτο. ἀκούσαντες οἱ Ἔφοροι Λακεδαιμονίων τοὺς Δεκέλειαν καταλαβόντας περιπάτῳ χρῆσθαι δειλινῷ ἐπέστειλαν αὐτοῖς· Μὴ περιπατεῖτε· ὡς τρυφώντων αὐτῶν μᾶλλον, ἢ τὸ σῶμα ἐκπονούντων. δεῖν γὰρ Λακεδαι-

---

ἔχῃ καρπ. ut *haberet* (posset) frui; quod nostrates imitantur. — τὰς ἐκεῖθεν προ. Adverbium adposito articulo vim Adiectivi suscipit, ea potissimum, quae vel tempus vel locum vel modum alicuius rei terminant. B. §. 125. 6.

αἱ πόλεις ctt. hae urbes fertilitate aliisve emolumentis satis benignae. *Cios* amnis cum oppido eiusdem nominis, quod fuit emporium non procul adcolentis Phrygiae, a Milesiis quidem conditum. Plin. H. N. V, 40. *Elaea* Asiae minoris oppidum maritimum in Aeolide, e regione Lesbi insulae. *Mylasa*, de qua urbe Strabo L. XIV. τὰ Μύλασα ἴδρυται ἐν πεδίῳ σφόδρα εὐδαίμονι. ὑπέρκειται δὲ κατὰ κορυφὴν ὄρος αὐτοῦ λατόμιον λευκοῦ λίθου κάλλιστον ἔχον· τοῦτο μὲν ὄφελός ἐστιν οὐ μικρόν. de *Pataris* idem ille: Πάταρα — καὶ αὕτη μεγάλη πόλις λιμένα ἔχουσα καὶ ἱερὰ πολλά (unde Apollo Patareus dictus est), κτίσμα Πατάρου.

προσιέμενος (προσίημι.) *ad se admittens, accipiens*, pro vulgari verbo δέχεσθαι. — τὴν πόλιν, singularis numerus ob verba priora: ἠξίου μίαν προελέσθαι.

ὑπερφρονεῖν c. Genit. B. §. 132. 3.

IV. (L. II, 5.) τοῦ μὴ ἐᾶσαι. Infinitivus, cui Articulus neutr. generis adiungitur, Substantivi locum obtinet, ita tamen ut suum quisque sibique peculiarem nominis casum vel totam periodum adsciscat. B. §. 140. 5. M. §. 540.

δεινὴν ἐποιοῦντο τοῦ χρ. τ. φ. *permagni faciebant tempori parcere.* δεινὸν igitur sensu ethico et ποιεῖσθαι (Medium) pro ἡγεῖσθαι s. τίθεσθαι sumendum. — ταμιευόμενοι ctt. *administrantes undecunque tempus ita ut non nisi in res necessarias impendatur.* Periz. — ῥᾳθυμεῖν εἰς αὐτὸν (χρόνον) *quod adtinet tempus* socordem se praebere. — ὡς ἂν μὴ — διαφθείροιτο *ne tempus in ea, quae extra virtutem posita sint, impensum mox frustra perdatur.* τὰ ἔξω τῆς ἀρ. Adverbium c. Articulo pro Subst. M. §. 272. a. B. §. 125. not. 5. 6. εἶτα vid. ad Aelian. I.

καταλαβόντας *qui obtinebant*, Deceleam praesidiis tenebant.

ὡς τρυφώντων αὐτῶν. Coniunctio propterea addita est, quod ea quae sequuntur causam continent illius praecepti: μὴ περιπατεῖτε, et tanquam cogitata ex animo atque sententia Ephororum pronuntiantur. v. B. §. 145. not. 5. comp. supra ad fab. Aesop. XII.

μονίους οὐ διὰ τοῦ περιπάτου, ἀλλὰ διὰ τῶν γυμνασίων τὴν ὑγείαν πορίζεσθαι.

V. Παράδειγμα ὅτι οὐ δεῖ τοῖς πολλοῖς ἀρέσκειν.

Ἱππόμαχός, φασιν, ὁ γυμναστής, ἐπεὶ πάλαισμά τι ὁ ἀθλητὴς ὁ ὑπ' αὐτῷ γυμναζόμενος ἐπάλαισεν, εἶτα ὁ πᾶς ὄχλος ὁ περιεστὼς ἐξεβόησε, καθίκετο αὐτοῦ τῇ ῥάβδῳ ὁ Ἱππόμαχος καὶ εἶπεν· Ἀλλὰ σύ γε κακῶς καὶ οὐχ ὡς ἐχρῆν ἐποίησας, ὅπερ ἐχρῆν ἄμεινον γενέσθαι· οὐ γὰρ ἂν ἐπῄνεσαν οὗτοι τεχνικόν σε δράσαντά τι. αἰνιττόμενος ὅτι τοὺς εὖ καὶ καλῶς ἕκαστα δρῶντας οὐ τοῖς πολλοῖς, ἀλλὰ τοῖς ἔχουσι νοῦν θεωρητικὸν τῶν δρωμένων ἀρέσκειν δεῖ. ἔοικε δὲ καὶ Σωκράτης τὴν τῶν πολλῶν ἐκφαυλίζειν κρίσιν ἐν τῇ συνουσίᾳ τῇ πρὸς Κρίτωνα, ὅτε ἀφίκετο ὁ Κρίτων εἰς τὸ δεσμωτήριον καὶ δὴ ἔπειθεν αὐτὸν ἀποδρᾶναι καὶ τὴν τῶν Ἀθηναίων τὴν κατ' αὐτοῦ κρίσιν διαφθεῖραι.

VI. Περὶ τοῦ μὴ ἐκτιθέναι βρέφη Θηβαίους.

Νόμος οὗτος Θηβαϊκὸς ὀρθῶς ἅμα καὶ φιλανθρώπως κείμενος ἐν τοῖς μάλιστα, ὅτι οὐκ ἔξεστιν ἀνδρὶ Θηβαίῳ ἐκθεῖναι παιδίον οὐδὲ εἰς ἐρημίαν αὐτὸ ῥίψαι, θάνατον αὐτοῦ καταψηφισάμενος. ἀλλ' ἐὰν ᾖ πένης εἰς τὰ ἔσχατα ὁ τοῦ παιδὸς πατήρ, εἴτε ἄῤῥεν τοῦτο εἴτε θῆλύ ἐστιν, ἐπὶ τὰς ἀρχὰς κομίζειν ἐξ ὠδίνων τῶν μητρῴων σὺν τοῖς

ὑγείαν πορίζ. *valetudinem curare, sibi comparare.* ceterum ὑγίεια forma antiquis Atticis si non sola usitata, certe usitatior.

V. (L. II, 6.) πάλαισμά τι — ἐπάλαισεν *artificium aliquod palaestricum luctando exhibuit.* simili audacia Aelianus γυμνάσιον γυμνάζεσθαι. de aliis quibusdam tritioribus v. B. §. 131. 3. — καθίκετο, c. Genit. pers. notare aliquem sive verbis, sive verberibus. comparari possunt verba, quibus notio stringendi sive adtingendi subest. M. §. 330.

τὴν τῶν Ἀ. τὴν κατ' αὐτοῦ κρ. Articulum extremo loco abesse vetat indoles linguae. alia ratio est ea, ubi participio alicuius verbi suffecto restitui deberet vis Articuli. cf. M. §. 279. not. 3. — διαφθεῖραι non *corrumpere*, sed *antiquare, abolere, irritum reddere* iudicium populi. Commentarii instar est locus ille in Plat. Crit. p. 50. b. ubi ὁ ἀποδιδράσκων periurus legum atque iuris eversor declaratur, et pessime cum ista civitate agi, — ἐν ᾗ ἂν αἱ δίκαι μηδὲν ἰσχύωσιν, ἀλλ' ὑπὸ ἰδιωτῶν ἄκυροί τε γίγνωνται καὶ διαφθείρωνται.

VI. (L. II, 7.) τοῦ μὴ ἐκτιθ. v. supra ad IV. init.

Θηβαϊκός, forma Herodotus nonnunquam utitur, si vero Atticos respicias, serioris aevi est. urbium enim nomina in ᾱ, αι, η Gentilia terminare solent in αῖος. quare Θηβαῖος forma magis commendabilis. cf. M. §. 103. — κείμενος (νόμος) i. e. *stat lex, sancita est lex.* comp. νόμον θεῖναι, v. θέσθαι. — ἐν τοῖς μάλ. plenius: ἐν τοῖς μ. τοιούτοις οὖσι, τοιοῦτός ἐστι i. e. lex ut quae maxime s. omnium maxime talis. (sc. ὀρθῶς καὶ φιλανθρώπως κείμενος.) Reiz. de accent. inclin. p. 17. Articulus in hac formula cur non iungendus cum Superlativo, sed ἐν τοῖς pro Neutro sumendum videatur et idem significet, quod Lat. *omnium*, non una causa est. tu quidem locum considera, qualis est ille Platonicus (Symp. p. 178. c.) ὁμολογεῖται ὁ Ἔρως ἐν τοῖς πρεσβύτατος εἶναι. cf. B. §. 150. p. 449. Herm. ad Viger. p. 787. n. 418.

εἰς τὰ ἔσχατα i. q. ἐσχάτως. ἀνὴρ φιλοπόλεμος ἐσχάτως. Xenoph. — ἀρχὰς *magistratus.* — κομίζειν οὐκ ἔξεστιν ex praecedentibus adsciscere sensus non patitur. alterum igitur, ut fit pro solemni quadam inversione ver-

σπαργάνοις αὐτό. αἱ δὲ παραλαβοῦσαι ἀποδίδονται τὸ βρέφος τῷ τιμὴν ἐλαχίστην δόντι· ῥήτρα τε πρὸς αὐτὸν καὶ ὁμολογία γίνεται, ἢ μὴν τρέφειν τὸ βρέφος καὶ αὐξηθὲν ἔχειν δοῦλον ἢ δούλην, θρεπτήρια αὐτοῦ, τὴν ὑπηρεσίαν λαμβάνοντα.

VII. Περὶ τῶν ῥηθέντων ὑπὸ Σωκράτους περὶ τῶν ὑπὸ τῶν τριάκοντα σφαττομένων.

Σωκράτης ἰδὼν κατὰ τὴν ἀρχὴν τῶν τριάκοντα τοὺς ἐνδόξους ἀναιρουμένους καὶ βαρύτατα τοὺς πλουτοῦντας ὑπὸ τῶν τυράννων ἐπιβουλευομένους Ἀντισθένει φασὶ περιτυχόντα εἰπεῖν· Μή τί σοι μεταμέλει, ὅτι μέγα καὶ σεμνὸν οὐδὲν ἐγενόμεθα ἐν τῷ βίῳ καὶ τοιοῦτοι, οἵους ἐν τῇ τραγῳδίᾳ τοὺς μονάρχας ὁρῶμεν, Ἀτρέας τε ἐκείνους καὶ Θυέστας καὶ Ἀγαμέμνονας καὶ Αἰγίσθους; οὗτοι μὲν γὰρ ἀποσφαττόμενοι καὶ ἐκτραγῳδούμενοι καὶ πονηρὰ δεῖπνα δειπνοῦντες καὶ ἐσθίοντες ἑκάστοτε ἐκκαλύπτονται· οὐδεὶς δὲ οὕτως ἐγένετο τολμηρὸς οὐδὲ ἀναίσχυντος τραγῳδίας ποιητής, ὥστε εἰσαγαγεῖν εἰς δρᾶμα ἀποσφαττόμενον χοῖρον.

VIII. Περὶ Ἀλεξάνδρου θεὸν ἑαυτὸν καλεῖσθαι βουλομένου.

Ἀλέξανδρος ὅτε ἐνίκησε Δαρεῖον καὶ τὴν Περσῶν ἀρχὴν κατε-

---

borum, ex eodem illo adsumendum (cf. M. §. 634. 3.), vel per hyperbaton ex prioribus repetendum *νόμος κεῖται*. — *ἐξ ὠδίνων*. Praepositio de tempore proxime instante, continuo aliquid excipiente. sic alio loco Aelianus: *ἐξ ὠδίνων νήχεσθαι statim a partu* s. *simulac natus est, natare*. comp. *ἐκ τοῦ παραχρῆμα* aliaque eiusmodi in F. Passovii Lexic. s. v. *ἐκ*.

τιμὴν pretium quo quid venditur vel emitur. h. l. emtoris est.

ῥήτρα i. e. *συνθήκη διὰ λόγων*; lex non scripta. hinc Lycurgam Lacedaemonium leges a se latas vocasse *ῥήτρας* satis notum. — *ἢ μὴν revera, omnino*, in formulis iurandi et asseverandi, rarius tamen ut h. l. in oratione obliqua, quod nisi *ὀμνύναι* vel similis sententiae verbo praegresso non facile fiat. — *τρέφειν*, de quo praes. temporis Infin. pro fut. (Hom. Il. I, 77.) vid. Krüger ad Xen. Anab. II, 3, 27. — *θρεπτήρια* praemia, quae infantem educaturo solvuntur. — *ὑπηρεσία servitium, obedientia* hominum tenuioris conditionis, qui sedentarii et sellularii (*βάναυσοι*) opera conficiunt. *δοῦλοι — οἷς οὐδὲν πλέον ὑπηρεσίας προσήκει*. Xenoph. — *λαμβάνοντα* Accus. Subi.

VII. (L. II, 11.) *Σωκρ. ἰδὼν* ctt. Nominat. absolutus (B. §. 145. not. 4. M. §. 562. 1.), in apodosi enim sequitur *φασὶ* intell. *οἱ πολλοί*, vel potius reddas: *man sagt*. — *βαρύτατα*, cum *ἐπιβουλευομένους* coniungendum hoc sensu: *locupletes gravissimis peti insidiis*. Periz. — *Ἀντισθένει*. *Antisthenes* conditor sectae Cynicae, praeceptor Diogenis.

μή τί σοι μετ. B. §. 148. 5. — *μέγα καὶ σεμνὸν* ctt. B. §. 129. 6. comp. usum Lat. Zumpt. Gramm. §. 368.

πονηρὰ δεῖπνα. intelligit non modo coenam Thyestis, sed et Agamemnonis, qui in adventicia ipsi ab uxore praebita ab ea et Aegistho interfectus est. Periz.

ὥστε — χοῖρον. *ὥστε* c. Infin. B. pag. 433. M. §. 531. not. 2. sensus, si quidem verbum e verbo expresseris, hic erit: *nemo — tam impudens, ut trucidatum porcum in tragoediam inducat*. quo dicto Socrates Antisthenem auctorem sectae Cynicae, ut solet, leviter perstringere videtur. accedit ut *χοῖρος* et *porcus* etiam de homine inmundo dicatur.

VIII. (L. II, 19.) *Ἀλέξανδρος ὅτε* — non inverso ordine, *Ἀλέξ.* enim

κτήσατο, μέγα ἐφ' ἑαυτῷ φρονῶν καὶ ὑπὸ τῆς εὐτυχίας τῆς περιλαβούσης αὐτὸν τότε ἐκθεούμενος ἐπέστειλε τοῖς Ἕλλησι, Θεὸν αὐτὸν ψηφίσασθαι. γελοίως γε· οὐ γὰρ ἅπερ οὖν ἐκ τῆς φύσεως οὐκ εἶχε, ταῦτα ἐκ τῶν ἀνθρώπων αἰτῶν ἐκεῖνος ἐκέρδαινεν. ἄλλοι μὲν οὖν ἄλλα ἐψηφίσαντο· Λακεδαιμόνιοι δὲ ἐκεῖνα· Ἐπειδὴ Ἀλέξανδρος βούλεται θεὸς εἶναι, ἔστω θεός· Λακωνικῶς τε ἅμα καὶ κατὰ τὸν ἐπιχώριον σφίσι τρόπον ἐλέγξαντες τὴν ἔμπληξιν οἱ Λακεδαιμόνιοι τοῦ Ἀλεξάνδρου.

IX. Ὅτι ὁ ὕπνος θανάτου ἀδελφὸς καὶ περὶ Γοργίου τελευτῆς.

Γοργίας ὁ Λεοντῖνος ἐπὶ τέρματι ὢν τοῦ βίου καὶ γεγηρακὼς εὖ μάλα, ὑπό τινος ἀσθενείας καταληφθείς, κατ' ὀλίγον εἰς ὕπνον ὑπολισθαίνων ἔκειτο. ἐπεὶ δέ τις αὐτὸν παρῆλθε τῶν ἐπιτηδείων ἐπισκοπούμενος καὶ ἤρετο, τί πράττοι; ὁ Γοργίας ἔφη· Ἤδη με ὁ Ὕπνος ἄρχεται παρακατατίθεσθαι τῷ ἀδελφῷ.

X. Περὶ Πλάτωνος δόξης καὶ περὶ ἰσονομίας.

Ἡ Πλάτωνος δόξα καὶ ὁ τῆς κατ' αὐτὸν ἀρετῆς λόγος καὶ εἰς Ἀρκάδας ἀφίκετο καὶ Θηβαίους. καὶ οὖν ἐδεήθησαν αὐτοῦ πρέσβεις ἀποστείλαντες σὺν τῇ ἀνωτάτῃ σπουδῇ ἀφικέσθαι σφίσι τὸν ἄνδρα, οὐκ ἐπὶ μόνῃ τῇ τῶν νέων προστασίᾳ, οὐδ' ἵνα αὐτοῖς συγγένηται ἐπὶ τοῖς λόγοις τοῖς κατὰ φιλοσοφίαν, ἀλλὰ γὰρ καὶ τὸ ἔτι τούτων

Subiectum per totam periodum regnat. comp. supra Ael. I init. — *μέγα — φρονῶν superbiens, magnifice de se sentiens*, cui oppositum est *μικρὰ φρονεῖν*. — *περιλαβούσης αὐτὸν* de fortuna, quae alicui favet, prorsus ut Latine dicitur *amplexari* s. *complecti*. *Fortuna* — eos etiam plerumque efficit caecos, quos *complexa est*. Cic. Lael. c. 15.

γελοίως γε ridicule *certe*. M. §. 602. nos ironia quadam inserere solemus *doch wohl*. — *ἐκ τῶν ἀνθ. αἰτῶν* ctt. priora verba iunge cum *ἐκέρδαινεν*; nam *αἰτῶν* postularet aut *παρὰ τῶν ἀνθρ.*, aut *τοὺς ἀνθρώπους*!

ἄλλοι — ἄλλα ἐψηφ. alii alia decreverunt. M. §. 302. comp. Zumpt. Gr. lat. cap. 84. §. 711.

ἔμπληξιν stuporem, vecordiam. Periz.

IX. (L. II, 35.) *Γοργίας ὁ Λεοντ.* de quo infra Lucian. II. §. 2. Diodor. II. §. 1. — *κατ' ὀλίγον sensim, paullatim*. vid. similia ap. Viger. p. 633 sq.

ἐπεὶ δέ τ. ctt. ordo verborum hic est: *ἐπεὶ δέ τις τῶν ἐπιτηδ. παρῆλθεν ἐπισκ. αὐτόν. ἐπισκοπεῖσθαι* et *ἐπισκοπεῖν* de iis qui accuratius quid inspiciunt, tum de iis qui visendi causa conveniunt aegrotos, quaesituri quid agant, quomodo se habeant. *τί πράττοι*, posset etiam *ὡς πρ. wie er sich befände*.

ἄρχεται cum Participio quid sit vid. ap. M. §. 550. e. — *ὁ Ὕπνος — τῷ ἀδελφῷ*. iam ex Homero (Il. 16, 681 sq.) noti sunt *Ὕπνος καὶ Θάνατος διδυμάονες*. unde factum est, ut veteres somnum cum morte in urnis vel cippis sepulcralibus aliisque monumentis Genios una tabula coniunctos facibus plerumque inversis et ad solum demissis exprimendos curarent. rem siqui alii ingeniose subtiliterque tractarunt Winckelmann, Lessing, Herder.

X. (L. II, 42.) *τῆς κατ' αὐτὸν ἀρετῆς eius quae in ipso est virtutis*.

ἐδεήθησαν (*δέομαι, δεήσομαι.*) c. Genit. B. §. 132. 2. — *ἀνωτάτῃ σπ.* i. e. *πλείστῃ σπ., ὡς τάχιστα*. — *ἐπὶ — προστασίᾳ* h. l. de consilio, cur philosophus advocetur, ut mox *συγγέν. ἐπὶ τοῖς λόγ.* ctt. convenire aliquem, ut eum inter et convenientem sermo fiat de philosophia. — *ἀλλὰ γὰρ καί. ἀλλὰ καὶ* redeunt ad priora *οὐκ ἐπὶ μόνῃ —, οὐδ' ἵνα —*; *γὰρ* vero particula una cum principali orationis parte *causam* cur aliquid fiat

μεῖζον νομοθέτην αὐτὸν ἐκάλουν. οὔκουν ἔμελλον ἀτυχήσειν τοῦ ἀνδρός· καὶ γὰρ ἥσθη ὁ τοῦ Ἀρίστωνος τῇ κλήσει καὶ δὴ καὶ ἔμελλεν ὑπακούσεσθαι. ἤρετο μέν τοι τοὺς ἥκοντας, πῶς ἔχουσι πρὸς τὸ ἴσον ἔχειν ἅπαντες; ἐπεὶ δὲ ἔμαθε παρ' αὐτῶν, ὅτι καὶ πάνυ ἀλλοτρίως, οὐδὲ πείσειν αὐτοὺς τιμᾶν τὴν ἰσονομίαν, ἀπείπατο τὴν πρὸς αὐτοὺς ἐπιδημίαν.'

XI. Ὅτι ἡ φιλοσοφία οὐκ ἀπολίτευτος, καὶ τίνες τῶν φιλοσόφων ἐπολιτεύσαντο.

Ἐπολιτεύσαντο οὖν καὶ φιλόσοφοι, ἢ αὐτὸ τοῦτο μόνον τὴν διάνοιαν ἀγαθοὶ γενόμενοι ἐφ' ἡσυχίας κατεβίωσαν; ἐπηνώρθωσαν γὰρ τὰ κοινά, Ζάλευκος μὲν τὰ ἐν Λοκροῖς, Χαρώνδας δὲ τὰ ἐν Κατάνῃ καὶ τὰ ἐν Ῥηγίῳ, ὅτε ἐκ Κατάνης ἔφευγε. Ταραντίνοις δὲ ἐγένετο ἀγαθὸν Ἀρχύτας, Σόλων δὲ Ἀθηναίοις, Βίας δὲ καὶ Θαλῆς τὴν Ἰωνίαν πολλὰ ὤνησαν, Χίλων δὲ Λακεδαιμονίους, Μιτυληναίους γε μὴν Πιττακός, Κλεόβουλος δὲ Ῥοδίους. καὶ Ἀναξίμανδρος δὲ ἡγήσατο τῆς εἰς Ἀπολλωνίαν ἐκ Μιλήτου ἀποικίας. ἀλλὰ καὶ Ξενοφῶν στρατιώτης ἀγαθὸς ἦν καὶ ἀμείνων στρατηγός, ὅτε Κύρῳ συνανέβη· καὶ Κῦρος μὲν καὶ οἱ σὺν αὐτῷ ἀπέθανον, καλούσης δὲ τῆς χρείας τὸν δυνησόμενον σῶσαι τοὺς Ἕλληνας καὶ ἀγαγεῖν τὴν ὀπίσω εἰς τὰ οἰκεῖα, οὗτος ἦν. Πλάτων δὲ ὁ Ἀρίστωνος Δίωνα κατήγαγεν

---

connectit. comp. M. §. 615. p. 1242. — ἐκάλουν, h. l. idem valet quod μεταπέμπεσθαι arcessere. ceterum observa triplicem dictionis mutationem: ἐκὶ — ἵνα —, denique αὐτὸν ἐκάλουν.

ἔμελλον: B. §. 150. p. 451.

ἥκοντας qui venerunt, praesentes. B. §. 137. not. 8. — ἔχουσι. Pass. Lexic. s. v. ἔχω. nr. 4. add. B. §. 130. not. 2. — οὐδὲ πείσειν neque se impulsurum esse, ubi Accusativus Subiecti e verbo ἔμαθε peti debet. sed h. l. quominus orationi adpingatur Pron. reflexivum, vetat ratio grammatica linguae Gr.

XI. (L. III, 17.) ἢ αὐτὸ τοῦτο μ. haec tantum admonent, ut animum magis adtendamus ad sequentia τὴν διάνοιαν ἀγ. ctt., quae per epexegesin Pronominibus adduntur. M. §. 472. c. e. Sensus est: *philosophi num rempubliçam administrarunt, an id ipsum tantum — mente cogitationeque cordati vitam quiete transegisse satis habent?* i. e. *an nihil nisi — transegerunt?* cf. Herm. ad Viger. p. 736.

ἐπηνώρθωσαν. de Augm. B. §. 86. not. 6. — Ζάλευκος — Χαρώνδας. Senec. Epist. 91. Zaleuci leges Charondaeque laudantur. hi non in foro nec in consultorum atrio, sed in *Pythagorae* tacito illo sanctoque secessu didicerunt iura, quae florenti tunc Siciliae et per Italiam Graeciae ponerent.

ἐγένετο ἀγαθ. *contigit, ut saluti Tarentinis esset.* Ἀρχύτας, Pythagoreus, geometriae et astronomiae scientia notus, belli domique rempbl. gessit. cf. infra Aelian. c. XVIII. — Βίας — Θαλῆς, ille eripuit patriam Prienem ex obsidione regis Lydorum Alyattis et Croesum deterruit, ne classem pararet contra Ionas insulanos; hic autem, qui Ionicae fuit sectae auctor, privatus semper vixit et vel sic consilio iuvit Ionas. Periz. — ὤνησαν (ὀνίνημι.) B. §. 131. not. 4. M. §. 411. 4. — Χίλων, Πιττακός, Κλεόβουλος in numero erant septem sapientium, mirifice, inprimis Pittacus νομοθέτης tyrannidisque expulsor, de civibus suis meriti.

Ἀναξίμανδρος, Milesius, discipulus Thaletis.

τὴν ὀπίσω suppl. ὁδόν. — οὗτος ἦν *hic ille erat* i. e. insignis ille. maximam partem ut h. l. ad priorem, quem novimus, respicit. aliis placuit lectio: οὗτος ἐκεῖνος ἦν.

κατήγαγεν *in patriam restituit.* ad rem cf. Corn. Nep. vit. Dion. c. 2.

εἰς Σικελίαν, καὶ δι' ὧν αὐτῷ συνεβούλευε καὶ ἐδίδασκε, διὰ τούτων τυραννίδα τὴν Διονυσίου κατέλυσε. Σωκράτης δὲ τῇ μὲν Ἀθηναίων πολιτείᾳ οὐκ ἠρέσκετο· τυραννικὴν γὰρ καὶ μοναρχικὴν ἑώρα τὴν δημοκρατίαν οὖσαν· καὶ διὰ ταῦτα οὔτε ἐπεψήφισεν Ἀθηναίοις τὸν τῶν δέκα στρατηγῶν θάνατον, ἀλλ' οὐδὲ τοῖς τριάκοντα ἐκοινώνει τῶν ἀσεβημάτων. ἔνθα δὲ ἐχρῆν ὑπὲρ τῆς πατρίδος ἀγωνίζεσθαι, ἀλλ' ἐνταῦθά γε ἀπροφάσιστος ἐκεῖνος στρατιώτης ἦν. ἐστρατεύσατο οὖν ἐπὶ Δήλιον καὶ εἰς Ἀμφίπολιν καὶ εἰς Ποτίδαιαν. Ἀριστοτέλης δὲ τὴν ἑαυτοῦ πατρίδα οὐ τὸ λεγόμενον δὴ τοῦτο εἰς γόνυ πεσοῦσαν, ἀλλ' ἐπὶ στόμα, ἀνέστησεν αὖθις. Δημήτριος δὲ ὁ Φαληρεὺς καὶ Ἀθήνησιν ἐπιφανέστατα ἐπολιτεύσατο, ἔστ' ἂν αὐτὸν ὁ συνήθης Ἀθηναίοις φθόνος ἐξέωσε· καὶ ἐν Αἰγύπτῳ δὲ συνὼν τῷ Πτολεμαίῳ νομοθεσίας ἦρξε. τίς δὲ ἀντιφήσει καὶ Περικλέα τὸν Ξανθίππου φιλόσοφον γενέσθαι καὶ Ἐπαμινώνδαν τὸν Πολύμνιδος καὶ Φωκίωνα τὸν Φώκου καὶ Ἀριστείδην τὸν Λυσιμάχου καὶ Ἐφιάλτην τὸν Σοφωνίδου; καὶ ἔτι κάτω τοῦ χρόνου Καρνεάδην καὶ Κριτόλαον; εἴγε καὶ εἰς τὴν Ῥώμην ἀφίκοντο καὶ ἐκεῖνοι ὑπὲρ τῶν Ἀθηναίων πρεσβεύοντες καὶ αὐτοῖς σωτηρίαν εὕραντο. οἵπερ οὖν εἰς τοσοῦτον ἐνέτρεψαν τὴν σύγκλητον βουλήν, ὡς εἰπεῖν αὐτούς· Ἔπεμψαν Ἀθηναῖοι πρεσβεύοντας οὐ τοὺς πείσοντας, ἀλλὰ γὰρ τοὺς βιασομένους ἡμᾶς δρᾶσαι ὅσα θέλουσιν. ἐγὼ δὲ πολιτείαν φαίην ἂν καὶ τὸ Περσαίου, εἴγε Ἀντίγονον ἐπαίδευσε· καὶ τὸ Ἀριστοτέλους, ἐπεὶ καὶ αὐτὸς σὺν Ἀλεξάνδρῳ τῷ Φιλίππου νέῳ ὄντι φιλοσοφῶν ἦν δῆλος. καὶ Λύσις δὲ ὁ γνώριμος ὁ Πυθαγόρου καὶ αὐτὸς Ἐπαμεινώνδαν ἐξεπαίδευσεν. εἴ τις οὖν ἀπράκτους λέγει τοὺς φιλοσόφους, ἀλλὰ εὐήθη γε αὐτοῦ καὶ ἀνόητα ταῦτα. ἐγὼ μὲν γὰρ τὴν σὺν αὐτοῖς ἀπραγμοσύνην, καὶ τὸν τῆς ἡσυχίας ἔρωτα κἂν ἁρπάσαιμι ἐπιδραμών.

ἠρέσκενο pass. cum Dat. M. §. 411. 5. not. 2. — ἑώρα — οὖσαν *vidit esse*. M. §. 548. 1. — οὔτε ἐπεψήφισε ctt. *non suffragabatur morti, suffragia de capite non ferebat*. — οὐδὲ — ἐκοινώνει. triginta tyranni mandaverant quinque civibus inque iis Socrati, ut Leonem Salamine ducerent Athenas morte istic multandum; solus autem Socrates iis non obtemperavit. Plat. Apol. p. 32. c. Periz.

τὸ λεγόμενον *ut aiunt, ut in proverbio est*. B. §. 131. not. 6. — ἐς γόνυ πίπτειν — ἐπὶ στόμα, *in genu — in os procumbere* i. e. malis valde affligi — calamitatibus paene frangi.

ἐξέωσε. de Augm. B. §. 84. not. 5.

κάτω c. Genit. *temporis* ab antiquiore Ἀττικισμῷ alienum monet Bernhardy. Syntax. p. 158. rectius dixeris: συχνῷ — πολλῷ χρόνῳ ὕστερον vel similia. — Καρνεάδην — Κριτόλαον. ille Academicus, hic Peripateticus, supparis aetatis; floruerunt enim regno Macedonico Romanis subiuncto ducentis annis post quam minores natu inter eos, qui modo laudantur. — εἴγε καὶ εἰς τ. Ρ. ἀφ. καὶ ἐκεῖνοι *si quidem et illi etiam Romam venerunt*. — εὕραντο *impetrabant*, quae forma Aor. med. pro εὑρόμην genuinis Atticis improbatur, de Augm. B. §. 84. not. 2.

εἰς τοσοῦτον — ὡς, *tantum s. eo* impulerunt, *ut* ctt.

τὸ Περσαίου *quae a Persaeo profecta sunt*. de hac vi Articuli cum Genit. M. §. 284.

καὶ αὐτός, vid. supra ad Aelian. c. II.

ἀλλὰ — γε in apodosi i. q. *certe quidem*. dann gewiß doch wohl. — ἁρπάσαιμι ἐπιδρ. *cupidissime* (incursans) *arriperem*. comp. infra c. XIII v. κλέπτειν.

XII. Διὰ τί ὁ Ἀριστοτέλης ἀπέλιπε τὰς Ἀθήνας.

Ἀριστοτέλης ὅτε ἀπέλιπε τὰς Ἀθήνας δέει τῆς κρίσεως, πρὸς τὸν ἐρόμενον αὐτόν· Τίς ἐστιν ἡ τῶν Ἀθηναίων πόλις; ἔφη, Παγκάλη· ἀλλ' ἐν αὐτῇ

Ὄχνη ἐπ' ὄχνῃ γηράσκει, σῦκον δ' ἐπὶ σύκῳ,

τοὺς συκοφάντας λέγων. καὶ πρὸς τὸν ἐρόμενον, διὰ τί ἀπέλιπε τὰς Ἀθήνας; ἀπεκρίνατο, ὅτι οὐ βούλεται Ἀθηναίους δὶς ἐξαμαρτεῖν εἰς φιλοσοφίαν, τὸ περὶ Σωκράτην πάθος αἰνιττόμενος καὶ τὸν καθ' ἑαυτὸν κίνδυνον.

XIII. Περὶ Τιμοθέου καὶ ἄλλων οὐδὲν ὠφεληθέντων ὑπ' ἰδίας ἀνδραγαθίας.

Τιμόθεον τὰ μὲν πρῶτα ἐπῄνουν Ἀθηναῖοι· ἐπεὶ δὲ ἔδοξεν ἁμαρτεῖν ἃ ἔδοξεν, ἡ φθάνουσα αὐτὸν ἀνδραγαθία ἀλλ' οὐδὲ ὀλίγον ἔσωσεν, οὐδὲ μὴν αἱ τῶν προγόνων ἀρεταί. Θεμιστοκλῆς δὲ οὐδὲν ὤνητο οὔτε ἐκ τῆς ναυμαχίας τῆς περὶ Σαλαμῖνα, οὔτε ἐκ τῆς πρεσβείας τῆς εἰς Σπάρτην· λέγω δὲ ἣν ἐπρέσβευσε κλέπτων τὴν τῶν Ἀθηναίων τείχισιν. ἔφυγε γὰρ κἀκεῖνος οὐ τὰς Ἀθήνας μόνον, ἀλλὰ καὶ τὴν Ἑλλάδα πᾶσαν. καὶ Παυσανίαν δὲ τὸν Λακεδαιμόνιον οὐδὲν ὤνησεν ἡ ἐν Πλαταιαῖς νίκη· ὑπὲρ δὲ ὧν ἐν Βυζαντίῳ ἐκαινούργει καὶ ἐνόσει Περσικά, ὑπὲρ τούτων διέφθειρε καὶ τὴν χάριν τὴν ἐπὶ τοῖς πρώτοις. Φωκίωνα δὲ ἡ εὐφημία ἡ καλοῦσα αὐτὸν χρηστὸν οὐδὲν ὠφέλησεν, οὐδὲ τὰ πέντε καὶ ἑβδομήκοντα ἔτη, ἅπερ οὖν διεβίωσεν οὐδὲν ἀδικήσας τοὺς Ἀθηναίους ἐν βραχεῖ· ἐπεὶ δὲ ἔδοξεν Ἀντιπάτρῳ τὸν Πειραιᾶ προδιδόναι, Ἀθηναῖοι κατέγνωσαν αὐτοῦ θάνατον.

XII. (L. III, 36.) *ὅτε ἀπέλιπε.* Aristotelem aiunt evitaturum poenam capitalem non multo post mortem Alexandri Athenis derelictis Chalcidem se contulisse et ibidem biennio post diem obiisse supremum.

ὄχνη ἐπ' ὄχν. Hom. Od. 7, 120—21. de forma *ὄχνη* pro *ὄγχνη* vid. Lexic. — *συκοφάντας. τῶν δὲ φαινόντων τοὺς (σῦκα) ἐξάγοντας συκοφαντῶν κληθέντων, συνέβη καὶ τοὺς ὁπωσοῦν κατηγοροῦντάς τινων φιλαπεχθημόνως οὕτω προσαγορευθῆναι.* Suid. s. v. *συκοφαντεῖν.* — *ἐξαμαρτεῖν*, a v. *ἐξαμαρτάνω.*

XIII. (L. III, 47.) *ἔδοξεν — ἃ ἔδοξεν.* recte monet Perizonius, auctorem ista locutione in incerto videri relinquere, *quid* deliquerit Timotheus. *Da er sich vergangen zu haben schien, worin er es eben schien.* sic apud Plat. *δοκεῖ μοι ἀβίωτον εἶναι ἔχοντι ὡς ἔχω.* ad rem v. Corn. Nep. vit. Tim. c. 3. — *φθάνουσα — ἀνδραγ.* i. e. *virtus praeterita.* sic alio loco Aelianus *τὸ φθάνον*, cui oppositum est *τὸ παρόν.* — *ἀλλ' οὐδὲ ὀλ.* haec mediae orationi inserta ex ellipsi videntur derivanda esse, quum negandi formula suppressa sit. *virtus non dixerim aliquantulum, sed ne minimum quidem incolumem eum praestitit.* comp. infra c. XVI extr.

κλέπτων τὴν — τείχισιν quasi *surripiens munitionem* i. e. furtim exstruens. sic *κλέπτειν τὰς ἐξόδους.* hinc saepius coniungitur cum v. *ἁρπάζειν* clam aut violenter aliquid arripere.

ἐνόσει Περσικά. B. §. 131. 2. *νοσεῖν* Accusativo vocabuli gentilicii adiecto vox propria de conspiratione cum patriae hostibus et omnino de rerum publicarum calamitatibus.

ἐν βραχεῖ (*ἐν βραχέσι*) *ut paucis verbis comprehendam.* — *Ἀντιπάτρῳ.* Aelianum memoria falsum voluisse Cassandrum Antipatri F., quum paullo ante mortuus sit pater, notavit Perizonius ex Plut. Phoc. et Corn. Nep. — *κατέγνωσαν* M. §. 378. p. 694.

XIV. Περὶ Ἀθηναίων ἁβροσύνης.

Οἱ πάλαι Ἀθηναῖοι ἁλουργῆ μὲν ἠμπείχοντο ἱμάτια, ποικίλους δὲ ἐνέδυνον χιτῶνας· κορύμβους δὲ ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν, χρυσοῦς ἐνείροντες αὐταῖς τέττιγας καὶ κόσμον ἄλλον πρόσθετον περιαπτόμενοι χρυσοῦ προῄεσαν. καὶ ὀκλαδίας αὐτοῖς δίφρους οἱ παῖδες ὑπέφερον, ἵνα μὴ καθίζωσιν ἑαυτοὺς εἰκῇ καὶ ὡς ἔτυχε. δῆλον δὲ ὅτι καὶ ἡ τράπεζα ἦν αὐτοῖς καὶ ἡ λοιπὴ δίαιτα ἁβροτέρα: τοιοῦτοι δὲ ὄντες τὴν ἐν Μαραθῶνι μάχην ἐνίκησαν.

XV. Περὶ Θρασύλλου παραδόξου μανίας.

Θράσυλλος ὁ Αἰξωνεὺς παράδοξον καὶ καινὴν ἐνόσησε μανίαν. ἀπολιπὼν γὰρ τὸ ἄστυ καὶ κατελθὼν εἰς τὸν Πειραιᾶ καὶ ἐνταῦθα οἰκῶν τὰ πλοῖα τὰ καταίροντα ἐν αὐτῷ πάντα ἑαυτοῦ ἐνόμιζεν εἶναι, καὶ ἀπεγράφετο αὐτὰ καὶ αὖ πάλιν ἐξέπεμπε, καὶ τοῖς περισωζομένοις καὶ εἰσιοῦσιν εἰς τὸν λιμένα ὑπερέχαιρε· χρόνους δὲ διετέλεσε πολλοὺς συνοικῶν τῷ ἀῤῥωστήματι τούτῳ. ἐκ Σικελίας δὲ ἀνάχθεὶς ὁ ἀδελφὸς αὐτοῦ παρέδωκεν αὐτὸν ἰατρῷ ἰάσασθαι, καὶ ἐπαύσατο τῆς νόσου οὕτως. ἐμέμνητο δὲ πολλάκις τῆς ἐν μανίᾳ διατριβῆς καὶ ἔλεγε μηδέποτε ἡσθῆναι τοσοῦτον, ὅσον τότε ἥδετο ἐπὶ ταῖς μηδὲν αὐτῷ προσηκούσαις ναυσὶν ἀποσωζομέναις.

XVI. Ὅτι οἱ Ἀθηναῖοι ἀγχίστροφοι πρὸς νεωτερισμούς.

Ἦσαν δὲ ἄρα Ἀθηναῖοι δεινῶς εἰς τὰς πολιτείας εὐτράπελοι καὶ ἐπιτήδειοι πρὸς τὰς μεταβολὰς παντὸς μᾶλλον. βασιλείαν μὲν γὰρ ἤνεγκαν σωφρόνως ἐπὶ Κέκροπος καὶ Ἐρεχθέως καὶ Θησέως καὶ τῶν

XIV. (L. IV, 22.) *ἠμπείχοντο.* de Augm. B. §. 86. not. 6. — *κορύμβους — προῄεσαν.* corymbi i. e. coma ita structa, ut a fronte supra caput attollatur, insigne erat nobilium atque ingenuorum. illos igitur corymbos *sursum colligabant* (*ἀναδούμενοι.*) crine aurea cicada innexo, si quando *in publicum prodibant* (*προῄεσαν.*).

εἰκῇ καὶ ὡς ἔτυχε temere et utcunque sors obtulit i. e. negligenter.

XV. (L. IV, 25.) *ἐνόσησε* v. ad c. XIII.

καταίροντα h. l. intrans. de navibus ab alto deversis et *ad littus adpulsis.* — *ἑαυτοῦ — εἶναι.* de Genit. B. §. 132. not. 8. — *ἀπεγράφετο in rationes suas referebat;* nahm ein schriftliches Verzeichniſs auf. — *αὖ πάλιν* et saepius *πάλιν αὖ* ex lingua Homerica in Atticam transiit. cave tamen pro mero Pleonasmo accipias. verte: *rursus retro emittere, exire pati* (*ἐκπέμπ.*), ut tria in hoc enunciato sint expressa.

διετέλεσε cum Participio. B. §. 144. not. 8.

παρέδωκεν — ἰάσασθαι medico *sanandum* tradidit. de Infinit. vid. M. §. 532. a. — *ἐπαύσατο* c. Genit. B. §. 132. 1. M. §. 355. 4.

τοσοῦτον ὅσον, tantopere quantopere. τοσοῦτον forma bonis Atticis probatior, quam altera *τοσοῦτο,* quod idem statuendum de *ταὐτὸν* et *ταὐτό, τοιοῦτον* et *τοιοῦτο.*

XVI. (L. V, 13.) *Ἦσαν δὲ ἄρα* ctt. *erant igitur* (*moribus suis convenienter*) *valde flexibiles.* *ἄρα* enim coniunctio eam habet vim, ut transitum faciat ad ea, quae ex rei natura exspectes. nos: es waren nun also die Athenienser ctt. — *παντὸς μᾶλλον,* quod etiam dicunt *πάντων μ.,* *omnium maxime*, eum locum obtinet, quem supra *δεινῶς.*

ἤνεγκαν, a v. *φέρω.* — *ἐπὶ Κ.* temporibus Cecropis s. regnante Cecrope.

Κοδριδῶν κάτω. τυραννίδος ἐπειράθησαν ἐπὶ τῶν Πεισιστρατιδῶν· ἀριστοκρατία δὲ ἐχρήσαντο μέχρι τῶν τετρακοσίων. εἶτα ὕστερον δέκα τῶν πολιτῶν καθ' ἕκαστον ἔτος ἦρχον τῆς πόλεως· τελευταῖον δὲ ἐγένετο ἀναρχία περὶ τὴν τῶν τριάκοντα κατάστασιν. ταύτην δὲ τὴν οὕτως ἀγχίστροφον μεταβολὴν τοῦ τρόπου εἰ ἐπαινεῖν χρή, ἀλλὰ ἔγωγε τοῦτο οὐκ οἶδα.

XVII. Αἰσχύλος ἀσεβείας κριθεὶς πῶς διεσώθη.

Αἰσχύλος ὁ τραγῳδὸς ἐκρίνετο ἀσεβείας ἐπί τινι δράματι. ἑτοίμων οὖν ὄντων Ἀθηναίων βάλλειν αὐτὸν λίθοις, Ἀμεινίας ὁ νεώτερος ἀδελφὸς διακαλυψάμενος τὸ ἱμάτιον ἔδειξε τὸν πῆχυν ἔρημον τῆς χειρός. ἔτυχε δὲ ἀριστεύων ἐν Σαλαμῖνι ὁ Ἀμεινίας ἀποβεβληκὼς τὴν χεῖρα καὶ πρῶτος Ἀθηναίων τῶν ἀριστείων ἔτυχεν. ἐπεὶ δὲ εἶδον οἱ δικασταὶ τοῦ ἀνδρὸς τὸ πάθος, ὑπεμνήσθησαν τῶν ἔργων αὐτοῦ καὶ ἀφῆκαν τὸν Αἰσχύλον.

XVIII. Περὶ φιλοσόφων στρατηγῶν καὶ πολιτευσαμένων.

Τί δέ; οὐκ ἦσαν καὶ οἱ φιλόσοφοι τὰ πολέμια ἀγαθοί; ἐμοὶ μὲν δοκοῦσιν· εἴγε Ἀρχύταν μὲν εἵλοντο ἑξάκις στρατηγὸν Ταραντῖνοι, Μέλισσος δὲ ἐναυάρχησε, Σωκράτης δὲ ἐστρατεύσατο τρίς, Πλάτων δὲ καὶ αὐτὸς εἰς Τανάγραν καὶ εἰς Κόρινθον. τὴν δὲ Ξενοφῶντος στρατείαν καὶ στρατηγίαν πολλοὶ μὲν καὶ ἄλλοι ᾄδουσι καὶ αὐτὸς δὲ ὁμολογεῖ ἐν τοῖς περὶ Κύρου λόγοις. Δίων δὲ ὁ Ἱππαρίνου

B. p. 421. s. v. *ἐπί*. — *καὶ τῶν Κ. κάτω*, et *postea* sub Codridis. vid. ad c. XI de v. *κάτω*.

ἐπειράθησαν c. Genit. i. q. *πεῖραν ἔλαβον*.

εἶτα ὕστερον späterhin dann. sic etiam Latini *deinceps inde* Cic. Brut. §. 312. *deinde reliquis diebus* Caes. B. G. 5, 40. *tum deinde* Liv. hist. 2, 8. sed abundantiam vel luxuriem inesse in iunctura harum particularum *simile* quid, non *idem* valentium, cave quiquam credas. — *καθ' ἕκαστον ἔτος quotannis, singulis annis.* saepius *κατ' ἐνιαυτόν*, quod ab isto nihil differt. — *τελευταῖον* Adiect. neutr. gen. pro Adv. M. §. 446. 7.

ἀλλὰ ἔγωγε ctt. haec adversantur praecedenti sententiae eamque adprobandam esse negant. quod quum aliis locis accidit, tum particula conditionali praegressa in protasi, quam in apodosi excipiunt *ἀλλά, ἀλλ' οὖν, ἀλλά γε* Subiecto mutato. verte igitur: *si laudanda ista videntur, at ego quidem nescio certe.* cf. supra c. XI extr. M. §. 613. p. 1238 sq.

XVII. (L. V, 19.) *κριθείς. κρίνειν*, ut reliqua verba accusandi, c. Genit.

ἐπί τινι δράματι. de qua fabula dicatur, inter se certant viri docti. optime videntur rem suam egisse, qui poetam divulgatorum mysteriorum in aliquo dramate reum factum esse referunt.

ἔρημον τῆς χ. de Genit. B. §. 132. 2. p. 370.

ἔτυχε c. Participio. B. §. 144. not. 8. mox idem verbum cum Genit. *alicuius rei participem fieri, adsequi.*

τὸ πάθος. de qualibet sorte acerba doloremque efficiente, h. l. de mutilo Aminiae corpore.

XVIII. (L. VII, 14.) *τί δέ; quid? s. quid vero?* est enim adversantis cum admiratione quadam, maxime ut h. l. sequente interrogatione. cf. Matth. §. 488. 9. — *τὰ πολέμια* Accus. de quo B. §. 131. 6.

Ἀρχύταν. c. XI. — *Μέλισσος*, dux Samiorum, Atheniensium in pugna navali victor, postea a Pericle victus est. — *καὶ αὐτός.* supra ad c. II.

στρατείαν κ. στρατηγ. i. e. *munus militis gregarii et ducis.* sic *στρατιὰ* et *στρατηγοί*, milites gregarii et duces, oppositi Xenoph. Anab. 7, 2, 35. — *πολλοὶ μὲν κ. ἄ.* — *καὶ αὐτὸς δέ, quum multi alii, tum et ipse.*

τὴν Διονυσίου τυραννίδα κατέλυσε. καὶ Ἐπαμεινώνδας βοιωταρχῶν ἐν Λεύκτροις ἐνίκησε Λακεδαιμονίους, καὶ τῶν Ῥωμαίων καὶ τῶν Ἑλλήνων πρῶτος ἐγένετο. πολλὰ δὲ καὶ Ζήνων ὑπὲρ Ἀθηναίων ἐπολιτεύσατο πρὸς Ἀντίγονον. οὐδὲν γὰρ διοίσει, εἴτε τις διὰ γνώμης ὤνησέ τινας εἴτε δι' ὅπλων.

XIX. Περὶ γέροντος Κείου τὴν τρίχα βαψαμένου.

Ἀνὴρ εἰς Λακεδαίμονα ἀφίκετο Κεῖος γέρων ἤδη ὤν, τὰ μὲν ἄλλα ἀλαζών, ᾠδεῖτο δὲ ἐπὶ τῷ γήρᾳ καὶ διὰ ταῦτα τὴν τρίχα πολιὰν οὖσαν ἐπειρᾶτο βαφῇ ἀφανίζειν. παρελθὼν οὖν ἐς τοὺς Λακεδαιμονίους καὶ τοιαύτην ὑποφαίνων τὴν κεφαλὴν ἐκεῖνα εἶπεν, ὑπὲρ ὧν καὶ ἀφίκετο. ἀναστὰς οὖν ὁ Ἀρχίδαμος ὁ τῶν Λακεδαιμονίων βασιλεύς· Τί δ' ἄν, ἔφη, οὗτος ὑγιὲς εἴποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει· καὶ ἐξέωσε τὰ ὑπ' αὐτοῦ λεχθέντα, διαβάλλων τοῦ Κείου τὸν τρόπον ἐξ ὧν ἐωρᾶτο.

XX. Περὶ Ἱππάρχου σοφίας καὶ σπουδῆς περὶ τοὺς πεπαιδευμένους καὶ περὶ τῶν Ὁμηρικῶν ἐπῶν.

Ἵππαρχος ὁ Πεισιστράτου παῖς πρεσβύτατος ὢν τῶν Πεισιστράτου καὶ σοφώτατος ἦν Ἀθηναίων. οὗτος καὶ τὰ Ὁμήρου ἔπη ἐκόμισε πρῶτος εἰς τὰς Ἀθήνας καὶ ἠνάγκασε τοὺς ῥαψῳδοὺς τοῖς Παναθηναίοις αὐτὰ ᾄδειν. καὶ ἐπ' Ἀνακρέοντα δὲ τὸν Τήϊον πεντηκόν-

---

βοιωταρχῶν, *qui erat boeotarches.* erant autem boeotarchae septem numero, qui temporibus Epaminondae et Pelopidae munere magistratus fungebantur et revera personam civitatis Thebanae gerebant. — τῶν Ῥωμαίων ctt. Aelianus hoc dicit: sive Romanos sive Graecos respicias, Epaminondas princeps fuit imperatorum.

οὐδὲν — διοίσει. v. supra ad c. III οὐδὲν διαφέρει. — ὤνησε c. Acc. supra ad c. XI.

XIX. (L. VII, 20.) τὰ μὲν ἄλλα ἀλ. reliquis (quod ad reliqua attinet) vanus ostentator. de Accus. v. ad c. XVIII init. — ᾠδεῖτο. αἰδεῖσθαι vulgo cum Acc. et rei et pers. M. §. 414. 12. ceterum exspectaveris h. l. αἰδούμενος.

ὑπὲρ ὧν καί. copula post relativa illata saepius vim intendendi habet, idem significans quod nos dicimus *eben, grade.* — ἐξέωσε v. ad c. XI.

ἐξ ὧν ἐωρ. *ex quo conspiciebatur.* ἐξ οὗ sane frequentius in tali dictione, tamen similia atque audaciora apud scriptores melioris notae nonnunquam deprehendimus. ἀφ' οὗ ἡ ἐν Λεβαδείᾳ συμφορὰ ἐγένετο καὶ ἡ ἐπὶ Δηλίῳ, ἐκ τούτων τεταπείνωται ἡ τῶν Ἀθηναίων δόξα. Xenoph. Comment. 3, 5, 4.

XX. (L. VIII, 2.) πρεσβύτατος ὤν, immo vero minor fuit natu Hipparchus, ut Thucydides auctor est L. I, 20. VI, 54. οὐχ Ἵππαρχος, ὥσπερ οἱ πολλοί οἴονται, ἀλλ' Ἱππίας πρεσβύτατος ὢν εἶχε τὴν ἀρχήν. comp. Herod. V, 55.

οὗτος καὶ τὰ Ὁ. ἔπη ctt. quae vulgo Soloni et Pisistrato patri tribuuntur, Hipparcho filio deferuntur, quam discrepantiam iam minus miraberis ex iis, quae disputat F. Aug. Wolf Proleg. ad Hom. p. 153. — τοῖς Παναθηναίοις i. e. mense Ἑκατομβαιῶνος. nam Παναθήναια et μικρὰ et μεγάλα ineunte anno Attico, et illa quidem triennia, haec quadriennia i. e. quinto quoque anno celebrabantur. Homeri autem carmina Pisistratidae recitanda curaverunt Graecos edocturi, ὅτι τὰ κάλλιστα τῶν ἔργων προῃρούντο. Lycurg. in Leocr. c. 26.

τορον ἔστειλεν, ἵνα αὐτὸν πορεύσῃ ὡς αὐτόν. Σιμωνίδην δὲ τὸν Κεῖον διὰ σπουδῆς ἄγων ἀεὶ περὶ αὐτὸν εἶχε, μεγάλοις δώροις, ὡς τὸ εἰκός, πείθων καὶ μισθοῖς· καὶ γὰρ ὡς ἦν φιλοχρήματος ὁ Σιμωνίδης, οὐδεὶς ἀντιφήσει. ἔργον δὲ ἦν ἄρα τούτῳ τῷ Ἱππάρχῳ ἡ περὶ τοὺς πεπαιδευμένους σπουδή. καὶ ἐβούλετο ὑπὸ προσχήματι τῷ ἑαυτοῦ Ἀθηναίους παιδεύεσθαι καὶ βελτιόνων αὐτῶν ὄντων ἄρχειν ἔσπευδεν· οὐκ ᾤετο γὰρ δεῖν οὐδενὶ φθονεῖν σοφίας ἅτε ὢν καλὸς καὶ ἀγαθός. λέγει δὲ Πλάτων ταῦτα, εἰ δὴ ὁ Ἵππαρχος Πλάτωνός ἐστι τῷ ὄντι.

XXI. Περὶ Φιλίππου ἐν νίκῃ ἐγκρατείας καὶ τίνος ἐβούλετο ἀναμιμνήσκεσθαι.

Ἐν Χαιρωνείᾳ τοὺς Ἀθηναίους νίκῃ ἐνίκησε Φίλιππος. Ἐπαρθεὶς δὲ τῇ εὐπραγίᾳ ὅμως λογισμῷ ἐκράτησε καὶ οὐχ ὕβρισε· καὶ διὰ ταῦτα ᾤετο δεῖν αὐτὸν ὑπομιμνήσκεσθαι ὑπό τινος τῶν παίδων ἔωθεν, ὅτι ἄνθρωπός ἐστιν, καὶ προσέταξε τῷ παιδὶ τοῦτο ἔχειν ἔργον. καὶ οὐ πρότερόν φασιν οὔτε αὐτὸς προῆει, οὔτε τις τῶν δεομένων αὐτοῦ παρ' αὐτὸν εἰσῄει, πρὶν τοῦτο αὐτῷ τὸν παῖδα ἑκάστης ἡμέρας ἐκβοῆσαι τρίς· ἔλεγε δὲ αὐτῷ· Φίλιππε, ἄνθρωπος εἶ.

XXII. Περὶ Σόλωνος καὶ Πεισιστράτου.

Σόλων ὁ Ἐξηκεστίδου γέρων ἤδη ὢν ὑπώπτευε Πεισίστρατον τυραννίδι ἐπιθήσεσθαι, ἡνίκα παρῆλθεν εἰς τὴν ἐκκλησίαν τῶν Ἀθηναίων καὶ ἤτει φρουρὰν ὁ Πεισίστρατος. ὁρῶν δὲ τοὺς Ἀθηναίους τῶν μὲν αὐτοῦ λόγων ῥᾳθύμως ἀκούοντας, προσέχοντας δὲ τῷ Πεισιστράτῳ, ἔφη, ὅτι τῶν μέν ἐστι σοφώτερος, τῶν δὲ ἀνδρειότερος. ὁπόσοι μὲν μὴ γινώσκουσιν, ὅτι φυλακὴν λαβὼν περὶ τὸ σῶμα τύ-

---

πορεύσῃ transitive, eo sensu quo supra c. X. καλεῖν, μεταπέμπεσθαι. — ὡς αὐτόν. ὡς praepos. i. q. πρός, hominibus tantum et rebus animatis adiungi solet. B. §. 146. 2.

διὰ σπουδῆς ἄγ. *magni aestimans.* M. §. 580. b. g. — ὡς τὸ εἰκὸς vel etiam articulo omisso: *ut verisimile* s. *ut rationi consentaneum est.*

ἔ. δὲ — ἄρα. supra ad c. XVI init. — ὑπὸ προσχήματι τ. ἑαυτοῦ *exemplo suo.*

ἅτε cum Participio *utpote*, *quippe*, de re vera atque ex praecedentibus fere concludenda vel exspectanda.

XXI. (L. VIII, 15.) ἐπαρθεὶς δὲ τῇ εὐπρ. *elatus rebus bene gestis.* — ὅμως post Participium, ut alias initio periodi, orationem restringit. respondet Lat. *tamen.* M. §. 566. 3.

τοῦτο ἔχ. ἔργον. quid esset τοῦτο ἔχ. τὸ ἔργον? id quod ex vulgari canone grammatico liceret exspectare? vid. B. §. 127. not. 7. comp. supra ad Stob. c. I extr.

προῆει v. ad c. XIV. — αὐτοῦ Genit. pendet a v. δεῖσθαι. οἱ δεόμενοι *qui aliquid cupiunt*, h. l. de iis cogitandum videtur, qui adeundi et conveniendi regis veniam (Audienz.) precantur. — πρὶν c. Acc. et Inf. B. p. 440. s. v. πρίν. — ἑκάστης ἡμ. B. 132. not. 3. b.

XXII. (L. VIII, 16.) ἐπιθήσεσθαι *hostiliter adgressurum esse.*

ὁρῶν cum Participio M. §. 548. 1. — τῶν λόγων — ἀκούοντας. vid. B. §. 132. 3. not. Viger. p. 224. — προσέχοντας i. e. *se addicere alicui, partes alicuius sequi*, plenius esset Pronomine reflexivo addito, quo tamen et istud verbum et alia quaedam (B. §. 130. not. 2.) solent privari.

ραννος ἔσται, ἀλλὰ τούτων μέν ἐστι σοφώτερος· ὁπόσοι δὲ γινώσκοντες ὑποσιωπῶσι, τούτων ἀνδρειότερός ἐστιν. ὁ δὲ λαβὼν τὴν δύναμιν τύραννος ἦν. καθεζόμενος δὲ Σόλων πρὸ τῆς οἰκίας τὴν ἀσπίδα καὶ τὸ δόρυ παραθέμενος ἔλεγεν, ὅτι ἐξώπλισται καὶ βοηθεῖ τῇ πατρίδι ᾗ δύναται, στρατηγὸς μὲν διὰ τὴν ἡλικίαν οὐκ ἔτι ὤν, εὔνους δὲ διὰ τὴν γνώμην. ὅμως οὖν Πεισίστρατος εἴτε αἰδοῖ τῇ πρὸς τὸν ἄνδρα καὶ τὴν σοφίαν αὐτοῦ, εἴτε καὶ μνήμῃ τῶν ἐφ' ἡλικίας, λέγεται γὰρ αὐτῷ παιδικὰ γενέσθαι, οὐδέν γε ἔδρασε κακὸν Σόλωνα. ὁ δ' οὖν Σόλων ὀλίγον ὕστερον ὑπέργηρως ὢν τὸν βίον ἐτελεύτησεν, ἐπὶ σοφίᾳ καὶ ἀνδρείᾳ μεγάλην ἀπολιπὼν δόξαν. καὶ ἀνέστησαν αὐτῷ χαλκῆν εἰκόνα ἐν τῇ ἀγορᾷ· ἀλλὰ καὶ ἔθαψαν αὐτὸν δημοσίᾳ παρὰ τὰς πύλας πρὸς τῷ τείχει ἐν δεξιᾷ εἰσιόντων καὶ περιῳκοδόμητο αὐτῷ ὁ τάφος.

XXIII. Περὶ Θεμιστοκλέους.

Θεμιστοκλῆς ὁ Νεοκλέους ἑαυτὸν εἴκαζε ταῖς δρυσὶ λέγων, ὅτι ἐκείνας ὑπέρχονται οἱ ἄνθρωποι καὶ δέονται αὐτῶν ὅταν ὕῃ, στέγην ἐκ τῶν κλάδων ποθοῦντες· ὅταν δὲ οὔσης εὐδίας παῤῥωσι, τίλλουσιν αὐτὰς καὶ περικλῶσιν. ὁ δὲ αὐτὸς ἔλεγεν, εἴ μοί τις ὁδοὺς δύο δείξειε, τὴν μὲν εἰς ᾅδου φέρουσαν, τὴν δὲ ἐπὶ τὸ βῆμα, ἥδιον ἂν τὴν ἑτέραν ἦλθον τὴν εὐθὺ τοῦ ᾅδου.

XXIV. Περὶ Παυσανίου καὶ Σιμωνίδου.

Ἓν τινί φασι συνδείπνῳ παρῆν Σιμωνίδης ὁ Κεῖος καὶ Παυσανίας ὁ Λακεδαιμόνιος. προσέταξεν οὖν ὁ Παυσανίας τῷ Σιμωνίδῃ σοφόν τι εἰπεῖν· ὁ δὲ γελάσας ὁ Κεῖος· Μέμνησο, εἶπεν, ἄνθρωπος ὤν. τοῦτο παραχρῆμα μὲν ἐξεφαύλισε Παυσανίας καὶ παρ' οὐδὲν ἔθετο ὑποτυφόμενος ἤδη εἰς τὸν τοῦ μηδίζειν ἔρωτα καὶ μεγαλοφρο-

---

ἀλλὰ τούτων μέν ἐ. *certe illis quidem sapientior est.* comp. ad c. XI extr. ad c. XVI extr.

ἐξώπλισται. h. l. non eo sensu, quo genuinis Atticis dici solet, *arma induere*, sed ut totus sententiarum nexus postulare videtur *armaturam exuere.* — ᾗ δύναται *quatenus possit.* M. §. 480. c. sic ἄλλῃ et ταύτῃ adverbii vice funguntur, etsi ὁδῷ, χώρᾳ, μερίδι, similia supplere satis proclive. — διὰ τὴν ἡλικίαν. etsi aetas militaris e lege Attica inde ab initio pubertatis in annum sexagesimum perdurabat, nunc tamen extrema senectute Solon loquens cogitatur ac paene centenarius. auctor enim illos sequitur, qui Athenis eum sub Pisistrati tyrannide mortuum tradunt.

τῶν ἐφ' ἡλικίας. in his formulis ea praepositio ponitur, quam ratio et natura verbi omissi et mente integritati orationis addendi poni iubet. vid. M. §. 596. a. — παιδικά, *deliciae.* utraque vox ad homines transfertur, quos casto amore amplectimur. — ἔδρασε c. Acc. rei et pers., ut πράττειν, ποιεῖν et alia verba efficiendi, *afficere aliquem aliqua re.* B. §. 131. 5.

ὑπέργηρως, cur autem ἀγήρως, παντογήρως accentu transposito?

XXIII. (L. IX, 18.) εἴκαζε. de Augm. B. §. 84. not. 2. — ὅταν ὕῃ *si quando pluat.* vid. B. §. 129. 9. M. §. 295. 1. — ἐκ τῶν κλ. ποθοῦντες. vid. M. §. 596. c. — εἰς ᾅδου. B. §. 132. not. 9. comp. ad Aelian. c. XXII. — τὴν ἑτέραν ἦλθον ctt. *alteram viam ingredi mallem rectam ad Orcum.* de Accus. v. M. §. 409. 4.

XXIV. (L. IX, 41.) μέμνησο — ὤν. B. §. 144. 4. a.

παρ' οὐδὲν ἔθετο *nihili fecit.* παρὰ ita cum Acc. verbo τίθεσθαι ex-

νῶν ἐπὶ τῇ πρὸς βασιλέα ξενίᾳ, ἴσως δὲ καὶ ὑπὸ τοῦ οἴνου παραφερόμενος. ἐπεὶ δὲ ἦν πρὸς τῇ Χαλκιοίκῳ καὶ διεπάλαιε τῷ λιμῷ καὶ ἔμελλεν ἀποθνήσκειν ἀνθρώπων ἀλγεινότατα, ἀλλὰ τηνικαῦτα ἐμνήσθη τοῦ Σιμωνίδου καὶ ἐξεβόησεν εἰς τρίς· Ὦ ξένε Κεῖε, μέγα τι ἄρα χρῆμα ἦν ὁ λόγος σου, ἐγὼ δὲ ὑπ' ἀνοίας οὐδὲν αὐτὸν ᾤμην εἶναι.

XXV. Περὶ Λακεδαιμονίων γυναικῶν.

Αἱ Λακεδαιμονίων μητέρες, ὅσαι ἐπυνθάνοντο τοὺς παῖδας αὐτῶν ἐν τῇ μάχῃ κεῖσθαι, ἀλλ' αὐταί γε ἀφικόμεναι τὰ τραύματα αὐτῶν ἐπεσκόπουν, τά τε ἔμπροσθεν καὶ τὰ ὄπισθεν. καὶ εἰ ἦν πλείω τὰ ἐναντία, αἵδε γαυρούμεναι καὶ σεμνὸν ἅμα καὶ βλοσυρὸν ὁρῶσαι τοὺς παῖδας εἰς τὰς πατρῴας ἔφερον ταφάς· εἰ δὲ ἑτέρως εἶχον τῶν τραυμάτων, ἐνταῦθα αἰδούμεναι καὶ θρηνοῦσαι καὶ ὡς ἔνι μάλιστα λαθεῖν σπεύδουσαι ἀπηλλάττοντο, καταλιποῦσαι τοὺς νεκροὺς ἐν τῷ πολυανδρίῳ θάψαι, ἢ λάθρα εἰς τὰ οἰκεῖα ἠρία ἐκόμιζον αὐτούς.

XXVI. Περὶ τῶν ἐν λιθοτομίαις τῆς Σικελίας πολὺν χρόνον διατριψάντων.

Αἱ ἐν Σικελίᾳ λιθοτομίαι περὶ τὰς Ἐπιπολὰς ἦσαν, σταδίου μῆκος, τὸ εὖρος δύο πλέθρων. ἦσαν δὲ ἐν αὐταῖς τοῦ χρόνου τοσοῦ-

---

istimare iunctum comparandi significationem accipit, ut proprie sit: *aliquid iuxta ac si nihil esset ponere; tantum non nihil.* sic παρὰ πολύ, π. μικρόν, π. ὀλίγον. — ὑποτυφόμενος, respondet Lat. *subustus, succensus;* entbrannt *in die* Liebe ctt. — πρὸς βασιλέα. ne Articulum desideres, vid. B. §. 124. not. 3.

τῇ Χαλκιοίκῳ. cognomen Minervae apud Lacedaemonios a templo aereo ei inditum, unde et aedes et ipsa dea adpellatur ἡ Χαλκίοικος. ceterum comp. Corn. Nep. vit. Pausan. c. 5. — ἀλγεινότατα ἀνθρώπων i. e. *cruciatibus omnium acerbissimis.* sic Plat. Euthyphr. p. 13. e. τὰ θεῖα κάλλιστα φῂς εἰδέναι ἀνθρώπων, *divina te scire dicis pulcherrime omnium.* hoc sensu accipi solet ἄνθρωπος *articulo omisso*, ubi de genere in universum sermo est. comp. ὁ ἀνὴρ et ἀνήρ. — ἀλλὰ ut supra c. XXII. — εἰς τρίς. Herm. ad Vig. p. 857 ita explicat: „non item est ac τρίς, sed significat proprie *usque ad eum numerum* i. e. non minus quam ter.“ comp. infra Herod. c. 11 med. — ᾤμην vid. B. p. 295. s. v. οἴομαι.

XXV. (L. XII, 21.) κεῖσθαι, filios *insepultos iacere*, quo sensu verbum iam apud Homerum deprehendi, docet Lexic. Pass. comp. Krüg. ad Xenoph. Anab. I, 8, 28. — ἐπεσκόπουν. vid. ad c. IX. — τὰ ἐναντία, *vulnera adverso corpore excepta.* — σεμνὸν — ὁρῶσαι. ὁρᾶν et βλέπειν cum Acc. Adiectivi neutr. generis saepius et maxime quidem apud poetas exprimit naturam, quam quis vultu suo prae se fert. similiter Ἄρην βλέπειν *Martem spirare*, nos: nach Krieg aussehen; denique cum Part. βλ. πεφρονωτικός. cf. M. §. 409. 2. — ἑτέρως εἶχ. τῶν τρ. de Genit. v. M. §. 337. 1. ἔχειν c. Adverb. fere idem valet quod διακεῖσθαι cum Adv. — ὡς ἔνι (ἔνεστι) μ. *quantum fieri potest maxime.* — ἐκόμιζον, vox de mortuis curandis et in monumenta sepulcralia (ἠρία) portandis propria, quod alias dicunt ἐκφέρειν *efferre.*

XXVI. (L. XII, 44.) Ἐπιπολάς. quinta pars Syracusarum, in septentrionem conversa, praerupta, invia ab exteriore latere adeunti. in his igitur Epipolis fuerunt λιθοτομίαι (proprie *lapicidinae*), de quibus Cicero Verr. V, 27. „totum (opus) est e saxo in mirandam altitudinem depresso et multorum operis penitus exciso. nihil tam clausum ad exitum, nihil tam septum undique, nihil tam tutum ad custodiam nec fieri neq cogitari potest.“ — ἦσαν

τον διατρίψαντες ἄνθρωποι, ὡς καὶ γεγαμηκέναι ἐκεῖ καὶ παιδοποιῆσαι. καί τινες τῶν παίδων ἐκείνων μηδεπώποτε πόλιν ἰδόντες, ὅτε εἰς Συρακούσας ἦλθον καὶ εἶδον ἵππους ὑπεζευγμένους καὶ βόας ἐλαυνομένους, ἔφευγον βοῶντες· οὕτως ἄρα ἐξεπλάγησαν. τὸ δὲ κάλλιστον τῶν ἐκεῖ σπηλαίων ἐπώνυμον ἦν Φιλοξένου τοῦ ποιητοῦ, ἐν ᾧ φασὶ διατρίβων τὸν Κύκλωπα εἰργάσατο τῶν ἑαυτοῦ μελῶν τὸ κάλλιστον, παρ' οὐδὲν θέμενος τὴν ἐκ Διονυσίου τιμωρίαν καὶ καταδίκην, ἀλλ' ἐν αὐτῇ τῇ συμφορᾷ μουσουργῶν ὁ Φιλόξενος.

XXVII. Περὶ Γέλωνος καὶ τῶν αὐτῷ ἐπιβουλευόντων.

Γέλων ὁ τῶν Συρακουσίων τύραννος τὴν τῆς ἀρχῆς κατάστασιν πραότατα εἶχε. στασιώδεις δέ τινες ἐπεβούλευον αὐτῷ· ἃ πυθόμενος ὁ Γέλων εἰς ἐκκλησίαν συγκαλέσας τοὺς Συρακουσίους εἰσῆλθεν ὡπλισμένος ὁ Γέλων, καὶ διεξελθὼν ὅσα ἀγαθὰ αὐτοῖς εἰργάσατο καὶ τὴν ἐπιβουλὴν ἐξεκάλυψε καὶ ἀπεδύσατο τὴν πανοπλίαν, εἰπὼν πρὸς πάντας· Ἰδοὺ τοίνυν ὑμῖν ἐν χιτωνίσκῳ γυμνὸς τῶν ὅπλων παρέστηκα καὶ δίδωμι χρῆσθαι ὅ τι βούλεσθε. καὶ ἐθαύμασαν αὐτοῦ τὴν γνώμην οἱ Συρακούσιοι· οἱ δὲ καὶ τοὺς ἐπιβουλεύοντας παρέδοσαν αὐτῷ κολάσαι καὶ τὴν ἀρχὴν ἔδωκαν. ὁ δὲ καὶ τούτους εἴασε τῷ δήμῳ τιμωρήσασθαι. καὶ εἰκόνα αὐτοῦ οἱ Συρακούσιοι ἔστησαν ἐν ἀζώστῳ χιτῶνι, καὶ ἦν τοῦτο τῆς δημαγωγίας αὐτοῦ ὑπόμνημα καὶ τοῖς εἰς τὸν μετὰ ταῦτα αἰῶνα μέλλουσιν ἄρχειν δίδαγμα.

XXVIII. Περὶ Ἀλκιβιάδου.

Ἰσχυρῶς Ὅμηρον ἐθαύμαζεν Ἀλκιβιάδης· καί ποτε διδασκαλείῳ παίδων προσελθὼν ῥαψῳδίαν Ἰλιάδος ᾔτει. τοῦ δὲ διδασκάλου μη-

c. Part. Aor. Articulo non addito notionem aliquam acquiescendi vel perseverandi habere videtur. — ὡς c. Inf. i. q. ὥστε. vid. ad Aesop. f. II extr.

ἰδόντες — εἶδον. B. v. anom. v. ὁράω. ἦλθον s. v. ἔρχομαι. — β. ἐλαυνομένους, de boum armentis in pabulum vel aliorsum propulsis.

Φιλοξένου. infra Diod. IV. — Κύκλ. εἰργάσατο, *elaboravit Cyclopem*, ut alias ποιεῖν de carminibus pangendis. sic infra μουσουργῶν i. q. μουσοποιῶν. illam materiem poeta sibi sumpsit, ut oblique vulneraret Dionysium tyrannum, amore Galateae meretricis captum. quibus potissimum aculeis usus bilem effuderit, coniicias licet ex Arist. Plut. 290 sq. eiusque Schol. — παρ' οὐδὲν θέμενος. v. supra ad Ael. c. XXIV init. — ἐκ Διον. originem indicans, quam quid ex aliquo trahit. comp. ἀπό, ὑπό.

XXVII. (L. XIII, 37.) εἶχεν c. Adv. *se habebat*. idem igitur, quod εἶναι c. Adiect. supra ad c. XXV.

διεξελθών, *enarrans*, *oratione persequens*, ubi λόγῳ vel simile quid supplere non opus est. — ἰδού. supra ad Stob. c. II extr. — γυμνὸς τ. ὅπλ. ubi Genitivus abesse poterat. γυμνὸς enim, ut Lat. *nudus* etiam de eo dicunt, qui sola tunica vestitus atque inermis est. ex quo recte colliges, eandem voculam id quoque continere in se, quod additum est ἐν χιτωνίσκῳ. — δίδωμι cum Inf. *concedo*, *lege permitto*. comp. *dare* c. Acc. rei et Dat. pers., vel simpliciter positum, ut Livius: „*datum est*, ut milites per urbem vagarentur." nec secus quae infra habetis παρέδοσαν et εἴασε c. Inf.

ἔστησαν, *ponebant*, de monumentis exstruendis et consecrandis. comp. B. §. 107. II, 1. — τοῦτο — ὑπόμνημα. vid. ad Ael. c. XXI. — εἰς τὸν — αἰῶνα, für das Menschenalter darauf; für die Zukunft.

XXVIII. (L. XIII, 38.) ῥαψῳδίαν Ἰλ. rhapsodiam Iliadis, i. e. partem aliquam sive librum Il. vid. infra Lucian. IV, 3. iure autem ab Alcibiade carmina illa posci poterant, quod ab Homero et lectitando et ediscendo puerorum institutio incipiebat. quapropter qui Homerum suum non satis nosce-

δὲν ἔχειν Ὁμήρου φήσαντος, ἐντρίψας αὐτῷ κόνδυλον εὖ μάλα ὀστεροῦν παρῆλθεν, ἐνδειξάμενος ὅτι ἐκεῖνος ἀπαίδευτός ἐστι καὶ τοιούτους ἀποφαίνει τοὺς παῖδας.

Οὗτος ἐπὶ κρίσιν καλούμενος θανατικὴν ἐκ Σικελίας ὑπὸ τῶν Ἀθηναίων οὐχ ὑπήκουσεν εἰπών· Εὔηθες τὸν ἔχοντα δίκην ζητεῖν ἀποφυγεῖν ἐνὸν φυγεῖν. εἰπόντος δέ τινος· Οὐ πιστεύεις τῇ πατρίδι τὴν περὶ σοῦ κρίσιν; ὁ δὲ εἶπεν· Οὐδὲ τῇ μητρίδι· δέδοικα γὰρ μὴ ἀγνοήσασα καὶ σφαλεῖσα τοῦ ἀληθοῦς εἶτα τὴν μέλαιναν ἐμβάλῃ ἀντὶ τῆς λευκῆς ψῆφον. πυθόμενος οὖν ὅτι θάνατος αὐτοῦ κατεγνώσθη ὑπὸ τῶν πολιτῶν· Δείξομεν οὖν, εἶπεν, ὅτι ζῶμεν· καὶ ὁρμήσας πρὸς τοὺς Λακεδαιμονίους τὸν Δεκελεικὸν ἐξῆψε πόλεμον ἐπὶ τοὺς Ἀθηναίους.

Ἔλεγε δὲ μηδὲν παράδοξον ποιεῖν Λακεδαιμονίους ἀδεῶς ἐν τῷ πολέμῳ ἀποθνήσκοντας· τὴν γὰρ ἐκ τῶν νόμων ταλαιπωρίαν ἀποδιδράσκοντας θάνατον ὑπὲρ τῶν πόνων ὧν ἔχουσι προθύμως ἀλλάττεσθαι.

Εἰώθει δέ φασιν ἐπιλέγειν ταῖς ἑαυτοῦ πράξεσιν, ὅτι τὸν τῶν Διοσκούρων ζῇ βίον παρ' ἡμέραν τεθνηκώς τε καὶ ἀναβιούς· εὐημερήσας γὰρ ἐν τῷ δήμῳ ἴσος θεοῖς νομίζεσθαι, κακῶς δὲ ἀπαλλάξας τῶν νεκρῶν μηδὲ ὀλίγον διαφέρειν.

XXIX. Τίσιν ἐχρῶντο οἱ Ἀθηναῖοι πρὸς τὰς ἀρχάς.

Οὐ μόνοις τοῖς ἀστοῖς ἐχρῶντο Ἀθηναῖοι πρὸς τὰς ἀρχὰς καὶ τὰς στρατηγίας ἐπιτηδείοις, ἀλλὰ γὰρ καὶ ξένους προηροῦντο καὶ

---

rent, in proverbium abibant: οὐδὲ τὴν Ἀχιλλέως μῆνιν ἴσασι. — μηδὲν ἔχ. Ὁ. *nihil se Homeri habere*, quoniam Alcibiades *partem* totius operis poposcerat. — ἐντρίψας αὐτ. κόνδυλον ctt. *impingens ei colaphum admodum durum.*

ἐπὶ κρίσιν — θανατικήν, *in iudicium capitale* s. *causam publicam vocatus.* de quo iudicio lege Plut. Alcib. c. 21. Corn. Nep. c. 3. 4. — ἀποφυγεῖν, h. l. *fugere iudicium* i. e. absolvi. — ἐνόν, Nom. absol. quae structurae mutatio verbis impers. fere solita. vid. B. §. 145. not. 7, 2. Bernhardy w. Synt. p. 470—71. — δέδοικα μὴ — ἐμβάλῃ, *vereor ne immittat* s. *immittere possit.* B. §. 148. 4. M. §. 520. — σφαλεῖσα. σφάλλεσθαι c. Genit. sensu metaphorico, nihil aliud est quam ψεύδεσθαι sive ἁμαρτάνειν τινός, *falli, decipi.* — εἶτα. v. ad Aelian. c. I. — ψῆφον, *calculum,* quo suffragium ferebatur. atque *niger* quidem calculus damnabat, *albus* absolvebat. — ἐξῆψε πόλ. *incendit* (commovit) *bellum*, quod decenne fuit et a Decelea, oppido Atticae, nomen accepit.

ἐκ τῶν νόμ. vid. supra ad c. XXVI extr. — ἀποδιδράσκοντας. B. §. 131. not. 1. M. §. 412. 9. — ὧν ἔχουσι. Attractio, de qua v. B. §. 151. I, 2. simile quid, ut ex ratione nostrae linguae rem explanem, quamquam durius ausus est Schlegel in vers. Schaksp. Richard II. act. 2. sc. 3. eh' ich *auf was ihr sagt* erwiedern kann.

εἰώθει (ἔθω.) ἐπιλέγειν ctt. i. q. λέγ. ἐπὶ ταῖς πράξ. *solebat de rebus a se ipso gestis dicere.* quae significatio a Lexicographis, quod sciam, non observata est. — παρ' ἡμέραν, *alternis diebus.* — ἴσος (ἴσος) θ. νομίζ. Nom. c. Inf., quo utuntur Graeci, quum Subiectum verbi finiti (εἰώθει λέγειν.) nihil mutatur. B. §. 142. 1. p. 403. M. §. 536. — κακῶς δὲ ἀπαλλ. *minus prospere vero rebus suis defunctus.*

XXIX. (L. XIV, 5.) ἀλλὰ γὰρ καὶ ξ. nicht Bürger allein — *sondern ja auch* Fremde. sic legimus c. XI. οὐ τοὺς πείσοντας, ἀλλὰ γὰρ τοὺς βιασαμένους ἡμᾶς δρᾶσαι — ἔπεμψαν. — προηροῦντο, Med. v. προαιρέω,

τὰ κοινὰ αὐτοῖς ἐνεχείριζον, εἴπερ οὖν αὐτοὺς ἀγαθοὺς ὄντας κατέγνωσαν καὶ ἐπιτηδείους εἰς τὰ τοιαῦτα. Ἀπολλόδωρον τὸν Κυζικηνὸν πολλάκις στρατηγὸν εἵλοντο ξένον ὄντα καὶ Ἡρακλείδην τὸν Κλαζομένιον· ἐνδειξάμενοι γὰρ ὅτι ἄξιοι λόγου εἰσίν, εἶτα οὐκ ἔδοξαν ἀνάξιοι τοῦ Ἀθηναίων ἄρχειν εἶναι. καὶ ὑπὲρ μὲν τούτων ἐπαινεῖν χρὴ τὴν πόλιν μὴ καταχαριζομένην τἀληθὲς τοῖς πολίταις, ἀλλὰ νέμουσαν καὶ τοῖς γένει μὲν μὴ προσήκουσι, δι' ἀρετὴν δὲ ἀξίοις τιμᾶσθαι.

XXX. Νόμος Λακωνικὸς περὶ τῆς τῶν σωμάτων χρόας καὶ εὐφυΐας καὶ τῶν ὑπερσαρκούντων.

Λακεδαιμόνιος οὗτος ὁ νόμος. ὁ δὲ νόμος ἐκεῖνα λέγει· Μηδένα Λακεδαιμονίων ἀνανδρότερον ὁρᾶσθαι τὴν χρόαν, ἢ τὸν ὄγκον τοῦ σώματος ἔχειν ὑπὲρ τὰ γυμνάσια· ἐδόκει γὰρ τὸ μὲν ἀργίαν ὁμολογεῖν, τὸ δὲ οὐχ ὁμολογεῖν ἄνδρα. προσεγέγραπτο δὲ τῷ νόμῳ καὶ διὰ δέκα ἡμερῶν πάντως τοῖς Ἐφόροις τοὺς ἐφήβους παρίστασθαι γυμνοὺς δημοσίᾳ. καὶ εἰ μὲν ἦσαν εὐπαγεῖς καὶ ἐρρωμένοι καὶ ἐκ τῶν γυμνασίων οἱονεὶ διαγλυφέντες καὶ διατορευθέντες, ἐπηνοῦντο· εἰ δέ τι χαῦνον ἦν αὐτοῖς τῶν μελῶν ἢ ὑγρότερον, ὑποιδούσης καὶ ὑπαναφυομένης διὰ τὴν ῥαθυμίαν πιμελῆς, ἀλλ' ἐνταῦθα μὲν ἐπαίοντο καὶ ἐδικαιοῦντο. ἐτίθεντο δὲ καὶ φροντίδα οἱ Ἔφοροι καθ' ἑκάστην πολυπραγμονεῖν τὰ περὶ τὴν στολήν, εἰ ἕκαστα αὐτῆς μὴ ἀπολείπεται τοῦ κόσμου τοῦ δέοντος. ἔδει δὲ ὀψοποιοὺς ἐν Λακεδαίμονι εἶναι κρέως μόνον· ὁ δὲ παρὰ τοῦτο ἐπιστάμενος ἐξηλαύνετο τῆς Σπάρτης ὡς τὰ τῶν νοσούντων καθάρσια. οἱ αὐτοὶ Ναυκλείδην τὸν Πολυβιάδου ὑπερσαρκοῦντα τῷ σώματι καὶ ὑπέρπαχυν διὰ τρυφὴν γενόμενον ἐς τὴν ἐκκλησίαν τῶν θεωμένων κατήγαγον καὶ ἠπείλησαν

---

prae ceteris eligebant, *praeferebant*. — τὰ κοινά, i. q. Lat. *res publicae*. — εἴπερ οὖν, idem videtur esse quod alias et usitatius quidem εἴπερ γε, *si quidem certe*.

στρατηγὸν εἵλ. (αἱρεῖσθαι.) *imperatorem* (*sibi*) *creabant*; quae quamquam ad Ἡρακλείδην quoque pertinent, στρατηγοὺς vetat totius periodi ordo scribi. — εἶτα, v. ad Ael. I. — μὴ καταχαριζομένην ctt. *quae* (urbs) *in gratiam civium nihil veritatis remittit*.

XXX. (L. XIV, 7.) περὶ τῆς — χρ. καὶ εὐφυΐας, Articulo non repetito, quod iis fere locis fit, ubi vel duo vel plura nomina una notione comprehenduntur. ad ὑπερσαρκούντων vero quippe novum aliquid ac per se cogitandum additur Articulus. χρόα (χροιά.) h. l. *color* vel *cutis* corporis humani, quae sole non exusta et mollitie effeminata crimini vertebatur Spartiatis.

ἀνανδρότερον, Comparativo ita absolute posito nihil frequentius. Grammatici solent ἢ δίκαιον, ἢ χρεών ἐστι ctt. supplere. vid. M. §. 457. — τὴν χρόαν. de hoc Acc. vid. B. §. 131. 6. — ἔχειν ὑπὲρ τὰ γ. obesitatem corporis *habere ultra gymnasia* s. *ultra modum gymnasiorum*. sic Tacitus: uxor Vitellii *ultra* feminam ferox, i. e. ferocior quam feminae decorum. — ἐρρωμένοι. B. v. anom. s. v. ῥώννυμι. — ἐκ τῶν γυμν. ad c. XXVI extr. — οἱονεὶ διαγλ. κ. διατ. *quasi sculpti et tornati*. Metaphora ex officina statuariorum deprompta. — ἐτίθεντο δὲ καὶ φρ. ctt. *ponebant vero etiam eo curam*, *ut diligenter inquirerent* (πολυπραγμονεῖν) *quae ad vestitum pertinebant*. — εἰ ἕκαστα αὐτ. μ. ἀπολ. τοῦ κ. *utrum* (εἰ. B. §. 139. 6.) *singula quaeque a decore et quidem legitimo non recedant*. ἀπολείπεσθαι τοῦ κ. proprie: *destitui decore*. vid. M. §. 357. — ὀψοποιοὺς — κρέως μόνον, *licuit coquos esse qui solam carnem condirent*, intell. sale et aceto, solis quae lege concessa erant condimentis. — ἐς τὴν ἐκκλησίαν. cum Perizonio recepi pro vulg. ἐκ τῆς ἐκκλησίας.

αὐτῷ φυγῆς προστίμησιν, ἐὰν μὴ τὸν βίον, ὃν ἐβίου πότε, ὑπαίτιον ὄντα καὶ Ἰωνικὸν μᾶλλον ἢ Λακωνικὸν τοῦ λοιποῦ μεθαρμόσηται· φέρειν γὰρ αὐτοῦ τὸ εἶδος καὶ τὴν τοῦ σώματος διάθεσιν αἰσχύνην καὶ τῇ Λακεδαίμονι καὶ τοῖς νόμοις.

XXXI. Διὰ τί ὁ Φίλιππος τοὺς τῶν δοκιμωτάτων υἱοὺς περὶ τὴν ἑαυτοῦ θεραπείαν εἶχεν.

Ὅτι Φίλιππος τῶν ἐν Μακεδονίᾳ δοκιμωτάτων τοὺς υἱεῖς παραλαμβάνων περὶ τὴν ἑαυτοῦ θεραπείαν εἶχεν, οὔτι που, φασίν, ἐνυβρίζων αὐτοῖς οὐδὲ διευτελίζων, ἀλλ' ἐκ τῶν ἐναντίων καρτερικοὺς αὐτοὺς ἐκπονῶν καὶ ἑτοίμους πρὸς τὸ τὰ δέοντα πράττειν ἀποφαίνων. πρὸς δὲ τοὺς τρυφῶντας αὐτῶν καὶ εἰς τὰ ἐπιταττόμενα ῥαθύμως ἔχοντας διέκειτό φασι πολεμίως. Ἀφθόνητον γοῦν ἐμαστίγωσεν, ὅτι τὴν τάξιν ἐκλιπὼν ἐξετράπετο τῆς ὁδοῦ διψήσας καὶ παρῆλθεν εἰς πανδοκέως. καὶ Ἀρχέδαμον ἀπέκτεινεν, ὅτι προστάξαντος αὐτοῦ ἐν τοῖς ὅπλοις συνέχειν ἑαυτὸν ὅδε ἀπεδύσατο· ἤλπισε γὰρ διὰ τῆς κολακείας καὶ ὑποδρομῆς χειρώσασθαι τὸν βασιλέα ἅτε ἀνὴρ ἥττων τοῦ κερδαίνειν ὤν.

XXXII. Περιήγησις τῶν Θετταλικῶν Τεμπῶν.

Φέρε οὖν καὶ τὰ καλούμενα Τέμπη τὰ Θετταλικὰ διαγράψωμεν τῷ λόγῳ καὶ διαπλάσωμεν. ὡμολόγηται γὰρ καὶ ὁ λόγος, ἐὰν ἔχῃ δύναμιν φραστικήν, μηδὲν ἀσθενέστερον ὅσα βούλεται δεικνύναι τῶν ἀνδρῶν τῶν κατὰ χειρουργίαν δεινῶν. ἔστι δὴ χῶρος μεταξὺ κεί- 1 2

XXXI. (L. XIV, 49.) ὅτι Φίλ. ctt. ordo verborum hic est: φασὶν (narratur) ὅτι Φ. εἶχεν ctt. — υἱεῖς. vid. B. Verz. d. unr. Nom. s. v. υἱός. — διευτελίζων, *contemnens*, vox auctoritate vett. auctorum, quod quidem sciam, non stabilita. tu praeferes ὀλιγωρῶν τινος, καταφρονῶν, similia. — ἐκ τ. ἐναντίων, *ex contrario*. M. §. 574. p. 1134. — καρτερικοὺς — ἐκπονῶν, *exercendo laborum eos patientes reddens*. — ἀποφαίνων i. q. παρέχων, ἀπεργαζόμενος.

ἔχοντας et διέκειτο cum Advv. vid. supra ad c. XXV. c. XXVII init. — τάξιν ἐκλ. et alio loco Aeliani τ. καταλείπειν, *ordines* s. *agmen deserere*, quum tamen simplex λείπειν huic dicendi formulae usu fere receptum sit. sic λειποταξία, λειποτάκτης. — εἰς πανδοκέως. sunt qui εἰς pro εἴσω accipiant in his locutionibus; rectius vero ii, qui per ellipsin eas explanandas et οἶκον supplendum censent, ut Genitivus sit possidentis. idem de ἐν et, si quibusdam locis fides habenda, de ὁς Praepositione illo casu adposito statuendum erit. — αὐτοῦ (B. §. 127. not. 1.), intell. Φιλίππου. — συνέχειν ἑαυτόν, *sese continere in armis*, universe de quolibet, quem regis praecepta adtingunt. — ὅδε, intell. Ἀρχέδαμος. — ἅτε ἀν. ἥττων.τ. κ. *quippe vir lucrifaciendo* s. *lucro inferior*.

XXXII. (L. III, 1.) Περιήγησις τ. Θ. Τ. veterum scriptorum eandem illam Thessaliae regionem adumbrantium duo, quos comparetis cum Nostro, prae ceteris digni videntur, Livius hist. l. 44, 6 et Plinius H. N. l. 4, 15. — Τέμπη, hodie Tsampas.

1. φέρε οὖν, *agedum*, significatione Imperativi deposita adhortandi particula fit, adeo ut verbum non raro numero plur. sibi adsciscat, veluti φέρε δὴ σκοπεῖτε. φ. δὴ τίνες ἀγαθοί εἰσιν; aut denique cum 1. pers. pl. ut nostro loco. comp. ἄγε et Lat. age. — τὰ καλ. T. Latini solent: *Tempe quae vocantur* (ἅπερ καλεῖται.). M. §. 557. 1. B. §. 144. not. 4. — τῶν ἀνδρ. — δεινῶν, *quam viri artis* (χειρουργίαν.) *alicuius* (praesertim statuariorum atque pictorum) *periti*.

μενος τοῦ τε Ὀλύμπου καὶ τῆς Ὄσσης. ὅρη δὲ ταῦτ' ἐστὶν ὑπερύψηλα καὶ οἷον ὑπό τινος θείας φροντίδος διεσχισμένα, καὶ μέσον δέχεται χωρίον, οὗ τὸ μὲν μῆκος ἐπὶ τεσσαράκοντα διήκει σταδίους, τόγε
3 μὴν πλάτος τῇ μέν ἐστι πλέθρου, τῇ δὲ καὶ πλεῖον ὀλίγῳ. διαῤῥεῖ δὲ μέσου αὐτοῦ ὁ καλούμενος Πηνειός· εἰς τοῦτον δὲ καὶ οἱ λοιποὶ ποταμοὶ συῤῥέουσι καὶ ἀναποιοῦνται τὸ ὕδωρ αὐτῷ καὶ ἐργάζονται τὸν Πηνειὸν ἐκεῖνοι μέγαν. διατριβὰς δ' ἔχει ποικίλας καὶ παντοδαπὰς ὁ τόπος οὗτος, οὐκ ἀνθρωπίνης χειρὸς ἔργα, ἀλλὰ φύσεως αὐτόματα, εἰς κάλλος τότε φιλοτιμησαμένης, ὅτε ἐλάμβανε γένεσιν ὁ
4 χῶρος. κιττὸς μὲν γὰρ πολὺς καὶ εὖ μάλα λάσιος ἐνακμάζει καὶ τέθηλε καὶ δίκην τῶν εὐγενῶν ἀμπέλων κατὰ τῶν ὑψηλῶν δένδρων ἀνέρπει καὶ συμπέφυκεν αὐτοῖς, πολλὴ δὲ σμῖλαξ, ἡ μὲν πρὸς αὐτὸν τὸν πάγον ἀνατρέχει καὶ ἐπισκιάζει τὴν πέτραν· καὶ ἐκείνη μὲν ὑπολανθάνει, ὁρᾶται δὲ τὸ γλοάζον πᾶν καὶ ἔστιν ὀφθαλμῶν πανή-
5 γυρις. ἐν αὐτοῖς δὲ τοῖς λείοις καὶ καθημένοις ἄλση τέ ἐστι ποικίλα καὶ ὑποδρομαὶ συνεχεῖς, ἐν ὥρᾳ θέρους καταφυγεῖν ὁδοιπόροις ἥδιστα καταγώγια, ἃ καὶ δίδωσιν ἀσμένως ψυχᾶσθαι. διαῤῥέουσι δὲ καὶ κρῆναι συχναί, καὶ ἐπιῤῥεῖ νάματα ὑδάτων ψυχρῶν καὶ πιεῖν ἡδίστων. λέγεται δὲ τὰ ὕδατα ταῦτα καὶ τοῖς λουσαμένοις ἀγαθὸν εἶναι
6 καὶ εἰς ὑγίειαν αὐτοῖς συμβάλλεσθαι. κατᾴδουσι δὲ καὶ ὄρνιθες ἄλλος ἄλλῃ διεσπαρμένοι καὶ μάλιστα οἱ μουσικοί, καὶ ἑστιῶσιν εὖ μά-

---

2. οἷον — διεσχισμένα (σχίζω.), montes — *quasi divino quodam consilio diffissi.* ipsi Thessali Neptunum vallem perrupisse referunt, adprobante Herodoto (VII, 109.) siquidem Ποσειδῶ Ἐννοσίγαιον dicerent, qui terrae motibus alveum aperuisset Peneo flumini: — ἐπὶ — σταδίους. de spatio, per quod aliquid pertinet. *bis hin, bis zu.* M. §. 586. p. 1169. Livio Plinioque testibus angustiae in quinque millia excurrunt. — τόγε μὴν πλ., praecedente μὲν non tam oppositionem, quam transitum facit, ut *tamen, jedoch,* aut si mavis *porro* verti possit. — πλέθρου. Plinius l. c. ait: *Tempe — ferme sesquiiugeri latitudine.*

3. οἱ λοιποὶ ποταμοί. praeter alios multos torrentes rivulosque nominis expertes hodieque a peregrinantibus duo notantur amnes, Kouralios et Titaresios (Strabo IX. p. 304. ed. Casaub. comp. cum Hom. Il. II, 748 sq.), qui in Peneum influant. quem Titaresium Homerus, eundem adpellat Orcon (Euroton?) Plinius l. c. — ἐργάζονται, idem quod ποιοῦσι. comp. supra ad c. XXVI. — διατριβάς, loca in quibus quis cum voluptate commorari potest. *Kuehn.* — φύσεως αὐτόματα, nos: ein Spiel der Natur. — εἰς κάλλ. — φιλοτιμησαμένης, *ad pulchritudinem loci ambitiose omnia largientis.*

4. τέθηλε (θάλλω.) significatione praes. temporis, ut part. Perf. apud Hom. et nostra forma Hesiod. opp. et d. 227. comp. B. §. 113. 6. not. 10—13. — δίκην c. Genit. *instar.* B. §. 146. not. 2. — κατὰ τ. ὑ. δένδρων ἀν ἕρπει, quae quomodo explicari possint, non intelligo. fortasse voluit: *sursum repit regione arborum s. ad arbores versus,* ut dicunt τοξεύειν κατά τινος, *iaculari in aliquem.* vid. M. §. 581. — πολλὴ δὲ σμ. respondent superiori periodo κιττὸς μέν ctt., ex qua repetendum ἐνακμάζει. — σμῖλαξ h. l. non *taxus*, sed genus hederae, fortasse *convolvulus.* — πανήγυρις. Hesychius explicat ἑορτή, quod ipsum huc convenit. sic legimus apud Ael. ἑορτὴ ὄψεως, ἐ. ὀφθαλμῶν.

5. ἐν — λείοις, i. e. χώροις πετρῶν λείοις. — καθημένοις. καθῆσθαι h. l. de locis depressioribus, ad vallem *desidentibus.* sic Diodorus: ἡ χώρα ἐγκάθηται πεδίοις. — δίδωσιν — ψυχᾶσθαι, *dant ubi quis refrigeretur.* v. ad c. XXVII. — ἀγαθὸν εἶναι. supra c. XI init. Ἀρχύτας ἐγένετο ἀγαθόν τινι. — εἰς ὑ. αὐτ. συμβάλλεσθαι, *ad sanitatem eorum conducere.*

6. ἄλλος ἄλλῃ, *aliae* (aves) *aliorsum dispersae* (διασκίδνασθαι). de numero plur. huic dictioni iuncto v. M. §. 302. b. — ἑστιῶσιν, h. l. *oble-*

λα τὰς ἀκοάς, καὶ παραπέμπουσιν ἀπόνως καὶ σὺν ἡδονῇ διὰ τοῦ μέλους τὸν κάματον τῶν παριόντων ἀφανίσαντες. παρ' ἑκάτερα δὲ τοῦ ποταμοῦ αἱ διατριβαί εἰσιν αἱ προειρημέναι καὶ αἱ ἀνάπαυλαι. διὰ μέσων δὲ τῶν Τεμπῶν ὁ Πηνειὸς ποταμὸς ἔρχεται, σχολῇ καὶ 7
πράως προϊὼν ἐλαίου δίκην. πολλὴ δὲ κατ' αὐτοῦ ἡ σκιὰ ἐκ τῶν παραπεφυκότων δένδρων καὶ τῶν ἐξηρτημένων κλάδων τίκτεται, ὡς ἐπὶ πλεῖστον τῆς ἡμέρας αὐτὴν προήκουσαν ἀποστέγειν τὴν ἀκτῖνα καὶ παρέχειν τοῖς πλέουσι πλεῖν κατὰ ψύχος. πᾶς δὲ ὁ περίοικος 8
λεὼς συνίασιν ἄλλοι σὺν ἄλλοις, καὶ θύουσι καὶ συνουσίας ποιοῦνται καὶ συμπίνουσιν. ἅτε οὖν πολλῶν ὄντων τῶν θυόντων καὶ τῶν καθαγιζόντων συνεχῶς εἰκότως καὶ τοῖς βαδίζουσι καὶ τοῖς πλέουσιν ὀσμαὶ συμπαρομαρτοῦσιν ἥδισται. οὕτως ἄρα ἡ τιμὴ ἡ διαρκὴς ἡ περὶ τὸ κρεῖττον ἐκθεοῖ τὸν τόπον. ἐνταῦθά τοί φασι παῖδες Θετταλῶν καὶ 9
τὸν Ἀπόλλωνα τὸν Πύθιον καθῆρασθαι κατὰ πρόσταγμα τοῦ Διός, ὅτε τὸν Πύθωνα τὸν δράκοντα κατετόξευσεν ἔτι φυλάττοντα τοὺς Δελφοὺς τῆς Γῆς ἐχούσης τὰ μαντεῖον. στεφανωσάμενον οὖν ἐκ ταύτης τῆς δάφνης τῆς Τεμπικῆς καὶ λαβάντα κλάδον εἰς τὴν δεξιὰν χεῖρα ἐκ τῆς αὐτῆς δάφνης ἐλθεῖν εἰς Δελφούς, καὶ παραλαβεῖν τὸ μαντεῖον τὸν Διὸς καὶ Λητοῦς παῖδα. ἔστι δὲ καὶ βωμὸς ἐν αὐτῷ τῷ 10
τόπῳ, ἐν ᾧ καὶ ἐστεφανώσατο καὶ τὸν κλάδον ἀφεῖλε. καὶ ἔτι καὶ νῦν ἔτους ἐννάτου οἱ Δελφοὶ παῖδας εὐγενεῖς πέμπουσι καὶ ἀρχιθέωρον ἕνα σφῶν αὐτῶν. οἱ δὲ παραγενόμενοι καὶ μεγαλοπρεπῶς θύσαντες ἐν τοῖς Τέμπεσιν ἀπίασι πάλιν, στεφάνους ἀπὸ τῆς αὐτῆς δάφνης διαπλέξαντες, ἀφ' ἥσπερ οὖν καὶ τότε ὁ θεὸς ἐστεφανώσατο. καὶ τὴν ὁδὸν ἐκείνην ἔρχονται, ἣ καλεῖται μὲν Πυθιάς, φέρει δὲ διὰ 11

---

ctant aures. simili modo Xenoph. εὐωδία ἑστιᾶσθαι. comp. quod apud Ciceronem est: *pascere* oculos animumque aliqua re. — παρ' ἑκάτερα, fere i. q. καθ' ἑκ. *ab utraque parte.*

7. ὁ Π. ποταμός. vid. B. §. 124. 3. — σχολῇ καὶ πράως ctt. fere eadem de Titaresio dicta habes apud Hom. l. supra c., at mire discrepat Ovidius Metam. 1, 570. Penëus ab imo Effusus Pindo *spumosis volvitur undis.* — ὡς ἐπὶ πλ. τῆς ἡμέρας ctt. *ita ut* (ὡς. vid. ad Aesop. f. II extr.) *maximam diei partem* (ἐπὶ c. Acc. de tempore, quam diu aliquid fiat.) *illa progrediens* (σκιά) *solis radios arceat.*

8. ἅτε c. Genit. absol. M. §. 568. — εἰκότως — συμπαρομαρτοῦσιν, *ut cum rebus convenit* (εἰκότως. sc. quippe quod multi sint qui sacrificent ctt.) *et praetereuntes et navigantes comitantur odores.* συμπαρομαρτεῖν, Hesych. συνακολουθεῖν, συμπαρέπεσθαι. — ἡ τιμὴ ἡ δ. ἡ περὶ τ. κρεῖττον. de Articulo bis posito post nomen subst. ubi duo sequuntur praedicata, vid. M. §. 277. a. — κρεῖττον h. l. *numen divinum.* v. Lexic. s. v.

9. καθῆρασθαι (καθαίρω.) *expiatum esse.* Pythone enim interfecto Apollinem narrant in Tempe Thessalica fugisse ibique exsulem novem annos, expiatum denique rediisse Delphos. — ἔτι φυλάττοντα Δ. *adhuc custodientem Delphos,* i. e. prohibentem quo minus oracula ex terra vel antro Delphico ederentur. — ταύτης τῆς δάφνης, i. e. ἣν πάντες ἴσασιν. οὗτος enim ut Lat. *ille, iste,* de rebus, etsi absentibus, bene notis. et ita dici quidem poterat ob magnam illam laurorum copiam Peneï ripas ornantium, unde et filia eiusdem Daphne vocatur, et praesagientes arbore ista futuri praescia coronabantur, et primum denique Apollinis templum ex laureo nemore Delphis constructum fertur.

10. καὶ ἔτι καὶ νῦν, *et vel etiam nunc.* — ἔτους ἐνν. *nono quoque anno redeunte.* B. §. 132, 6, 4. — ἀρχιθέωρον, qui munere ἀρχιθεωρίας fungitur et princeps est in ducendis pompis sacris.

11. τὴν ὁδὸν — ἔρχονται. M. §. 409. 4. poetae Lat. imitantur. Virg.

Θετταλίας καὶ Πελασγίας καὶ τῆς Οἴτης καὶ Αἰνιάνων χώρας καὶ τῆς Μηλιέων καὶ Δωριέων καὶ Λοκρῶν τῶν Ἑσπερίων. οὗτοί δὲ καὶ παραπέμπουσιν αὐτοὺς σὺν αἰδοῖ καὶ τιμῇ οὐδὲν ἧττον ἥπερ οὗν ἐκεῖνοι, οἳ τοὺς ἐξ Ὑπερβορέων τὰ ἱερὰ κομίζοντας τῷ αὐτῷ θεῷ τούτῳ τιμῶσι. καὶ μὴν καὶ τοῖς Πυθίοις ἐκ ταύτης τῆς δάφνης τοῖς νικῶσι τοὺς στεφάνους διδόασιν. ὑπὲρ μὲν οὖν τῶν ἐν Θετταλίᾳ Τεμπῶν καὶ ἐμοὶ νῦν τοσαῦτα εἰρήσθω.

Aen. VI, 122. Pollux — *itque reditque viam.* — Λοκρῶν τ. Ἑσπερ. Locri Ozolae, qui ad *occidentem* Parnassi habitabant. — οἳ τ. ἐξ Ὑπερβορέων ctt. Hyperborei, gens fabulosis miraculis celebrata, extremas septentrionem versus terras incolebant, ubi cardines mundi extremique siderum ambitus fuisse credebantur. Aelianus significat h. l. sacra quaedam sive donaria populi religiosissimi, quae duas virgines una cum quinque tutoribus Apollini inde ab extremis terris Delum insulam detulisse Herodotus auctor est (IV, 33.), ut iustam incolarum venerationem adquisivissent. — εἰρήσθω. B. verb. anom. v. εἴπεῖν.

ΑΧΙΛΛΕΩΣ ΤΑΤΙΟΥ

ΑΛΕΞΑΝΔΡΕΩΣ.

Περιϊὼν Σιδῶνα τὴν πόλιν καὶ περισκοπῶν τὰ ἀναθήματα ὁρῶ 1
γραφὴν ἀνακειμένην γῆς ἅμα καὶ θαλάττης. Εὐρώπης ἡ γραφή,
Φοινίκων ἡ θάλασσα, Σιδῶνος ἡ γῆ. ἐν τῇ γῇ λειμὼν καὶ χορὸς
παρθένων· ἐν τῇ θαλάττῃ ταῦρος ἐπενήχετο καὶ τοῖς νώτοις καλὴ
παρθένος ἐπεκάθητο ἐπὶ Κρήτην τῷ ταύρῳ πλέουσα. ἐκόμα πολλοῖς
ἄνθεσιν ὁ λειμών· δένδρων αὐτοῖς ἀνεμέμικτο φάλαγξ καὶ φυτῶν·
συνεχῆ τὰ δένδρα, συνηρεφῆ τὰ πέταλα. συνῆπτον οἱ πτόρθοι τὰ
φύλλα καὶ ἐγίνετο τοῖς ἄνθεσιν ὅροφος ἡ τῶν φύλλων συνέχεια. ἔγρα- 2
ψεν ὁ τεχνίτης ὑπὸ τὰ πέταλα καὶ τὴν σκιάν, καὶ ὁ ἥλιος ἠρέμα τοῦ
λειμῶνος κάτω σποράδην διέῤῥει, ὅσον τὸ συνηρεφὲς τῆς τῶν φύλλων

Achilles Tatius Alexandrinus et si Thomae Magistro credere liceat, rhetor, cuius tempus, quo vixerit, ultra Theodosium (379 p. C. n.) vix progrediatur, quamquam auctor eius rei idoneus exstat nemo. scripsit *de Leucippes et Clitophontis amoribus libros octa.* atque in his imitatione antiquitatis adfectata etsi similitudo stili optimorum auctorum non deest, tamen fucata est ea similitudo, minime sincera. sed utut est, hanc pictam *de raptu Europae* tabulam (L. I. c. 1.) et cognitu dignam et intellectu obviam contemplari neminem, spero, pigebit. — Plura qui concupiscat de vita scriptisque Tatii vid. F. Passovii disputationem in Ersch u. Grubers allg. Encyclop. I. p. 299 s. — Edd. B. G. L. Boden. Lips. 1776. 8. F. Jacobs, c. not. Salmasii, Guyeti, Goettlingii, Hasii. Lips. 1821. 8.

1. Compara cum tota hac imagine Moschi Idyll. II. Ovid. Metam. II, 833—75.

γρ. ἀνακειμένην. ἀνακεῖσθαι verbum solemne est de signis et quibusvis monumentis, quae alicui consecrantur. Phrynichus ait: ἀνάκειται ἀνδριὰς καὶ ἀναθήματα, καλῶς ἐρεῖς. hinc bonus aliquis auctor de statuis publice positis ἀθληταὶ et στρατηγοὶ ἀνακείμενοι. — θαλάττης, mox θάλασσα, etsi miram inconstantiam, retinui cum optimis libris (cf. B. §. 16. not. 4.), haec et alia orthographica, veluti σύν — ξύν, εἰς — ἐς, γίγνεσθαι — γίνεσθαι, nisi Codicum fide ad certam normam dirigi non posse edoctus. — ἐπεκάθητο (ἐπικάθημαι.) cum Dat. (νώτοις) *tergo insidebat.* — ἐκόμα, *prangte von Blumen.* sic Virg. Aen. XII, 413. herbam aliquam vocat *foliis et flore comantem.* — φάλαγξ h. l. de *copia arborum et fruticum* sive *bene instructa*, sive *densius conglobata*, cuius vocis frigidam adfectationem arguere vix opus erit. tu praeferes πλῆθος sive στίχοι δένδρων.

2. ἠρέμα — διέῤῥει, *modice permanabat*, de radiis solis, ut Lat. amor — calor *permanat* aliquem. σποράδην, i. q. ἔνθα καὶ ἔνθα apud Hom. *passim.* κάτω c. Genit. de loco vel potius de motu in aliquem locum versus, ut sensus sit: εἰς τὸ κάτω μέρος τοῦ λειμ. sic Demosth. βοηθεῖν κάτω sc. τῆς

κόμης ἀνέῳξεν ὁ γραφεύς. ὅλον ἐτείχιζε τὸν λειμῶνα περιβολή· εἴσω δὲ τοῦ τῶν ὀρόφων στεφανώματος ὁ λειμὼν ἐκάθητο· αἱ δὲ πρασιαὶ τῶν ἀνθέων ὑπὸ τὰ πέταλα τῶν φυτῶν στοιχηδὸν ἐπεφύκεσαν, νάρκισσος καὶ ῥόδα καὶ μυῤῥίναι· ὕδωρ δὲ κατὰ μέσον ἔῤῥει τοῦ λειμῶνος τῆς γραφῆς, τὸ μὲν ἀναβλύζον κάτωθεν ἀπὸ τῆς γῆς, τὸ δὲ τοῖς ἄνθεσι καὶ τοῖς φυτοῖς περιχεόμενον. ὀχετηγός τις ἐγέγραπτο δίκελλαν κατέχων καὶ περὶ μίαν ἀμάραν κεκυφὼς καὶ ἀνοίγων τὴν ὁδὸν τῷ ῥεύματι. ἐν δὲ τῷ τοῦ λειμῶνος τέλει πρὸς ταῖς ἐπὶ θάλατταν τῆς γῆς ἐκβολαῖς τὰς παρθένους ἔταξεν ὁ τεχνίτης· τὸ σχῆμα ταῖς παρθένοις καὶ χαρᾶς καὶ φόβου· στέφανοι περὶ τοῖς μετώποις δεδεμένοι·
3 κόμαι κατὰ τῶν ὤμων λελυμέναι. — Τῆς δὲ θαλάττης ἡ χροιὰ διπλῆ· τὸ μὲν γὰρ πρὸς τὴν γῆν ὑπέρυθρον, κυάνεον δὲ τὸ πρὸς τὸ πέλαγος. ἀφρὸς ἐπεποίητο καὶ πέτραι καὶ κύματα. αἱ πέτραι τῆς γῆς ὑπερβεβλημέναι, ὁ ἀφρὸς περιλευκαίνων τὰς πέτρας, τὸ κῦμα κορυφούμενον καὶ περὶ τὰς πέτρας λυόμενον εἰς τοὺς ἀφρούς. ταῦρος ἐν μέσῃ τῇ θαλάττῃ ἐγέγραπτο τοῖς κύμασιν ἐποχούμενος, ὡς ὄρους ἀναβαίνοντος τοῦ κύματος ἔνθα καμπτόμενον τοῦ βοὸς κυρτοῦται τὸ σκέλος. ἡ παρθένος μέσοις ἐπεκάθητο τοῖς νώτοις τοῦ βοός, οὐ περιβάδην, ἀλλὰ κατὰ πλευράν, ἐπὶ δεξιᾷ συμβᾶσα τὼ πόδε, τῇ λαιᾷ τοῦ κέρως ἐχομένη ὥσπερ ἡνίοχος χαλινοῦ. καὶ γὰρ ὁ βοῦς ἐπέστραπτο ταύτῃ
4 μᾶλλον πρὸς τὸ τῆς χειρὸς ἕλκον ἡνιοχούμενος. — Αἱ χεῖρες ἄμφω διετέταντο, ἡ μὲν ἐπὶ κέρας, ἡ δὲ ἐπ' οὐράν. ἤρτητο δὲ ἀμφοῖν ἑκατέρωθεν ὑπὲρ τὴν κεφαλὴν ἡ καλύπτρα κύκλῳ τῶν νώτων ἐμπεπεταν-

---

νεώς, i. e. *auxilium ferre in inferiorem partem navis.* Bernhardy w. Synt. p. 158. — ἀνέῳξεν (B. §. 84. not. 8.), quantum (ὅσον) *patere voluit.* — ὁ λειμ. ἐκάθητο, *pratum recumbebat* s. *desidebat*, de planitie frondium tecto cincta eoque reductiore, quam eminentiore. sic Diod. ἡ Τυῤῥηνία πεδίοις ἐγκάθηται. — ἀνθέων, non ἀνθῶν. M. §. 78. not. 7. — περιχεόμενον c. Dat. prorsus ut Latini: *floribus et plantis circumfusum.* — περὶ μίαν ἀμ. i. e. περὶ τινὰ ἀμ., qua significatione εἰς optimis scriptoribus aeque usitatum, ac Lat. *unus.* Cic. de orat. I, 29, 132. sicut *unus* paterfamilias his de rebus loquor. — πρὸς ταῖς — ἐκβολαῖς, *ad exitum* s. *extremam terrae partem, quae mare adtingit.* — καὶ χαρᾶς κ. φόβου. de Genit. v. M. §. 316. — περὶ τοῖς μετ. δεδεμένοι. περὶ c. Dat. de rebus arcte colligatis vel adnexis ad aliquid. vid. Lexic. s. v. περὶ et Bernhardy w. Synt. p. 260.

3. τὸ μὲν — κυάν. δὲ τὸ —, *altera pars maris — altera*, sive τῆς θαλάττης, sive μέρος verborum integritati adstruis. — αἱ πέτραι — ὑπερβ. (ὑπερβάλλεσθαι), *rupes terrae imminentes.* de Genit. personae vel rei, quam supero v. M. §. 358, 2. — λυόμενον εἰς τ. ἀφρούς. de fluctibus vento commotis alteque insurgentibus, qui ad scopulos adlisi diffluunt *ita ut in spumas solvantur.* — περιβάδην adv. a v. περιβαίνω, *diductis* vel *dispansis pedibus*, pro solito equitandi more, cui opposita est ratio feminarum, κατὰ πλευράν, *iunctis pedibus, uno latere demissis.* — συμβᾶσα (βαίνω) τ. πόδε. Aor. 2. huius verbi significatione transitiva, quum inde ab Homero Aor. prior hunc usum obtinere soleat. vid. tamen M. §. 423. Seidler ad Eur. El. v. 94. ex quibus adparet, et simplex verbum et composita ex iis esse, quae significet B. §. 131, 2. 3. — ἐχομένη. ἔχεσθαι Med. cum Genitivo, partem rei, quam quis tetigerit, indicante. verte: *cornu prehensum tenens.* Ovid. l. c. 874. *et dextra cornum tenet, altera dorso Imposita est.* — τὸ τ. χειρὸς ἕλκον i. e. τὴν — ἕλκυσιν. Participium neutrius generis praefixo Articulo vi atque significatione nominis subst. B. §. 128. 2. M. §. 570.

4. ἤρτητο (ἀρτάω) — ὑπὲρ τὴν κεφαλὴν ἡ καλ. *velamen ita suspensum erat, ut capiti se circumfunderet.* — ἀμφοῖν. B. §. 78. 4. — κύκλῳ c. Genit. i. q. κύκλῳ περὶ τὰ νῶτα, *circum humeros.* — ἐμπεπετασμένη (ἐμπετάννυμι.). forma Perfecti rarior. vid. M. §. 246. s. v. πετάννυμι. —

σμένη· ὁ δὲ κόλπος τοῦ πέπλου πάντοθεν ἐτέτατο κυρτούμενος, καὶ ἦν οὗτος ἄνεμος τοῦ ζωγράφου. ἡ δὲ δίκην ἐπεκάθητο τῷ ταύρῳ πλεούσης νηός, ὥσπερ ἱστίῳ τῷ πέπλῳ χρωμένη. περὶ δὲ τὸν βοῦν ὠρχοῦντο δελφῖνες, ἔπαιζον Ἔρωτες. εἴπες ἂν αὐτῶν ἐγγεγράφθαι καὶ τὰ κινήματα. Ἔρως εἷλκε τὸν βοῦν· Ἔρως, μικρὸν παιδίον, ἡπλώκει τὸ πτερόν, ἥρτητο φαρέτραν, ἐκράτει τὸ πῦρ· ἐπέστραπτο δὲ ὡς ἐπὶ τὸν Δία καὶ ὑπεμειδία ὥσπερ αὐτοῦ καταγελῶν, ὅτι δι' αὐτὸν γέγονε βοῦς.

ὁ δὲ κόλπός ctt. Ovidius l. c. expressit: *tremulae sinuantur flamine vestes.* — οὗτος ἄνεμος. v. B. §. 127. not. 7. — δίκην, iunge πλ. νηός. v. B. §. 146. not. 2. et de forma νηός §. 58. s. v. ναῦς. haec et alia Atticismo prorsus ignota corrigere non ausit qui meminerit, quantopere formis certe vocabulisve recentiores hi similes esse priscae antiquitati cupiverint, sive poeticis quibusdam adsumptis sive vicinis dialectis parum curantes. ut Aelianum taceam, etiam in paucis his Tatii plagulis peritiori non semel ut de istis praecipiat ultro se offeret. — Ceterum haec et seq. verba concordant cum Moschi l. c. 125. Κολπώθη δ' ᾤμοισι πέπλος βαθὺς Εὐρωπείης, Ἱστίον οἷά τε νηός. — ἐκράτει τ. πῦρ, *faces retinebat.* de Accus. voci κρατεῖν iuncto agit M. §. 360. b. — ὡς ἐπὶ τὸν Δ. B. §. 149 init.

ΕΚ ΤΩΝ ΤΟΥ ΛΟΓΓΟΥ ΠΟΙΜΕΝΙΚΩΝ.

I

1 Πόλις ἐστὶ Λέσβου, Μιτυλήνη, μεγάλη καὶ καλή· διείληπται γὰρ εὐρίποις ὑπεισρεούσης τῆς θαλάττης, καὶ κεκόσμηται γεφύραις ξεστοῦ καὶ λευκοῦ λίθου. νομίσεις οὐ πόλιν ὁρᾶν, ἀλλὰ νῆσον. ταύτης τῆς πόλεως, τῆς Μιτυλήνης, ὅσον ἀπὸ σταδίων διακοσίων ἀγρὸς ἦν Διονυσοφάνου ἀνδρὸς εὐδαίμονος, κτῆμα κάλλιστον, ὄρη θηροτρόφα, πεδία πυροφόρα, γήλοφοι κλημάτων, νομαὶ ποιμνίων, καὶ
2 ἡ θάλαττα προσέκλυζεν ἠϊόνι ἐκτεταμένῃ ψάμμῳ μαλθακῇ. — Ὁ δὲ παράδεισος ἦν πάγκαλόν τι χρῆμα καὶ κατὰ τοὺς βασιλικούς. ἐκτέτατο μὲν εἰς σταδίου μῆκος, ἐπέπειτο δὲ ἐν χώρῳ μετεώρῳ, τὸ εὖρος ἔχων

Longvs Pastoralium (*Ποιμενικῶν τῶν κατὰ Δάφνιν καὶ Χλόην βιβλία δ'.*) narrator suavissimus. de quo quae scire adtineat exploratius dicturus suo id faciat periculo necesse erit. verius quam speciosius qui res tractat, profitebitur patriam eius incertam, incertum id quo natus sit seculum, incertum denique nomen, a serioribus ei impositum, Sophistae. iam vero si dubium non est, quin fabulator non solum arte res vel languidiores excitandi vivisque coloribus ornandi, sed etiam summa orationis dulcedine et modesto quodam studio antiquae simplicitatis animos sibi devinciat: sincerus ille, quem desideras, candor Atticismi magis videri potest tempori, quam ipsi defuisse. — Edd. G. H. Schaefer. Lips. 1803. 12. Fr. Passow. Lips. 1811. 12.

I. (Lib. I, 1. IV, 2. 3.) Describuntur horti sive vivaria Dionysophanis cuiusdam Mitylenis, urbi Lesbiae, vicina.

1. *διείληπται* (*διαλαμβάνω.*) i. q. *διατετείχισται.* — *εὐρίποις.* Cic. de Leg. II, 1. interpretatur *ductus aquarum.* comp. Verr. IV, 52. pars Syracusarum, quae adpellatur Insula, *mari disiuncta angusto, ponte rursus adiungitur.* — *νομίσεις credas.* Futurum igitur id spectat, ut certis quibusdam conditionibus positis facile aliquid fieri vel evenire possit. de altera eaque usitatiore forma *νομιεῖς* v. B. §. 95. not. 14. Lobeck ad Phryn. p. 746. — *ὅσον ἀπὸ στ. circiter stadia ducenta aberat ab hac urbe* ctt. *ἀπὸ* h. l. *spatium* significat, quantum loca quaedam inter se distent (M. §. 573. p. 1129.), et sententiis permistis ab ipsis locis transfertur ad distantiam locorum. sic prorsus Lat. vid. Caes. B. G. II, 7. Ernesti Gloss. Livian. s. v. *a.* p. 2. — *εὐδαίμονος*, viri *opulenti.* — *κλημάτων.* intell. *μεστοί.*

2. *χρῆμα.* Schol. ad Aristoph. Nubb. 2. *ἔθος δὲ τοῖς Ἀττικοῖς ἐπαγωγῇ χρῆσθαι, οἷον· ἵππος σπάνιόν τι χρῆμα, καὶ γυνὴ σπάνιόν τι χρῆμα, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.* — *κατὰ τοὺς β. secundum hortos regales.* —

πλέθρων τεττάρων. εἴκασεν ἄν τις αὐτὸν πεδίῳ μακρῷ. εἶχε δὲ πάντα δένδρα, μηλέας, μυῤῥίνας, ὄχνας καὶ ῥοιὰς καὶ συκῆν καὶ ἐλαίας, ἑτέρωθι ἄμπελον ὑψηλήν· καὶ ἐπέκειτο ταῖς μηλέαις καὶ ταῖς ὄχναις περκάζουσα, καθάπερ περὶ τοῦ καρποῦ αὐταῖς προσερίζουσα· τοσαῦτα ἦμερα. ἦσαν δὲ καὶ κυπάριττοι καὶ δάφναι καὶ πλάτανοι καὶ πίτυς· ταύταις πάσαις ἀντὶ τῆς ἀμπέλου κιττὸς ἐπέκειτο, καὶ ὁ κόρυμβος αὐτοῦ μέγας ὢν καὶ μελαινόμενος βότρυν ἐμιμεῖτο. ἔνδον ἦν τὰ καρ- 3
ποφόρα φυτά, καθάπερ φρουρούμενα· ἔξωθεν περιειστήκει τὰ ἄκαρπα, καθάπερ θριγγὸς χειροποίητος· καὶ ταῦτα μέντοι λεπτῆς αἱμασιᾶς περιέθει περίβολος. τέτμητο καὶ διεκέκριτο πάντα, καὶ στέλεχος στελέχους ἀφειστήκει. ἐν μετεώρῳ δὲ οἱ κλάδοι συνέπιπτον ἀλλήλοις καὶ ἐπήλλαττον τὰς κόμας· ἐδόκει μέντοι καὶ ἡ τούτων φύσις εἶναι τέχνη. ἦσαν καὶ ἀνθέων πρασιαί, ὧν τὰ μὲν ἔφερεν ἡ γῆ, τὰ δὲ ἐποίει τέχνη· ῥοδωνιὰ καὶ ὑάκινθοι καὶ κρίνα χειρὸς ἔργα· ἰωνιὰς καὶ ναρκίσσους καὶ ἀναγαλλίδας ἔφερεν ἡ γῆ. σκιά τε ἦν θέρους καὶ ἦρος ἄνθη καὶ μετοπώρου ὀπώρα καὶ κατὰ πᾶσαν ὥραν τρυφή. ἐν- 4
τεῦθεν εὔοπτον μὲν ἦν τὸ πεδίον καὶ ἦν ὁρᾶν τοὺς νέμοντας· εὔοπτος δὲ ἡ θάλαττα, καὶ ἐωρῶντο οἱ παραπλέοντες. ὥστε καὶ ταῦτα μέρος ἐγίνετο τῆς ἐν παραδείσῳ τρυφῆς. ἵνα τοῦ παραδείσου τὸ μεσαίτατον ἐπὶ μῆκος καὶ εὖρος ἦν, νεὼς Διονύσου καὶ βωμὸς ἦν· περιεῖχε τὸν μὲν βωμὸν κιττός, τὸν νεὼν δὲ κλήματα. εἶχε δὲ καὶ ἔνδοθεν ὁ νεὼς Διονυσιακὰς γραφάς, Ἀριάδνην καθεύδουσαν, Λυκοῦργον δεδεμένον, Πενθέα διαιρούμενον. ἦσαν καὶ Ἰνδοὶ νικώμενοι καὶ Τυρ-

---

εἴκασεν. de Augm. B. §. 84. not. 2. — ἐπέκειτο (sc. ἄμπελος) — περκάζουσα, *se adplicabat malis et piris maturescens*, vel, ut cum Ovidio loquar, *uva subrubens plena purpureo mero*. περκάζουσα enim non tam vites, quam racemos earum spectat. — κόρυμβος. racemi hederae in orbem circumacti vocantur *corymbi*. Plin. H. N. 16, 62. apte igitur Voss in poetis Lat. vertit: die *Dolden des Epheus*.

3. τέτμητο. de omisso Augm. historico v. B. §. 83. not. 6. quod ubi Plusquamperfecto detractum est, penes aurem videtur arbitrium fuisse. — στέλεχος στελ. ἀφ. *trunci a truncis bene dispositi recedebant*. — ἐπήλλαττον τ. κόμας, *die Zweige tauschten gegenseitig ihr Haar*. Jacobs. κόμη. de arborum foliis iam apud Homerum; quin etiam plantis tribuitur. comp. Ach. Tatium §. 1. — ἀνθέων, pro vulg. ἀνθῶν. vid. ad Ach. Tatium §. 2. — ὑάκινθοι, *Iris* (Iris germanica s. ut alii volunt Delphinium Aiacis). τὴν ὑάκινθόν φασιν ἀπὸ τοῦ αἵματος τοῦ Αἴαντος ἀναδοθῆναι, τοῦ ἐν Τροίᾳ μανέντος, διὰ τὸ τοῦτο ἐγγεγραμμένον ἔχειν αἴ, αἴ τοῦ ὀνόματος τοῦ Αἴαντος. Schol. ad Theocr. Idyll. X, 28. — ἀναγαλλίδας, quid sit, hodie quidem inter rerum physicarum investigatores non constat. — θέρους — μετοπώρου. de Genitivis v. B. §. 132, 6, 4. — τρυφή, *abundantia rerum*, quae pro ubertate agrorum omni anni tempore praesto fuerunt.

4. ἦν ὁρᾶν, i. q. ἐξῆν ὁρ. B. §. 150. p. 449. simili modo *esse* impersonale, *est videre*, certe apud poetas Latinos et argentei aevi scriptores. — ἵνα, Adv. *ubi*, *quo loco*. — τοῦ παραδείσου, Genit. part., de cuius collocatione vid. Krüg. ad B. §. 125. not. 1. b. μεσαίτατον (μέσος), forma genuino Atticismo aliena. huc pertinent, quae monet B. in Gramm. uberiore I. §. 69. not. 1. „μεσαίτατος ist Superlativ im allgemeinen Begriff der Mitte" (vid. Herod. IV, 17. τὸ ἐμπόριον τῶν παραθαλασσίων μεσαιτατόν ἐστι.) „μέσατος nur bei einer Reihe, wie Hom. Il. 8, 223." — ἐπὶ μῆκος κ. εὖρος, *in longitudinem et latitudinem*. — Ἀριάδνην καθεύδ. fuerunt antiquitus conspicua ἀγάλματα Ariadnes dormientis, ut testantur etiam Epigrammata Anth. Gr., quorum unum exstat T. IV. p. 183. Ξεῖνοι, λαϊνέας μὴ ψαύετε τᾶς Ἀριάδνας, Μὴ καὶ ἀναθρώσκῃ Θησέα διζεμένη. — Λυκοῦργον δεδ.

ῥηνοὶ μεταμορφούμενοι· πανταχοῦ Σάτυροι πατοῦντες, πανταχοῦ Βάκχαι χορεύουσαι· οὐδὲ ὁ Πὰν ἠμέλητο. ἐκαθέζετο δὲ καὶ αὐτὸς συρίζων ἐπὶ πέτρας, ὅμοιος ἐνδιδόντι κοινὸν μέλος καὶ τοῖς πατοῦσι καὶ ταῖς χορευούσαις.

II.

1 Νέοι Μηθυμναῖοι πλούσιοι διαθέσθαι τὸν τρυγητὸν ἐν ξενικῇ τέρψει θελήσαντες, ναῦν μικρὰν καθελκύσαντες καὶ οἰκέτας προσκώπους καθίσαντες τοὺς Μιτυληναίων ἀγροὺς περιέπλεον, ὅσοι θαλάττης πλησίον. εὐλίμενός τε γὰρ ἡ παραλία καὶ οἰκήσεσιν ἠσκημένη πολυτελῶς. καὶ λουτρὰ συνεχῆ, παράδεισοί τε καὶ ἅλση· τὰ μὲν φύσεως ἔργα, τὰ δὲ ἀνθρώπων τέχνη· πάντα ἐνοικῆσαι καλά. παραπλέοντες δὲ καὶ ἐνορμιζόμενοι κακὸν μὲν ἐποίουν οὐδέν, τέρψεις δὲ ποικίλας ἐτέρποντο· ποτὲ μὲν ἀγκίστροις καλάμων ἀπηρτημένοις ἐκ λίνου λεπτοῦ πετραίους ἰχθῦς ἁλιεύοντες ἐκ πέτρας ἁλιτενοῦς· ποτὲ δὲ κυσὶ καὶ δικτύοις λαγωοὺς φεύγοντας τὸν ἐν ταῖς ἀμπέλοις θόρυβον λαμβάνοντες. ἤδη δὲ καὶ ὀρνίθων ἄγρας ἐμέλησεν αὐτοῖς καὶ ἔλαβον βρόχοις χῆνας ἀγρίους καὶ νήττας καὶ ὠτίδας· ὥστε ἡ τέρψις αὐτοῖς καὶ τραπέζης ὠφέλειαν παρεῖχεν. εἰ δέ τινος προσέδει, παρὰ τῶν ἐν τοῖς ἀγροῖς ἐλάμβανον περιττοτέρους τῆς ἀξίας ὀβολοὺς καταβάλλοντες. ἔδει δὲ μόνον ἄρτου καὶ οἴνου καὶ στέγης· οὐ γὰρ ἀσφαλὲς ἐδόκει μετοπωρινῆς ὥρας ἑστώσης ἐνθαλαττεύειν· ὥστε καὶ τὴν ναῦν
2 ἀνεῖλκον ἐπὶ τὴν γῆν νύκτα χειμέριον δεδοικότες. τῶν δή τις ἀγροί-

---

L. filius Dryantis, rex Edonorum, ob procax ingenium a Baccho in vincula coniectus est. — Τυῤῥηνοὶ μεταμ. nautae Tyrrheni in delphinorum greges a Baccho mutati. comp. ad totum hunc locum Ovid. Metam. IV ab init. — Πάν. etiam Panos fistula canentis imagines ex Anth. Gr. satis nota. v. Epigr. Plat. Tom. I. p. 105. Anyt. p. 131.

II. (Lib. II, 12—17.) Iuvenes Methymnaei venaturi ad agros Mitylenaeorum navigia adpellunt, quae in stationem subducta venti subito commoti in altum auferunt viminibus, quibus religata erant, a Daphnidis capris corrosis. Methymnaei poenas iacturae repetunt a caprario, donec in ius vocati omni, quae adest, pastorum ope propelluntur.

1. διαθέσθαι τ. τρυγ. ἐν ξ. τέρψει, *vindemiam* (i. e. tempus vindemiatorium) *consumere in externis oblectamentis.* disputat de hac phrasi Schaef. mel. critt. p. 87. — θελήσαντες. B. §. 112. not. 3. M. §. 181. not. 3. sic infra ἐμέλησεν. — λουτρὰ συνεχῆ, *balnea continua*, fere nullo spatio interrupta vel separata. — ἐνοικῆσαι κ. vid. B. §. 140, 3. — παραπλέοντες, *iuxta littus navigantes, oram legentes.* Xen. Anab. V, 10, 1. ἔπλεον παρὰ τὴν γῆν, καὶ παραπλεύσαντες ἀφίκοντο εἰς Ἡράκλειαν. — καλάμων ἀπηρτ. ἐκ λίνου, de hamis, qui *tenui lineae adnexi ab arundine suspensi sunt.* comp. Homerica illa: ἐκ πασσαλόφι κρέμασεν φόρμιγγα. Od. 8, 67. affinis potestatis est ἐν praepositio (M. §. 596.), at minime eius, quae his locis postulatur. — ἐκ πέτρας ἁλιτ. de loco, ex quo aliquid efficitur. *von — herab.* — φεύγοντας, ut Lat. *fugere*, cum Accus. (τὸν θόρυβον). — λαμβάνοντες, h. l. *venando capientes.* — ἐμέλησεν. μέλει cum Genit. rei (ἄγρας) et Dat. pers. *est mihi aliquid curae.* M. §. 348. not. 2. — εἰ — προσέδει, *si qua re insuper* i. e. praeter res venando sibi comparatas, *opus haberent.* — τῆς ἀξίας, i. e. ἢ ἡ ἀξία ἦν. — καταβάλλοντες. Thomas Magister: καταβολὴ ἡ ἔκτισις καὶ καταβάλλω ῥῆμα, ὡς τὸ κατέβαλε τἀργύριον. cf. Schaef. Ind. Demosth. s. v. — μετοπ. ὥρας ἑστώσης, i. e. ἐν ἀκμῇ οὔσης, *dum autumni tempus adest.*

2. τῶν δή τις ἀγρ. nota Articulum a nomine suo divulsum, similis ordo Herodoteo infra §. 5. §. 9. extr., neque refugiunt eum boni Attici. M. §. 279.

κων ἐς ἀνολκὴν λίθου θλίβοντος τὰ πατηθέντα βοτρύδια χρῆζων σχοῖνου τῆς πρότερον ῥαγείσης, κρύφα ἐπὶ τὴν θάλατταν ἐλθών, ἀφρουρήτῳ τῇ νηῒ προσελθὼν, τὸ πεῖσμα ἐκλύσας, οἴκαδε κομίσας ἐς ὅ τι ἔχρῃζεν ἐχρήσατο. ἔωθεν οὖν οἱ Μηθυμναῖοι νεανίσκοι ζήτησιν ἐποιοῦντο τοῦ πείσματος καὶ — ὡμολόγει γὰρ οὐδεὶς τὴν κλοπήν — ὀλίγα μεμψάμενοι τοὺς ξενοδόκους παρέπλεον· καὶ στάδια τριάκοντα παρελάσαντες προσορμίζονται τοῖς ἀγροῖς, ἐν οἷς ᾤκουν ἡ Χλόη καὶ ὁ Δάφνις· ἐδόκει γὰρ αὐτοῖς καλὸν εἶναι τὸ πεδίον ἐς θήραν λαγωῶν. σχοῖνον μὲν οὖν οὐκ εἶχον ὥστε ἐκδήσασθαι πεῖσμα· λύγον δὲ χλωρὰν μακρὰν στρέψαντες ὡς σχοῖνον, ταύτῃ τὴν ναῦν ἐκ τῆς πρύμνης ἄκρας εἰς τὴν γῆν ἔδησαν. ἔπειτα τοὺς κύνας ἀφέντες ῥινηλατεῖν ἐν ταῖς εὐκαίροις φαινομέναις τῶν ὁδῶν ἐλινοστάτουν. οἱ μὲν δὴ κύνες ἅμα ὑλακῇ διαθέοντες ἐφόβησαν τὰς αἶγας· αἱ δὲ τὰ ὀρεινὰ καταλιποῦσαι μᾶλλόν τι πρὸς τὴν θάλατταν ὥρμησαν. ἔχουσαι δὲ οὐδὲν ἐν ψάμμῳ τρώξιμον, ἐλθοῦσαι πρὸς τὴν ναῦν αἱ θρασύτεραι αὐτῶν τὴν λύγον τὴν χλωράν, ᾗ δέδετο ἡ ναῦς, ἀπέφαγον. ἦν δέ τι καὶ κλυδώνιον ἐν τῇ θαλάττῃ κινηθέντος ἀπὸ τῶν ὀρῶν πνεύματος. ταχὺ δὴ μάλα λυθεῖσαν αὐτὴν ὑπήνεγκεν ἡ παλίῤῥοια τοῦ κύματος καὶ ἐς τὸ πέλαγος μετέωρον ἔφερεν. αἰσθήσεως δὲ τοῖς Μηθυμναίοις γενομένης οἱ μὲν ἐπὶ θάλατταν ἔθεον, οἱ δὲ τοὺς κύνας συνέλεγον· ἐβόων δὲ πάντες, ὡς πάντας τοὺς ἐκ τῶν πλησίον ἀγρῶν ἀκούσαντας συνελθεῖν. ἀλλ' ἦν οὐδὲν ὄφελος· τοῦ γὰρ πνεύματος ἀκμάζοντος ἀσχέτῳ τάχει κατὰ ῥοῦν ἡ ναῦς ἐφέρετο. οἱ δὲ οὐν οὐκ ὀλίγων κτημάτων Μηθυμναῖοι στερόμενοι ἐζήτουν τὸν νέμοντα τὰς αἶγας· καὶ εὑρόντες τὸν Δάφνιν ἔπαιον, ἀπέδυον. εἷς δέ τις καὶ κυνόδεσμον ἀράμενος πε- 3

not. 4. Krüger ad Xen. Anab. III, 3, 4. — ἐς ἀνολκὴν λίθου ctt. acini in lignea dolia collecti pedibus solebant calcari (πατεῖσθαι) ac postea prelo contundi vel lapide, qui uvarum succum exprimeret funibus demissus. — τῆς πρ. ῥαγείσης (ῥήγνυμι.) Genit. absol. — ζήτησιν ἐποιοῦντο (Med.), ex solemni quadam periphrasi pro simplici ζητεῖν investigare. vid. M. §. 421. not. 4. — παρελάσαντες (ἐλαύνω.) i. q. supra §. 1. παραπλέοντες. — καλὸν — ἐς θήραν λ. aptum ad venationem leporum. — ὥστε ἐκδήσ. π. ut eam (σχοῖνον) tanquam rudentem religare potuissent (ad navem). sed hoc supplementum iam in voce πεῖσμα contineri vix est ut enotemus. — χλωρὰν μακράν. de Adi. sine coniunctionis vinculo positis v. M. §. 444, 3. — ἐκ τῆς πρ. v. ad §. 1. recte vertitur: navem summa de puppi ad terram religarunt. — ἐν τ. εὐκαίροις — τῶν ὁδῶν. Genitivus non raro ut h. l. ab Adiectivo pendet, ita ut genera utriusque vocis secum conspirent et vis partitiva a casu recto transeat ad regentem. B. §. 132. not. 2. M. §. 442, 1. 2. verte igitur: in iis, quae opportunae viderentur, viis. — μᾶλλόν τι. M. §. 487, 4. B. §. 150. p. 445. — δέδετο, pro ἐδέδετο. v. supra ad I, 3.

3. ἀπὸ τῶν ὀρ. ἀπὸ h. l. de parte, unde aliquid coeperit vel exstiterit. — ταχὺ δ. μ. etiam inverso ordine μάλα δ. τ. admodum celeriter. — ἐς τὸ πέλ. μετέωρον, in altum mare. — ὡς πάντας — συνελθεῖν, i. q. ὥστε c. Inf. v. supra ad Aesop. fab. II extr. Aelian. XXVI. — ἦν οὐδὲν ὄφ. nihil profuit. — κατὰ ῥοῦν, secundo flumine. sic κατ' οὖρον et alia. oppositum est παρὰ ῥοῦν, flumine adverso. — στερόμενοι, cum Genit. (χρημάτων), quam ob rem ordine inverso, στερ. Μηθυμναῖοι, verborum iunctura aptior videri possit. sed exempla ubique sunt huius generis hyperbati. v. Krüger ad Xen. Anab. V, 3, 4. 6, 20; ubi Soph. Phil. 1316 citatur: ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν τύχας δοθείσας ἔστ' ἀναγκαῖον φέρειν. comp. Bernh. w. Syntax. p. 459 sq. ceterum στέρεσθαι et στερεῖσθαι quid inter se differat, ex Lexicographis discas. — ἔπαιον, ἀπέδυον. Asyndeton, quo praeceps atque temeraria animorum concitatio effingitur. — εἷς — τις, unus

ριῆγε τὰς χεῖρας ὡς δήσων. ὁ δὲ ἐβόα τε παιόμενος καὶ ἱκέτευε τοὺς ἀγροίκους καὶ πρώτους τόν τε Λάμωνα καὶ τὸν Δρύαντα βοηθοὺς ἐπεκαλεῖτο. οἱ δὲ ἀντείχοντο σκιῤῥοὶ γέροντες καὶ χεῖρας ἐκ γεωργικῶν ἔργων ἰσχυρὰς ἔχοντες· καὶ ἠξίουν δικαιολογήσασθαι περὶ τῶν γεγενημένων.

4 Ταῦτα δὲ καὶ τῶν ἄλλων ἀξιούντων δικαστὴν καθίζουσι Φιλητᾶν τὸν βουκόλον· πρεσβύτατός τε γὰρ ἦν τῶν παρόντων καὶ κλέος εἶχεν ἐν τοῖς κωμήταις δικαιοσύνης περιττῆς. πρῶτοι δὲ κατηγόρουν οἱ Μηθυμναῖοι σαφῆ καὶ σύντομα βουκόλον ἔχοντες δικαστήν. „ἤλθομεν εἰς τούτους τοὺς ἀγροὺς θηρᾶσαι θέλοντες. τὴν μὲν οὖν ναῦν λύγῳ χλωρᾷ δήσαντες ἐπὶ τῆς ἀκτῆς κατελίπομεν· αὐτοὶ δὲ διὰ τῶν κυνῶν ζήτησιν ἐποιούμεθα θηρίων. ἐν τούτῳ πρὸς τὴν θάλατταν αἱ αἶγες τούτου κατελθοῦσαι τήν τε λύγον κατεσθίουσι καὶ τὴν ναῦν ἀπολύουσιν. εἶδες αὐτὴν ἐν τῇ θαλάττῃ φερομένην πόσων οἴει μεστὴν ἀγαθῶν; οἵα μὲν ἐσθὴς ἀπόλωλεν! οἷος δὲ κόσμος κυνῶν! ὅσον δὲ ἀργύριον! τοὺς ἀγροὺς ἄν τις τούτους ἐκεῖνα ἔχων ὠνήσατο. ἀνθ' ὧν ἀξιοῦμεν ἄγειν τοῦτον πονηρὸν ὄντα αἰπόλον, ὃς ἐπὶ τῆς θαλάττης νέμει τὰς αἶγας ὡς ναύτης."

5 Τοιαῦτα οἱ Μηθυμναῖοι κατηγόρησαν. ὁ δὲ Δάφνις διέκειτο μὲν κακῶς ὑπὸ τῶν πληγῶν, Χλόην δὲ ὁρῶν παροῦσαν πάντων κατεφρόνει καὶ ὧδε εἶπεν· „ἐγὼ νέμω τὰς αἶγας καλῶς. οὐδέποτε ἠτιάσατο κωμήτης οὐδὲ εἷς, ὡς ἢ κῆπον αἶξ ἐμὴ κατεβοσκήσατο ἢ ἄμπελον βλαστάνουσαν κατέκλασεν. οὗτοι δέ εἰσι κυνηγέται πονηροὶ καὶ κύνας ἔχουσι κακῶς πεπαιδευμένους, οἵτινες τρέχοντες πολλὰ καὶ ὑλακτοῦντες σκληρὰ κατεδίωξαν αὐτὰς ἐκ τῶν ὀρῶν καὶ τῶν πεδίων

---

aliquis. cf. M. §. 487. init. — ὡς δήσων. v. ad Aesop. fab. XII. — πρώτους, *ante omnes*, ἐξόχως. — σκιῤῥοὶ i. q. σκληροί, *duri senes*. — ἠξίουν δικ. περὶ τ. γ. *postulabant*, *ut quae accidissent iure dirimerentur*. ἠδέως ἄν σοι δικαιολογησαίμην, Prometheus adloquitur Mercurium apud Lucianum, ὑπὲρ τῶν ἐγκλημάτων.

4. καθίζουσι. vox de iudicio et iudice *constituendo* propria, unde iudices (οἱ καθήμενοι) oratoribus Atticis solemniter dicuntur καθῆσθαι, Romanis *sedere*. — βουκόλον ἔχοντες. Participium resolve: *quippe* quum *bubulco uterentur iudice*. haec enim causa est, cur *perspicua* ac *brevis* dicatur accusatio Methymnaeorum. — ζήτησιν π. vid. ad §. 2. — ἐν τούτῳ. est neutrius generis, nec secus interpreteris ἐν ᾧ. — πόσων οἴει. observa οἴει s. οἴεσθε sic mediae interrogationi interposita, quibus verbis quem adloquaris ipse ad rem positam iudicandam provocatur. similiter δοκεῖς. ὅταν ὁ πατὴρ μηδὲν τῶν καλῶν γιγνώσκῃ, τότε δοκεῖς παῖς πατρὶ συνεύξεται; Plato. neque aliena est haec ratio a Romanorum neque a nostratium more, ut quisque videt adtentior. — ὠνήσατο. Aor. Indicativum c. ἄν addita enunciatione conditionali, quae h. l. sita est in ἔχων Participio (εἴ τις ἐκεῖνα εἶχεν), verte: *sibi compararet*, *si quis possideret*. ceterum emendatius, certe ἀναλογικώτερον esset ἐωνήσατο. sed totam Aoristi formam recentius aevum sapere atque ita comparatam esse, ut rectius ab ea te abstineas, docent Grammatici. v. B. verb. anom. s. v. ὠνεῖσθαι. M. ibidem. — ἀνθ' ὧν. vid. B. §. 150. p. 445. M. §. 480. c.

5. διέκειτο — κακῶς, *male adficiebatur*. — κατεφρόνει, c. Genit. (πάντων). B. §. 132, 3. M. §. 378. not. 2. — ὡς, Coniunctio. v. B. §. 149. p. 432. — κακῶς πεπαιδευμένους, h. l. ad *animalia* translatum, dignum quod notetur. — τρέχοντες πολλά, *multum cursantes*. v. B. §. 128. not. 4.

ἐπὶ τὴν θάλατταν ὥσπερ λύκοι. ἀλλὰ ἀπέφαγον τὴν λύγον. οὐ γὰρ εἶχον ἐν ψάμμῳ πόαν ἢ κόμαρον ἢ θύμον. ἀλλὰ ἀπώλετο ἡ ναῦς ὑπὸ τοῦ πνεύματος καὶ τῆς θαλάττης. ταῦτα χειμῶνος, οὐκ αἰγῶν ἔστιν ἔργα. ἀλλὰ ἐσθὴς ἐνέκειτο καὶ ἄργυρος. καὶ τίς πιστεύσει νοῦν ἔχων, ὅτι τοσαῦτα φέρουσα ναῦς πεῖσμα εἶχε λύγον;"

Τούτοις ἐπεδάκρυσεν ὁ Δάφνις καὶ εἰς οἶκτον ὑπηγάγετο τοὺς 6
ἀγροίκους πολύν· ὥστε ὁ Φιλητᾶς ὁ δικαστὴς ὤμνυε Πᾶνα καὶ Νύμφας, μηδὲν ἀδικεῖν Δάφνιν, ἀλλὰ μηδὲ τὰς αἶγας, τὴν δὲ θάλατταν καὶ τὸν ἄνεμον, ὧν ἄλλους εἶναι δικαστάς. οὐκ ἔπειθε ταῦτα Φιλητᾶς Μηθυμναίοις λέγων· ἀλλ' ὑπ' ὀργῆς ὁρμήσαντες ἦγον τὸν Δάφνιν πάλιν καὶ συνδεῖν ἤθελον. ἐνταῦθα οἱ κωμῆται ταραχθέντες ἐπιπηδῶσιν αὐτοῖς ὡσεὶ ψᾶρες ἢ κολοιοί· καὶ ταχὺ μὲν ἀφαιροῦνται τὸν Δάφνιν ἤδη καὶ αὐτὸν μαχόμενον· ταχὺ δὲ ξύλοις παίοντες ἐκείνους εἰς φυγὴν ἔτρεψαν. ἀπέστησαν δὲ οὐ πρότερον, ἕστε τῶν ὅρων αὐτοὺς ἐξήλασαν ἐς ἄλλους ἀγρούς.

---

similiter ὑλακτ. σκληρά. — ὥσπερ λύκοι. Hom. Il. 11, 72. οἱ δὲ λύκοι ὥς θοῦνον. — ἀπέφαγον a v. ἀπεσθίω. — πόαν. Hesych. πόα βοτάνη ἑκάστη. — κόμαρον, *arbutum*, ut plerique Interpretes intelligunt. egregie quadrant ad hanc opinionem verba Virgilii Georg. III, 300. iubeo frondentia *capris arbuta sufficere.* Plin. H. N. XV, 28. *comaros.* apud nos alio nomine *arbutus* vocatur. Jacobs vertit: weil sie keinen *Klee* fanden.

6. τούτοις ἐπεδάκρ. sic Lat. *illacrimare alicui rei.* — ὑπηγάγετο (ὑπάγεσθαι, Med.). „in Act. et Med., sensim, blanditiis, callidis strophis aliquo perducere, sibi devincire, ad partes suas pertrahere." Reisk. Ind. Dem. s. v. — ὤμνυε. ὀμνύειν et ὀμνύναι cum Acc. vel Dei vel alius cuiusdam, *per quem quis iuraturus est.* M. §. 413, 10. — ὡσεὶ ψᾶρ. ἢ κολ. Hom. Il. 17, 755. ὥστε ψαρῶν νέφος ἔρχεται ἠὲ κολοιῶν. — ἤδη καὶ αὐτὸν μ. *iam et ipsum manus conserentem.* — ἕστε — ἐξήλασαν, *priusquam expulerunt*, i. e. eo ipso loco destiterunt insequi, quo Methymnaei fines aliarum gentium adtigerunt. de qua loci temporisque definitione quo minus ambigas vetat Indicativus. v. B. §. 146, 3.

ΑΘΗΝΑΙΟΥ ΝΑΥΚΡΑΤΙΤΟΥ.

I.

1 Ἐστάσπη νεώτερος ἦν ἀδελφὸς Ζαριάδρης, περὶ ὧν λέγουσιν οἱ ἐπιχώριοι, ὅτι ἐξ Ἀφροδίτης καὶ Ἀδώνιδος ἐγεννήθησαν. ἐκυρίευσε δὲ ὁ μὲν Ἐστάσπης Μηδίας καὶ τῆς ὑποκάτω χώρας, ὁ δὲ Ζαριάδρης
2 τῶν ὑπεράνω Κασπίων πυλῶν μέχρι τοῦ Ταναΐδος. τῶν δὲ ἐπέκεινα τοῦ Ταναΐδος Ὀμάρτῃ βασιλεῖ Μαραθῶν θυγάτηρ ἦν ὄνομα Ὀδάτις· περὶ ἧς ἐν ταῖς ἱστορίαις γέγραπται, ὡς ἄρα κατὰ τὸν ὕπνον ἰδοῦσα τὸν Ζαριάδρην ἐρασθείη, τὸ δ' αὐτὸ τοῦτο κἀκείνῳ πάθος συμπεσεῖν πρὸς αὐτήν. διετέλουν γοῦν ἀλλήλων ἐπιθυμοῦντες διὰ

Athenaeus (Ἀθήναιος) patriam, ut ipse refert (VII. p. 301. c. XI. p. 480. d.), habuit Naucratin, nobilissimum quondam emporium Aegypti intra ostia Nili fluminis. hac in urbe, benigno iam inde ab Amasis temporibus hospitio Graecorum illuc devertentium (Herod. II, 178.), floruisse Grammaticus inter et Commodi et Caracallae Imperatorum dominationem (181 — 211 p. Chr.) dicitur et opus suum confecisse, Δειπνοσοφιστῶν libros XV, quorum duo tamen priores cum tertii exordio in epitomen tantum coacti supersunt. continentur autem in hoc opere Δειπνοσοφιστοῦ, id quod inscriptio fere docere te possit, sermones convivales, quum fragmentis scriptorum aliunde non facile petendis, tum facetis sive fabulis sive historiis scatentes, quos auctor se inter coenam percepisse fingit. — Edd. Schweighaeuser. Argentorati 1801 — 1807. Voll. XIV. 8. Guil. Dindorf. Lips. 1827. Voll. III. 8.

I. (Lib. XIII. c. 35. p. 575.) Narrantur Odatidis, Omartae regis filiae, cum Zariadre nuptiae. ex qua pulcherrima fabula Wielandii ingenium singularia quaedam ornamenta sibi nobilique carmini suo epico quaesivisse non est quod dissimulemus.

1. τῆς ὑποκάτω χ. *subiectae regionis* dominus erat, i. e. australis regionis. septentrionalia enim altiora esse terrarum locis ad meridiem vergentibus et eminentiora antiquitus receptum (κατὰ τὸ μεσημβρινὸν ἡ γῆ βεβάρηται, ὅπου περισσή ἐστι τοῖς καρποῖς καὶ τῇ αὐξήσει. Democrit. ap. Plut. de plac. phil. III, 12.), etiam decursu fluminum in Maeotida et Pontum Euxinum scriptoribus probatur. Herod. I, 72. Virg. Georg. I, 240 — 41 Voss. ceterum ὑποκάτω et ὑπεράνω composita minus nota et seriori tantum Atticismo accepta. — Κασπίων πυλ. portae vel claustra Asiae, ut iure vocantur, intra Tauri montes altissimos et mare Caspium. Plin. H. N. V, 27. *etiam ubi dehiscit* (Taurus) *seque populis aperit, portarum tamen nomine unitatem sibi vindicat, quae alibi Armeniae, alibi Caspiae, alibi Ciliciae vocantur.*

2. τῶν δὲ ἐπ. τ. Τ. ctt. ordo verborum hic est: Ὀμάρτῃ βασιλεῖ τῶν ἐπέκεινα τοῦ Ταναΐδος (οἰκούντων) Μαραθῶν. — τὸν Ζ. Acc. pendet ab ἰδοῦσα, etenim ἐρᾶν et ἔρασθαι verba Genitivum flagitarent. — διετέλουν,

τὴν κατὰ τὸν ὕπνον φαντασίαν. ἦν δὲ ἡ Ὀδάτις καλλίστη τῶν κατὰ τὴν Ἀσίαν γυναικῶν, καὶ ὁ Ζαριάδρης δὲ ἦν καλός. πέμποντος οὖν τοῦ Ζαριάδρου πρὸς τὸν Ὀμάρτην καὶ φιλοτιμουμένου γῆμαι τὴν ἄνθρωπον, οὐ συνετίθετο ὁ Ὀμάρτης διὰ τὸ εἶναι ἀῤῥένων παίδων ἔρημος· ἤθελε γὰρ αὐτὴν δοῦναι ἑνὶ τῶν περὶ αὐτὸν οἰκείων. καὶ μετ' οὐ πολὺν χρόνον ὁ Ὀμάρτης συναγαγὼν τοὺς ἐκ τῆς βασιλείας δυνάστας καὶ φίλους καὶ συγγενεῖς ἐποιεῖτο τοὺς γάμους, οὐ προειπὼν ὅτῳ μέλλοι διδόναι τὴν θυγατέρα. ἀκμαζούσης οὖν τῆς μέθης εἰσκαλέσας τὴν Ὀδάτιν ὁ πατὴρ εἰς τὸ συμπόσιον εἶπεν ἀκουόντων τῶν συνδείπνων· „Ἡμεῖς, ὦ θύγατερ Ὀδάτι, νῦν ποιούμεθα τοὺς σοὺς γάμους. περιβλέψασα οὖν καὶ πληρώσασα δὸς ᾧ θέλεις γαμηθῆναι· τούτου γὰρ κεκλήσῃ γυνή.“ κἀκείνη περιβλέψασα πάντας ἀπῄει δακρύουσα, ποθοῦσα τὸν Ζαριάδρην ἰδεῖν· ἐπεστάλκει γὰρ αὐτῷ, ὅτι μέλλουσιν οἱ γάμοι συντελεῖσθαι. ὁ δὲ στρατοπεδεύων ἐπὶ τοῦ Ταναΐδος καὶ διαλαθὼν τὴν στρατοπεδείαν διέβη μετὰ μόνου τοῦ ἁρματηλάτου, καὶ νυκτὸς ὁρμήσας ἐπὶ τοῦ ἅρματος διῆλθε διὰ τῆς πόλεως, διώξας περὶ τοὺς ὀκτακοσίους σταδίους. πλησίον δὲ τῆς κώμης γενόμενος, ἐν ᾗ τοὺς γάμους συνετέλουν, καὶ καταλιπὼν ἔν τινι τόπῳ αὐτῷ ἅρματι τὸν ἁρματηλάτην, προῆγεν ἐνδεδυκὼς στολὴν Σκυθικήν. καὶ παρελθὼν εἰς τὴν αὐλήν, καὶ ἰδὼν τὴν Ὀδάτιν ἑστηκυῖαν πρὸ τοῦ κυλικείου καὶ δακρύουσαν κιρνῶσάν τε βραδέως τὴν φιάλην, εἶπε πλησίον στὰς παρ' αὐτήν· ὦ Ὀδάτι, πάρειμι δή σοι, καθάπερ ἠξίωσας, ἐγὼ Ζαριάδρης. ἡ δὲ κατανοήσασα ξένον ἄνδρα καὶ καλὸν καὶ ὅμοιον τῷ κατὰ τὸν ὕπνον ἑωραμένῳ, περιχαρὴς γενομένη δίδωσιν αὐτῷ τὴν φιάλην· καὶ ὃς ἁρπάσας αὐτὴν ἀπήγαγεν ἐπὶ τὸ ἅρμα καὶ

3 4 5

cum Part. B. §. 144. not. 8. — φαντασίαν. hac voce *quaelibet imago* sive *species* indicatur, quam quis mente concipit.

3. τὴν ἄνθρωπον, h. l. muliebris sexus est et nihil aliud quam ἡ γυνή, ut saepius apud Comicos et Oratores Atticos. cf. Herm. ad Viger. p. 77. — δοῦναι, *in matrimonium dare*, quae significatio iam inde ab Homero satis tralaticia. — τοὺς γάμους i. e. *ea convivia nuptialia ornanda curabat* (ἐποιεῖτο) rex, quibus filiam, ut modo dixerat, uni familiarium s. cognatorum (οἰκείων) collocatum iri sperabat. Articulo igitur, qui alias omitti posset, non facile supersedeas. — ἀκμαζούσης — μέθης, *quum ferverent pocula*. similiter ἀκμάζοντος πολέμου, σίτου ctt. ab aetate matura et vegeta translata sunt. — ἡμεῖς, i. e. ἐγώ, non sine respectu dignitatis. usus Tragicis familiarissimus.

4. ἀπῄει δακρ. *exiit lacrimans in atrium*, ut recte Schweighaeuser interpres. abacum enim, ubi misceretur vinum, non fuisse in cubiculo hospitali, videre licet §. 5. — ἐπεστάλκει. Thomas Mag. explicat: ἐπιστέλλειν οὐ μόνον τὸ διὰ γραμμάτων, ἀλλὰ καὶ τὸ αὐτοπροσώπως κελεῦσαι. h. l. *per litteras* vel *misso nuntio significaverat*. — διαλαθών, ut simplex λανθάνειν, cum Accus. *clam castris*, vel potius, *ita ut penitus lateret milites per castra dispositos*. — διώξας περὶ τ. ctt. διώκειν ἐνίοτε τὸ ἁπλῶς κατὰ σπουδὴν ἐλαύνειν. Phavorin. cf. Hom. Il. 22, 344. interpp. περί, i. e. *circiter*, de numeris minus certo definitis vel definiendis. Lobeck ad Phryn. p. 410. comp. ὡς, Krüg. ad Xen. Anab. III, 2, 42. εἰς, supra ad Aelian. XXIV. extr.

5. αὐτῷ ἅρματι, i. e. *una cum curru*. qua verborum iunctura σὺν praepositionem omittere solent. v. B. §. 150. p. 447. M. §. 405, 3. — προῆγεν, h. l. intrans. *ulterius provectus est*. comp. B. §. 130. not. 2. — στολήν. v. Krüg. ad Xen. Anab. I, 2, 27 et Ind. verbb. s. v. — κιρνῶσαν. v. B. verb. anom. s. v. κεράννυμι. — φιάλην. Casaubonus testimoniis firmat, videri moris fuisse, quum adfinitatem inter se divites contraherent, ut gener a socero, vel a sponsa sponsus phiala donaretur. — καὶ ὅς. B. §. 126, 5.

6 ἔφυγεν ἔχων τὴν Ὀδάτιν. οἱ δὲ παῖδες καὶ αἱ θεράπαιναι συνειδυῖαι τὸν ἔρωτα κατεσιώπησαν, καὶ κελεύοντος τοῦ πατρὸς καλεῖν, οὐκ ἔφασαν εἰδέναι ὅπου πεπόρευται. μνημονεύεται δὲ ὁ ἔρως οὗτος παρὰ τοῖς τὴν Ἀσίαν οἰκοῦσι βαρβάροις καὶ περισσῶς ἐστι ζηλωτός, καὶ τὸν μῦθον τοῦτον ζωγραφοῦσιν ἐν τοῖς ἱεροῖς καὶ τοῖς βασιλείοις, ἔτι δὲ ταῖς ἰδιωτικαῖς οἰκίαις· καὶ ταῖς ἑαυτῶν θυγατράσιν οἱ πολλοὶ τῶν δυναστῶν ὄνομα τίθενται Ὀδάτιν.

II.

1 Περὶ τῆς ὑπὸ Ἱέρωνος τοῦ Συρακουσίου κατασκευασθείσης νεώς, ἧς καὶ Ἀρχιμήδης ἦν ὁ γεωμέτρης ἐπόπτης, οὐκ ἄξιον εἶναι κρίνω σιωπῆσαι σύγγραμμα ἐκδόντος Μοσχίωνος τινός. — γράφει οὖν ὁ Μοσχίων οὕτως· — Ἱέρων ὁ τῶν Συρακουσίων βασιλεύς, ὁ πάντα Ῥωμαίοις φίλος, ἐσπουδάκει μὲν καὶ περὶ ἱερῶν καὶ γυμνασίων κατασκευάς, ἦν δὲ καὶ περὶ ναυπηγίας φιλότιμος πλοῖα σιτηγὰ κατα-
2 σκευαζόμενος, ὧν ἑνὸς τῆς κατασκευῆς μνησθήσομαι. — Συνήγαγε ναυπηγοὺς καὶ τοὺς ἄλλους τεχνίτας, καὶ καταστήσας ἐκ πάντων Ἀρχίαν τὸν Κορίνθιον ἀρχιτέκτονα παρεκάλεσε προθύμως ἐπιλαβέσθαι τῆς κατασκευῆς, προσκαρτερῶν καὶ αὐτὸς τὰς ἡμέρας. τὸ μὲν οὖν ἥμισυ τοῦ παντὸς τῆς νεὼς ἐν μησὶν ἓξ εἰργάσατο, καὶ ταῖς ἐκ μολίβου ποιηθείσαις κεραμίσιν ἀεὶ καθ' ὃ ναυπηγηθείη μέρος περιελαμβάνετο ὡς ἂν τριακοσίων ὄντων τῶν τὴν ὕλην ἐργαζομένων τεχνιτῶν χωρὶς τῶν ὑπηρετούντων. τοῦτο μὲν οὖν τὸ μέρος εἰς τὴν θάλασσαν καθέλκειν προσετέτακτο, τὴν λοιπὴν κατασκευὴν ἵν' ἐκεῖ λαμβάνῃ.

M. §. 484. b. — ἁρπάσας — ἀπήγαγεν, i. e. *rapuit et abduxit.* similis est copulatio Participii Aor. et Aor. Indic. §. 4. ὁρμήσας διῆλθε. vid. Herm. ad Viger. not. 224. p. 773 sq.

6. παῖδες, i. q. οἰκέται, θεράποντες. — καλεῖν, intell. τὴν Ὀδάτιν, quae Obiecti omissio hoc quidem loco paullo, ni fallor, durior atque insolentior. vid. tamen B. §. 130, 5. — οὐκ ἔφασαν. B. §. 148. not. 2. M. §. 608, 1. — ὅπου πεπόρ. pro solemni quadam Graecorum prolepsi vel notionum, ut ita dicam, synchysi. significatur enim ὅποι πεπόρευται καὶ ὅπου ἐστὶ (πεπορευμένη). exemplis firmavit Krüg. ad Anab. VI, 1, 23. — οἱ πολλοί, *plerique.* — ὄνομα τίθενται, cum Accus. vid. M. §. 420. not. 2. c.

II. (Lib. V. c. 40. p. 206. d sq.) Descriptio navis ab Hierone II Syracusarum tyranno constructae.

1. ἧς καὶ Ἀ. Coniunctio simul et copulat et intendit. — ἐκδόντος. ἐκδιδόναι saepe de libris, quos quis *edit*, vel ut h. l. de commentariis (σύγγραμμα), unde recte coniicias Moschionem, ceteroquin parum notum, in historiographos referendum esse. — πάντα Ῥ. φίλος. de Acc. πάντα v. B. §. 131, 6. M. §. 422. ad rem v. Liv. hist. 21, 50. 22, 37. quo auctore Romani frumento, vestimentis, aliis rebus ab Hierone donabantur. — φιλότιμος περί τινος, i. e. *perquam studiose versabatur circa aliquid.* — πλ. σιτηγά, i. q. *naves frumentariae* apud Caes. B. civ. 3, 96. — ὧν ἑνὸς τ. κατασκευῆς, tres Genitivi, qui inverso quam positi sunt ordine se mutuo excipiunt. cf. M. §. 380. not. 2. 3.

2. ἐπιλαβέσθαι Med. cum Genit. *adgredi aliquid*, Hand an etwas legen. v. Herm. Vig. p. 749. n. 169. — τὰς ἡμέρας. B. §. 131, 8. — ἐν μ. ἕξ. latiore et diuturno temporis spatio indicato Praepositio non facile abest, eo praesertim loco ubi numerus cardinalis nomini adiungitur. v. Krüg. ad Anab. V, 7, 17. Edit. 1830. — μολίβου, forma poetica. οἱ Ἀττικοί, ait Zonaras in Lex., μόλυβδον καὶ μολύβδινον. — καθ' ὃ ναυπηγ. *quatenus s. quantum compacta esset pars.* Viger. p. 29. — ὡς. vid. ad Aelian. IV.

ὡς δὲ περὶ τὸν καθελκυσμὸν αὐτοῦ τὸν εἰς τὴν θάλασσαν πολλὴ ζήτησις ἦν, Ἀρχιμήδης ὁ μηχανικὸς μόνος αὐτὸ κατήγαγε δι' ὀλίγων σωμάτων. κατασκευάσας γὰρ ἕλικα τὸ τηλικοῦτον σκάφος εἰς τὴν θάλασσαν κατήγαγε. πρῶτος δ' Ἀρχιμήδης εὗρε τὴν τῆς ἕλικος κατα- 3
σκευήν. ὡς δὲ καὶ τὰ λοιπὰ μέρη τῆς νεὼς ἐν ἄλλοις ἐξ μησὶ κατεσκευάσθη καὶ τοῖς χαλκοῖς ἥλοις πᾶσα περιελήφθη, ὧν οἱ πολλοὶ δεκάμνοοι ἦσαν, οἱ δ' ἄλλοι τούτων ἡμιόλιοι· διὰ τρυπάνων δ' ἦσαν οὗτοι ἡρμοσμένοι τοὺς σταμῖνας συνέχοντες· μολυβδίναις δὲ κεραμίσιν ἀπεστεγνοῦντο πρὸς τὸ ξύλον ὑποτιθεμένων ὀθονίων μετὰ πίττης· ὡς οὖν τὴν ἐκτὸς ἐπιφάνειαν ἐξειργάσατο, τὴν ἐντὸς διασκευὴν ἐξεπονεῖτο. ἦν δ' ἡ ναῦς τῇ μὲν κατασκευῇ εἰκόσορος, τριπάροδος δέ, 4
τὴν μὲν κατωτάτω ἔχουσα ἐπὶ τὸν γόμον, ἐφ' ἣν διὰ κλιμάκων πυκνῶν ἡ κατάβασις ἐγίνετο· ἡ δ' ἑτέρα τοῖς εἰς τὰς διαίτας βουλομένοις εἰσιέναι μεμηχάνητο, μεθ' ἣν ἡ τελευταία τοῖς ἐν τοῖς ὅπλοις τεταγμένοις. ἦσαν δὲ τῆς μέσης παρόδου παρ' ἑκάτερον τῶν τοίχων δίαιται τετράκλινοι τοῖς ἀνδράσι, τριάκοντα τὸ πλῆθος. ἡ δὲ ναυκληρικὴ δίαιτα κλινῶν μὲν ἦν πεντεκαίδεκα, θαλάμους δὲ τρεῖς εἶχε τρικλίνους, ὧν ἦν τὸ κατὰ τὴν πρύμναν ὀπτάνιον. ταῦτα δὲ πάντα δάπεδον εἶχεν ἐν ἀβακίσκοις συγκείμενον ἐκ παντοίων λίθων, ἐν οἷς ἦν κατεσκευασμένος πᾶς ὁ περὶ τὴν Ἰλιάδα μῦθος θαυμασίως· ταῖς τε κατασκευαῖς καὶ ταῖς ὀροφαῖς καὶ θυρώμασι δὲ πάντα ἦν ταῦτα πεπονημένα. κατὰ δὲ τὴν ἀνωτάτω πάροδον γυμνάσιον ἦν καὶ περίπατοι 5
σύμμετρον ἔχοντες τὴν κατασκευὴν τῷ τοῦ πλοίου μεγέθει, ἐν οἷς κῆποι παντοῖοι θαυμασίως ἦσαν περιβάλλοντες ταῖς φυτείαις, διὰ κερα-

---

de ἄν cum Part. v. B. §. 139, 14. M. §. 598. b. — δι' ὀλ. σωμάτων i. e. *paucorum servorum opera*, ut aetas Athenaei postulare videtur. vid. Lobeck ad Phryn. p. 378. Schweighaeuser interpretatur: *paucorum hominum ministerio.*

3. ἕλικος. quale fuerit instrumentum ἕλιξ, vix ambigi poterit ex iis, quae de navi quadam oneraria Hieronis ab Archimede deducenda refert Plut. vit. Marcelli c. 14. ἠρέμα τῇ χειρὶ σείων ἀρχήν τινα πολυσπάστου μηχανήματος προσηγάγετο τὴν ὁλκάδα. — ὡς δὲ καὶ ctt. periodus usque ad finem paragraphi excurrit, sed pluribus interiectis in epanalepsi particulae ὡς οὖν (*quum igitur*, *inquam* ctt. vid. M. §. 625.) inferuntur, quae protasin redintegrent, priusquam apodosis incipiat: τὴν ἐντὸς διασκ. — οἱ δ' ἄλλοι, *ceteri* (clavi) *vero*, cum Genit. v. B. §. 132. not. 6. — ἀπεστεγνοῦντο πρὸς τὸ ξ. i. e. clavi *ita ad lignum adstricti sunt, ut aqua penetrare non possit.*

4. τὴν μὲν κατωτάτω, intell. ὁδόν. quod ex τριπάροδος eliciendum est. — διὰ κλιμ. πυκνῶν, *per plures scalas*, quarum altera alteram ex ordine excipiebat. — διαίτας h. l. ut paullo inferius, *locum ubi convivium adparatur.* — τῆς μ. παρόδου. Genitivi pendent a voce τοίχων. comp. supra ad §. 1. — κλινῶν μ. ἦν πεντ. de Genit. v. ad Aelian. II. — θαλάμους, h. l. *cubicula.* — δάπεδον ἐν ἀβακίσκοις συγκ. ἐκ π. λίθων, *pavimentum tesserulis ex variis lapidibus compositum.* ἐν ἀβακίσκοις iunge cum δάπεδον, prorsus ut nos: *ein Fussboden in Mosaik.* sic recte dixeris: κόσμος ἐν λόγοις, ποτήριον s. κύλιξ ἐν ἀργύρῳ, ἐν χρυσῷ. — καὶ θυρώμασι δέ, *atque etiam fores quod attinet.* de qua copulandi ratione v. B. §. 149. s. v. δέ. de Dat. apud verbum pass. (πονεῖσθαι *diligenter elaborari.*) vid. M. §. 424, 4. not. 1.

5. κῆποι, proprie *horti oleribus arboribusque consiti.* Nutzgärten. comp. παράδεισος, Long. I, 2. — περιβάλλοντες cum Dativo, si quidem lectio vera, explicuerim: *cingere s. amicire plantationibus suis*, sc. τοὺς

μίδων μολυβδινῶν κατεστεγνωμένοι. ἔτι δὲ σκηναὶ κιττοῦ λευκοῦ καὶ ἀμπέλων, ὧν αἱ ῥίζαι τὴν τροφὴν ἐν πίθοις εἶχον γῆς πεπληρωμένοις, τὴν αὐτὴν ἄρδευσιν λαμβάνουσαι καθάπερ καὶ οἱ κῆποι. αὗται δὲ αἱ σκηναὶ συνεσκίαζον τοὺς περιπάτους. ἑξῆς δὲ τούτων . . . . σχολαστήριον ὑπῆρχε πεντάκλινον, ἐκ πύξου τοὺς τοίχους καὶ τὰ θυρώματα κατεσκευασμένον, βιβλιοθήκην ἔχον ἐν αὐτῷ, κατὰ δὲ τὴν ὀροφὴν πόλον, ἐκ τοῦ κατὰ τὴν Ἀχραδίνην ἀπομεμιμημένον ἡλιοτροπίου. ἦν δὲ καὶ βαλανεῖον τρίκλινον, πυρίας χαλκᾶς ἔχων τρεῖς καὶ λουτῆρα πέντε μητρητὰς δεχόμενον ποικίλον τοῦ Ταυρομενίτου λίθου. κατεσκεύαστο δὲ καὶ οἰκήματα πλείω τοῖς ἐπιβάταις καὶ τοῖς τὰς ἀντλίας
6 φυλάττουσι. χωρὶς δὲ τούτων ἱππῶνες ἦσαν ἑκατέρου τῶν τοίχων δέκα. κατὰ δὲ τούτους ἡ τροφὴ τοῖς ἵπποις ἔκειτο καὶ τῶν ἀναβατῶν καὶ τῶν παίδων τὰ σκεύη. ἦν δὲ καὶ ὑδροθήκη κατὰ τὴν πρώραν κλειστὴ δισχιλίους μετρητὰς δεχομένη, ἐκ σανίδων καὶ πίττης καὶ ὀθονίων κατεσκευασμένη. παρὰ δὲ ταύτην κατεσκεύαστο διὰ μολυβδώματος καὶ σανίδων κλειστὸν ἰχθυοτροφεῖον· τοῦτο δ' ἦν πλῆρες θαλάττης, ἐν ᾧ πολλοὶ ἰχθύες εὖ ἐτρέφοντο. ὑπῆρχον δὲ καὶ τῶν τοίχων ἑκατέρωθεν τροποὶ προεωσμένοι διάστημα σύμμετρον ἔχοντες, ἐφ' ὧν κατεσκευασμέναι ἦσαν ξυλοθῆκαι καὶ κρίβανοι καὶ ὀπτάνια καὶ μύλοι καὶ πλείους ἕτεραι διακονίαι· ἄτλαντές τε περιέτρεχον τὴν ναῦν ἐκτὸς ἐξαπήχεις, οἳ τοὺς ὄγκους ὑπειλήφεσαν τοὺς ἀνωτάτω καὶ τὸ τρίγλυφον, πάντες ἐν διαστήματι βεβῶτες. ἡ δὲ ναῦς πᾶσα οἰκείαις γραφαῖς ἐπεπόνητο. πύργοι τε ἦσαν ἐν αὐτῇ ὀκτὼ σύμμετροι τὸ μέγεθος τοῖς τῆς νεὼς ὄγκοις· δύο μὲν κατὰ πρύμναν, οἱ δ' ἴσοι κατὰ
7 πρώραν, οἱ λοιποὶ δὲ κατὰ μέσην ναῦν. — Ἐπὶ δὲ τῶν πύργων ἕκαστον ἀνέβαινον τέτταρες μὲν καθωπλισμένοι νεανίσκοι, δύο δὲ τοξόται. πᾶν δὲ τὸ ἐντὸς τῶν πύργων λίθων καὶ βελῶν πλῆρες ἦν. τεῖχος δὲ ἐπάλξεις ἔχον καὶ καταστρώματα διὰ νεὼς ἐπὶ κιλλιβάντων κατεσκεύαστο, ἐφ' οὗ λιθοβόλος ἐφειστήκει, τριτάλαντον λίθον ἀφ' αὑτοῦ ἀφιεὶς καὶ δωδεκάπηχυ βέλος. τοῦτο δὲ τὸ μηχάνημα κατε-

περιπάτους. — κιττοῦ λευκοῦ, cui opponitur κ. μελάμφυλλος. de hedera *alba* seu *pallente* exposuit Voss ad Virg. Ecl. III, 39. VII, 38. — ὑπῆρχε, h. l. idem quod παρῆν, *aderat*, *paratum erat*. — πόλον. πόλος h. l. ut ex seqq. adparet, i. q. γνώμων, eine Sonnenuhr. — πέντε μετρητὰς δεχ. i. e. ex nostra ratione: $165\frac{48}{115}$ Quart. — τοῦ Τ. λίθου, Genitivus *materiem* indicans, *ex qua quid confectum est*. B. §. 132, 4, 3. Articulus adponi debebat, quod de genere lapidum in vulgus noto dicitur. — ἐπιβάταις, *militibus classiariis*. recte Thomas Mag. ἀναβαίνω ἵππον, οὐκ ἐπιβαίνω· ἐπιβαίνω δὲ νεώς. hinc ἀναβάται paullo post *equites*.

6. ἑκατέρου, Genit. loci. M. §. 377, 1. fere idem valet quod infra τῶν τοίχων ἑκατέρωθεν. — ἔκειτο, h. l. ut Homerica illa κτήματα, κειμήλια κεῖται ἐν τόπῳ τινί, *depositum est aliquid*. — δισχιλίους μετρητὰς δεχ. i. e. $66152\frac{23}{69}$ Quart. — ἐν ᾧ. fortasse exspectaveris ἐν ᾗ, sed hic quidem recte istud, quum referendum sit ad *piscium vivarium aqua marina* (θαλάττης) *repletum*. — τροποὶ προεωσμένοι. Schweighäuser explicat: *tigna prominentia, super quibus ponitur carina*. Etym. M. ὁ τροπός· ἐφ' οὗ τίθεται ἡ τρόπις. vulgo legitur τρόποι. — ὑπειλήφεσαν (λαμβάνω.) *excipiebant s. sustinebant molem* (ὄγκους) *in summa navis parte*. — βεβῶτες, Perf. contr. (B. v. anom. βαίνω.) significatione intr. *collocari, esse*. sic *magistratus* dicuntur οἱ ἐν τέλει βεβῶτες sive ὄντες.

7. διὰ νεώς. διὰ de loco, *per navem*. — ἀφ' αὑτοῦ ἀφιείς, *sua ipsius vi atque impulsu eiaculans*. Catapulta autem (λιθοβόλος) duplex machina, quarum altera tela vel sagittas, altera vero lapides et saxa iaculari

σκεύασεν Ἀρχιμήδης. ἑκάτερον δὲ τῶν βελῶν ἔβαλλεν ἐπὶ στάδιον. μετὰ δὲ ταῦτα παρατρήματα ἐκ τροπῶν παχέων συγκείμενα διὰ αὐλύσεων χαλκῶν κρεμάμενα. τριῶν δὲ ἱστῶν ὑπαρχόντων ἐξ ἑκάστου κεραῖαι λιθοφόροι ἐξήρτηντο δύο, ἐξ ὧν ἅρπαγές τε καὶ πλίνθοι μολίβου πρὸς τοὺς ἐπιτιθεμένους ἠφίεντο. ἦν δὲ καὶ χάραξ κύκλῳ τῆς νεὼς σιδήρου πρὸς τοὺς ἐπιχειροῦντας ἀναβαίνειν κόρακές τε σιδηροῖ κύκλῳ τῆς νεώς, οἳ δι' ὀργάνων ἀφιέμενοι τὰ τῶν ἐναντίων ἐκράτουν σκάφη καὶ παρέβαλλον εἰς πληγήν. ἑκατέρῳ δὲ τῶν τοίχων ἑξήκοντα νεανίσκοι πανοπλίας ἔχοντες ἐφειστήκεσαν, καὶ τούτοις ἴσοι περί τε τοὺς ἱστοὺς καὶ τὰς λιθοφόρους κεραίας. ἦσαν δὲ καὶ κατὰ τοὺς ἱστοὺς ἐν τοῖς καρχησίοις οὖσι χαλκοῖς, ἐπὶ μὲν τοῦ πρώτου τρεῖς ἄνδρες, εἶθ' ἑξῆς καθ' ἕνα λειπόμενοι. — Ἄγκυραι δὲ ἦσαν ξύλιναι μὲν τέτταρες, σιδηραῖ δ' ὀκτώ. τῶν δὲ ἱστῶν ὁ μὲν δεύτερος καὶ τρίτος εὑρέθησαν· δυσχερῶς δὲ ὁ πρῶτος ἐν τοῖς ὄρεσι τῆς Βρεττίας εὑρέθη ὑπὸ συβώτου ἀνδρός· κατήγαγε δ' αὐτὸν ἐπὶ θάλατταν Φιλέας ὁ Ταυρομενίτης μηχανικός. ἡ δὲ ἀντλία, καίπερ βάθος ὑπερβάλλον ἔχουσα, δι' ἑνὸς ἀνδρὸς ἐξηντλεῖτο διὰ κοχλίου Ἀρχιμήδους ἐξευρόντος. ὄνομα δ' ἦν τῇ νηῖ Συρακοσία· ὅτε δ' αὐτὴν ἐξέπεμπεν ὁ Ἱέρων, Ἀλεξάνδρειαν αὐτὴν μετωνόμασεν. — Τῶν δὲ κατὰ ναῦν ἀδικημάτων δικαστήριον καθειστήκει· ναύκληρος, κυβερνήτης καὶ πρωρεύς, οἵπερ ἐδίκαζον κατὰ τοὺς Συρακοσίων νόμους. σίτου δ' ἐνεβάλλοντο εἰς τὴν ναῦν μυριάδες ἕξ, ταρίχων δὲ Σικελικῶν κεράμια μύρια, ἐρεῶν τάλαντα δισμύρια, καὶ ἕτερα δὲ φορτία δισμύρια· χωρὶς δὲ τούτων ὁ ἐπισιτισμὸς ἦν τῶν ἐμπλεόντων. ὁ δὲ Ἱέρων ἐπεὶ πάντας τοὺς λιμένας ἤκουε τοὺς μὲν ὡς οὐ δυνατοί εἰσι τὴν ναῦν δέχεσθαι, τοὺς δὲ καὶ ἐπικινδύνους ὑπάρχειν, διέγνω δῶρον αὐτὴν ἀποστεῖλαι Πτολεμαίῳ τῷ βασιλεῖ εἰς Ἀλεξάνδρειαν.

8

---

solebant. — ἐπὶ στάδιον. ἐπὶ h. l. de spatio, per quod tela vibrata tendunt. — ἐξ ἑκάστου — ἐξήρτητο, proprie: *ab uno quoque malorum pendebant tollenones*, i. e. adaptati erant malis. v. Achill. Tat. §. 4. similiter Val. Flaccus II, 85. Iuppiter — Iunonem volucri primam suspendit Olympo. — ἐκράτουν. κρατεῖν c. Accus. vid. ad Achill. Tat. extr. — πανοπλίας ἔχ. *ornati armatura totum corpus cingente.* comprehendebat illa clypeum, loricam, galeam. — καρχησίοις. „καρχήσιον, in maioribus navibus, impositum vel circumpositum θωράκιον, *corbem quadratam* habet, in qua stare nauta vel miles potest.“ Schweigh. — καθ' ἕνα in distributione vicem Adverbii gerit, *singulatim.*

8. εὑρέθησαν, intell. ῥαδίως, εὐχερῶς, aut simile quid illi voci contrarium, quae mox sequitur, δυσχερῶς. de quo genere Ellipséos et Graecis et Latinis satis familiari vid. M. §. 634, 3. Phaedri fabb. l. IV, 17, 31. ibique Burm. — Βρεττίας, i. e. *Bruttiae.* quam terram silvas tulisse arboribus praeclare consitas praeter alios auctor est Strabo l. VI. — συβώτου ἀνδρός. cf. ad Aesop. f. I. — ὑπερβάλλον, Part. ut saepe sensu intrans. *insignem, immensam* altitudinem. — Συρακοσία. ne quis Συρακουσία exspectet, tenendum etiam Syracusanos ex dialecto Dorica per o pronuntiasse, non per ου. — μυριάδες ἕξ, intell. μεδίμνων. — ὑπάρχειν. καὶ ἀντὶ τοῦ εἶναι. Thom. Mag. — διέγνω. διαγιγνώσκειν cum Infin. *decernere, constituere.*

ΛΟΥΚΙΑΝΟΥ ΣΑΜΟΣΑΤΕΩΣ

ΝΕΚΡΙΚΟΙ ΔΙΑΛΟΓΟΙ.

I. Πλούτων ἢ κατὰ Μενίππου.

1 Κροῖσος. Οὐ φέρομεν, ὦ Πλούτων, Μένιππον τουτονὶ τὸν κύνα παροικοῦντα, ὥστε ἢ ἐκεῖνόν ποι κατάστησον, ἢ ἡμεῖς μετοικήσομεν εἰς ἕτερον τόπον.

Πλ. Τί δ' ὑμᾶς δεινὸν ἐργάζεται ὁμόνεκρος ὤν;

Κρ. Ἐπειδὰν ἡμεῖς οἰμώζωμεν καὶ στένωμεν ἐκείνων μεμνημένοι τῶν ἄνω, Μίδας μὲν οὑτοσὶ τοῦ χρυσίου, Σαρδανάπαλος δὲ τῆς πολλῆς τρυφῆς, ἐγὼ δὲ τῶν θησαυρῶν, ἐπιγελᾷ καὶ ἐξονειδίζει ἀνδράποδα καὶ καθάρματα ἡμᾶς ἀποκαλῶν· ἐνίοτε δὲ καὶ ᾠδὴν ἐπιταράττει ἡμῶν τὰς οἰμωγάς· καὶ ὅλως λυπηρός ἐστι.

Lvcianvs circa Hadriani Imperatoris tempora Samosatis natus est, urbe Euphratem flumen, ubi Syriae fines intrat, adiacente, unde semet ipse Σύρον vocat τῶν Ἐπευφρατιδίων (Piscat. c. 19). postquam ex pueris excessit, Antiochiam petiit operam daturus dicendis causis et arti rhetoricae. cuius disciplinae spatiis decursis iter instituit per cultiores Europae Asiaeque partes, et flagrantiore philosophiae studio incensus ex variorum populorum moribus, legibus, institutis, quam ex ipsis philosophorum dictis capere maluit quod aliquando ad communem utilitatem transferret. sunt autem eius scripta quam plurima, Massiliae atque Athenis fere confecta, ut probatur doctis, quod diutius illic commorabatur, politissimis facetiis, ingeniosissima in moribus adumbrandis arte atque ea dicendi suavitate condita, quam adsiduo Platonis et Xenophontis imitatore haud prorsus indignam censeas. iam ex tanta copia librorum delibemus quae et ingenium Lucianeum, quantum pro ubertate eius fieri queat, maxime referre et usui nostro videantur adcommodata esse. ac primum quidem accipiatis dialogos mortuorum selectos, quibus νεκρομαντείαν Homericam (Odyss. XI.) comparare vos non poeniteat. — Edd. Tib. Hemsterhusius et I. Fr. Reitzius. Amstelod. 1743. 4 Vol. 4. I. Theoph. Lehmann. Lips. 1822. 7 Vol. 8.

I (dial. 2. ed. Hemst.), 1. τουτονί. de ί, quod dicunt, demonstrativo v. B. §. 80, 2. τὸν κύνα, vox solemnis de conviciatoribus et contumeliosis insectatoribus, ut Lat. *canis*. apte igitur de *Menippo*, a quo Satirae Menippeae dicuntur de cuiusque scriptis Diogenes Laert. τὰ βιβλία αὐτοῦ πολλοῦ καταγέλωτος γέμει. — ὥστε, cum Imperat. totam quae praecedit enunciationem respicit, ut commode interpreteris *ergo*, *quare*. v. Viger. p. 558. — δεινὸν ἐργάζεται, *vos adficit malis*, cum Acc. pers. et rei, ut ποιεῖν τινα κακά. rarius cum tertio casu personae, ut supra Aelian. XXVII. — καθάρματα *homines impuros*, *piaculares*. — ἡμῶν τ. οἰμ. v. ad dial. VI, 1. —

Πλ. Τί ταῦτά φασιν, ὦ Μένιππε; 2

Μέν. Ἀληθῆ, ὦ Πλούτων· μισῶ γὰρ αὐτοὺς ἀγεννεῖς καὶ ὀλεθρίους ὄντας, οἷς οὐκ ἀπέχρησε βιῶναι κακῶς, ἀλλὰ καὶ ἀποθανόντες ἔτι μέμνηνται καὶ περιέχονται τῶν ἄνω. χαίρω τοιγαροῦν ἀνιῶν αὐτούς.

Πλ. Ἀλλ' οὐ χρή· λυποῦνται γὰρ οὐ μικρῶν στερούμενοι.

Μέν. Καὶ σὺ μωραίνεις, ὦ Πλούτων, ὁμόψηφος ὢν τοῖς τούτων στεναγμοῖς; 3

Πλ. Οὐδαμῶς· ἀλλ' οὐκ ἂν ἐθελήσαιμι στασιάζειν ὑμᾶς.

Μέν. Καὶ μήν, ὦ κάκιστοι Λυδῶν καὶ Φρυγῶν καὶ Ἀσσυρίων, οὕτω γιγνώσκετε ὡς οὐδὲ παυσομένου μου· ἔνθα γὰρ ἂν ἴητε ἀπολουθήσω ἀνιῶν καὶ κατάδων καὶ καταγελῶν. 4

Κρ. Ταῦτα οὐχ ὕβρις;

Μέν. Οὔκ· ἀλλ' ἐκεῖνα ὕβρις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε, προσκυνεῖσθαι ἀξιοῦντες καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες καὶ τοῦ θανάτου τὸ παράπαν οὐ μνημονεύοντες. τοιγαροῦν οἰμώζετε πάντων ἐκείνων ἀφῃρημένοι. 5

Κρ. Πολλῶν γε, ὦ θεοί, καὶ μεγάλων κτημάτων!

Μίδας. Ὅσου μὲν ἐγὼ χρυσοῦ!

Σαρδανάπαλος. Ὅσης δ' ἐγὼ τρυφῆς!

Μέν. Εὖγε, οὕτω ποιεῖτε, ὀδύρεσθε μὲν ὑμεῖς, ἐγὼ δὲ τὸ ΓΝΩΘΙ ΣΑΥΤΟΝ πολλάκις συνείρων ἐπάσομαι ὑμῖν· πρέποι γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπᾳδόμενον. 6

II. Ἑρμοῦ καὶ Χάρωνος.

Ἑρμῆς. Λογισώμεθα, ὦ πορθμεῦ, εἰ δοκεῖ, ὁπόσα μοι ὀφείλεις ἤδη, ὅπως μὴ αὖθις ἐρίζωμεν περὶ αὐτῶν. 1

Χάρ. Λογισώμεθα, ὦ Ἑρμῆ· ἄμεινον γὰρ ὡρίσθαι περὶ αὐτῶν καὶ ἀπραγμονέστερον.

---

2. φασίν. notum est; neutra pluralia verbo singulari uti, sed ubique legem istam etiam ab optimis scriptoribus laesam deprehendes, nec iis tantum locis, ubi de animantibus agitur. vid. infra dial. IV, 2. ὅμοια ἐλέγοντο. B. §. 129. not. 1. — χαίρω, cum Part. v. Herm. ad Vig. p. 766.

3. ὁμόψηφος — στεναγμοῖς, *qui consentias cum istorum suspiriis.* Romani proxime absunt ab illo dicendi usu. Plin. Ep. I, 2, 5. confitebor me — ab editione non abhorrere, si modo tu fortasse errori nostro *album calculum adieceris.* ceterum ὁμόψηφος vox rarior, cui Atticistas alterum compositum σύμψηφος praetulisse suspicatur Lobeck ad Phryn. p. 2.

4. Λυδῶν — Φρυγῶν — Ἀσσυρίων. gentilibus compellantur Croesus, Midas, Sardanapalus, non nominatim, quo contemtiores adparerent. tanta enim paulatim mancipiorum copia ex illis gentibus provenerat, ut Lydus, Phryx, Assyrius (Syrus) pro vilissimis quibusque servis essent nationibusque servituti natis. — οὕτω γιγν. ὡς ctt. i. e. *ita pro rato certoque apud vos habeatis, quasi desiturus ego quidem nullo pacto sim.* ὡς igitur cum Genit. abs. iunctum de re, quam alios credere volo. ὡς ἐμοῦ ἰόντος ὅπῃ ἂν καὶ ὑμεῖς οὕτω τὴν γνώμην ἔχετε. Xenoph. Anab. I, 3, 6. — τ. οὐχ ὕβρις; comp. Terentii verba: *quid est, si hoc non contumelia est?*

5. οὔκ. vid. B. §. 26, 5. M. §. 608. e.

6. γνῶθι σαυτόν. hoc praeceptum in templo Delphico inscriptum Chiloni Lacedaemonio tribuunt. τὸ γνῶθι σαυτὸν καὶ τὸ σωφρόνει ἐστι μὲν ταὐτόν. Plato. ceterum lege Mureti praeclaram *de sui cognitione* orationem. opp. omnia I. p. 84.

Ἑρμ. Ἄγκυραν ἐντειλαμένῳ ἐκόμισα πέντε δραχμῶν.

Χάρ. Πολλοῦ λέγεις.

Ἑρμ. Νὴ τὸν Ἀΐδωνέα, τῶν πέντε ὠνησάμην καὶ τροπωτῆρα δύο ὀβολῶν.

Χάρ. Τίθει πέντε δραχμὰς καὶ ὀβολοὺς δύο.

2 Ἑρμ. Καὶ ἀκέστραν ὑπὲρ τοῦ ἱστίου· πέντε ὀβολοὺς ἐγὼ κατέβαλον.

Χάρ. Καὶ τούτους προστίθει.

Ἑρμ. Καὶ κηρόν, ὡς ἐπιπλάσαι τοῦ σκαφιδίου τὰ ἀνεῳγότα, καὶ ἧλους δὲ καὶ καλώδιον, ἀφ' οὗ τὴν ὑπέραν ἐποίησας, δύο δραχμῶν ἅπαντα.

Χάρ. Εὖγε, ἄξια ταῦτα ὠνήσω.

3 Ἑρμ. Ταῦτά ἐστιν, εἰ μή τι ἄλλο ἡμᾶς διέλαθεν ἐν τῷ λογισμῷ. πότε δ' οὖν ταῦτ' ἀποδώσειν φῄς;

Χάρ. Νῦν μέν, ὦ Ἑρμῆ, ἀδύνατον. ἢν δὲ λοιμός τις ἢ πόλεμος καταπέμψῃ ἀθρόους τινάς, ἐνέσται τότε ἀποκερδᾶναι ἐν τῷ πλήθει παραλογιζόμενον τὰ πορθμία.

4 Ἑρμ. Νῦν οὖν ἐγὼ καθεδοῦμαι τὰ κάκιστα εὐχόμενος γενέσθαι, ὡς ἂν ἀπὸ τούτων ἀπολαύοιμι.

Χάρ. Οὐκ ἔστιν ἄλλως, ὦ Ἑρμῆ. νῦν δ' ὀλίγοι, ὡς ὁρᾷς, ἀφικνοῦνται ἡμῖν· εἰρήνη γάρ.

5 Ἑρμ. Ἄμεινον οὕτως, εἰ καὶ ἡμῖν παρατείνοιτο ὑπὸ σοῦ τὸ ὄφλημα. πλὴν ἀλλ' οἱ μὲν παλαιοί, ὦ Χάρων, οἶσθα οἷοι παρεγίνοντο,

---

II (4. Hemst.), 1. ἐντειλαμένῳ, *tibi mandanti* ancoram. formam ἐντείλασθαι, a veteribus Grammaticis repudiatam, certis exemplis firmavit Pierson ad Moer. p. 136. — π. δραχμῶν, Genitivus pretii, ut mox πολλοῦ λέγεις, intell. μισθοῦ τετιμημένην. B. §. 132, 6, 2. M. §. 364. — τῶν πέντε i. e. *illis, quas dixi, quinque drachmis.* M. §. 267. — τροπωτῆρα. τροπωτὴρ ὁ κατέχων τὴν κώπην δεσμός. Schol. — τίθει. τιθέναι pro λογίζεσθαι, *ponere, in rationes referre.* Hemst. comp. ἀπογράφεσθαι Aelian. XV.

2. ἀκέστραν, pendet ab ἐκόμισα, aut si mavis ab ὠνησάμην. — κατέβαλον *persolvi.* cf. ad Long. II, 1 extr. — ὡς cum Inf. ἐπιπλάσαι (B. §. 92. not. 2.) *ad oblinendas rimas, um zu* verstopfen, quod diserte damnatum est a Grammaticis, ubi *consilii vim* habet particula illa. certe Optativus ab usu optimorum auctorum h. l. minus abhorreret, tamen corrigere non ausit qui miram illius praecepti inconstantiam etiam in libris scriptis obtinere cognoverit. Xenoph. Anab. IV, 3, 29 omnium consensu legimus: παρήγγειλεν — πάντας διαβαίνειν ἢ ἕκαστος τὴν τάξιν εἶχεν, ὡς μὴ ἐμποδίζειν ἀλλήλους. — τὰ ἀνεῳγότα sensu intrans. *loca patentia, dirempta* navigii, quibus ceram pice temperatam illinere solebant. — ἄξια i. q. εὔωνα.

3. διέλαθεν c. Acc. vid. B. §. 131. not. 1. — ἀθρόους τινάς. Pronomen indefinitum cum modestia quadam Adiectivis numerum multitudinemve indicantibus adiungitur: *confertos nescio quos*, s. *quales forte sint.* similiter πολλοί τινες, ὀλίγοι τινές. — ἐνέσται *in mea erit potestate.* B. p. 449.

4. καθεδοῦμαι. v. B. §. 95. not. 16. εὐχόμενος. εὔχομαί σοι τάδε ἀντὶ τοῦ καταρῶμαι (imprecor). Suid. s. v. εὔχομαι.

5. εἰ καὶ *etsi*, wenn auch immer (v. Herm. ad Viger. p. 832.) cum Optat. *sequente Indicativo*, vel ut h. l. ubi minus usitate apodosis excipit protasin: εἰ καὶ — παρατείνοιτο, (ἀλλ' ὅμως) ἄμεινον οὕτως (ἔσται). Lucian. dial. deor. 8. ἤκω ἔχων τὸν πέλεκυν ὀξύτατον, εἰ καὶ λίθον δέοι διακόψαι. ibid. 20. εἰ καὶ — ἐπιστήσειας, βαδιοῦμαι. cf. M. §. 524. not. 3. Herm. l. c. p. 834. 812. 830. — πλὴν ἀλλὰ *verumtamen.* — παρεγίνοντο,

ἀνδρεῖοι ἅπαντες, αἵματος ἀνάπλεῳ καὶ τραυματίαι οἱ πολλοί· νῦν δὲ ἢ φαρμάκῳ τις ὑπὸ τοῦ παιδὸς ἀποθανὼν ἢ ὑπὸ τῆς γυναικός, ἢ ὑπὸ τρυφῆς ἐξῳδηκὼς τὴν γαστέρα καὶ τὰ σκέλη, ὠχροὶ ἅπαντες καὶ ἀγεννεῖς οὐδὲ ὅμοιοι ἐκείνοις. οἱ δὲ πλεῖστοι αὐτῶν διὰ χρήματα ἤκουσιν ἐπιβουλεύσοντες ἀλλήλοις, ὡς ἐοίκασι.

Χάρ. Πάνυ γὰρ περιπόθητά ἐστι ταῦτα.

Ἑρμ. Οὐκοῦν οὐδ' ἐγὼ δόξαιμι ἂν ἁμαρτάνειν πικρῶς ἀπαιτῶν τὰ ὀφειλόμενα παρὰ σοῦ.

III. Κνήμωνος καὶ Δαμνίππου.

Κνήμων. Τοῦτο ἐκεῖνο τὸ τῆς παροιμίας, Ὁ νεβρὸς τὸν λέοντα. 1

Δάμ. Τί ἀγανακτεῖς, ὦ Κνήμων;

Κν. Πυνθάνῃ ὅ τι ἀγανακτῶ; κληρονόμον ἀκούσιος καταλέλοιπα κατασοφισθεὶς ὁ ἄθλιος, οὓς ἐβουλόμην ἂν μάλιστα σχεῖν τἀμὰ παραλιπών.

Δάμ. Πῶς τοῦτ' ἐγένετο;

Κν. Ἑρμόλαον τὸν πάνυ πλούσιον ἄτεκνον ὄντα ἐθεράπευον ἐπὶ θανάτῳ, κἀκεῖνος οὐκ ἀηδῶς τὴν θεραπείαν προσίετο. ἔδοξε δή μοι καὶ σοφὸν τοῦτ' εἶναι, θέσθαι διαθήκας ἐς τὸ φανερόν, ἐν αἷς ἐκείνῳ καταλέλοιπα τἀμὰ πάντα, ὡς κἀκεῖνος ζηλώσειε καὶ τὰ αὐτὰ πράξειε. 2

Δάμ. Τί οὖν δὴ ἐκεῖνος;

Κν. Ὅ τι μὲν οὖν αὐτὸς ἐνέγραψε ταῖς ἑαυτοῦ διαθήκαις οὐκ οἶδα· ἐγὼ γοῦν ἄφνω ἀπέθανον τοῦ τέγους μοι ἐπιπεσόντος. καὶ νῦν Ἑρμόλαος ἔχει τἀμὰ ὥσπερ τις λάβραξ καὶ τὸ ἄγκιστρον τῷ δελέατι συγκατασπάσας.

---

alii παρεγίγνοντο. vid. ad Achill. Tat. §. 1. Buttm. Gr. uber. II. p. 96. — ἐξῳδηκώς (οἰδέω, οἰδαίνω), sensu intrans. *tumefactus*. — παρὰ σοῦ. de Accentu voculae encliticae v. B. §. 72. not. 3.

III (8. Hemst.), 1. τοῦτο ἐκεῖνο, formula Aristophani comico familiaris atque ex ipsa vita petita. Cnemon quod animo secum volvit ita eloquitur, ut praecipite quadam indignatione ad verba illa prorumpat et caeco ardore abreptus magis innuat quam indicet, quid rei sit. Lat. *atat hoc illud est*. ἐκεῖνο igitur hac iunctura de eo, quod in oratione sequitur. exempla praebet Reisig coniect. in Arist. p. 279. — τὸ c. Genit. v. B. §. 128. not. 2. — ὁ νεβρὸς ctt. proverbia fere mutila et aliqua parte truncata adferuntur veteribus. h. l. intell. αἱρεῖ. vides igitur dicto illo significari quod παρὰ προσδοκίαν accidat. — κατασοφισθεὶς h. l. sensu pass. *deceptus*. — ἐβουλόμην ἄν, *vellem, exoptarem*. M. §. 509. a.

2. ἐθεράπευον c. Acc. de iis, qui officiose frequentant s. observant principes et praefectos. idem de captando *caelibis* obsequio praeceptum habes ap. Hor. Sat. II, 5, 47. *leniter in spem adrepe officiosus*. ἐπὶ θανάτῳ i. e. *spe mortis, ea exspectatione ut moriatur*. vid. M. §. 585. β. — προσίετο. vid. ad Aelian. III extr. — καὶ σοφ. *insuper*, obenein. — θέσθαι — ἐς τὸ φανερόν, *in publicum proferre, cum pluribus communicare*, ut recte Hemsterhusius. — καὶ τὸ ἄγκιστρ. ctt. sunt haec avidissimae voracitatis, quibus satis adposita comp. ὃν (τυρὸν) οὗτος αὐτοῖς τοῖς ταλάροις κατήσθιεν. Arist. Ran. 560. hoc quidem loco metaphora hami ab ἀγκιστροφάγῳ praerosi percommode transfertur ad captatorem nostrum deceptum. comp. Hor. l. c. 24 sq.

Δάμ. Οὐ μόνον, ἀλλὰ καὶ αὐτόν σε τὸν ἁλιέα· ὥστε σόφισμα κατὰ σαυτοῦ συντέθεικας.

Κυ. Ἔοικα· ὀλμώζω τοιγαροῦν.

IV. Διογένους καὶ Ἀλεξάνδρου.

1 *Διογ.* Τί τοῦτο, ὦ Ἀλέξανδρε; καὶ σὺ τέθνηκας ὥσπερ καὶ ἡμεῖς ἅπαντες;

Ἀλ. Ὁρᾷς, ὦ Διόγενες· οὐ παράδοξον δέ, εἰ ἄνθρωπος ὢν ἀπέθανον.

Διογ. Οὐκοῦν ὁ Ἄμμων ἐψεύδετο λέγων ἑαυτοῦ σε εἶναι υἱόν· σὺ δὲ Φιλίππου ἄρα ἦσθα;

Ἀλ. Φιλίππου δηλαδή· οὐ γὰρ ἂν ἐτεθνήκειν Ἄμμωνος ὤν.

2 *Διογ.* Καὶ μὴν καὶ περὶ τῆς Ὀλυμπιάδος ὅμοια ἐλέγοντο, δράκοντα ὁμιλεῖν αὐτῇ καὶ βλέπεσθαι ἐν τῇ εὐνῇ, εἶτα οὕτω σε τεχθῆναι· τὸν δὲ Φίλιππον ἐξηπατῆσθαι οἰόμενον πατέρα σου εἶναι.

Ἀλ. Κἀγὼ ταῦτα ἤκουον, ὥσπερ σύ· νῦν δὲ ὁρῶ, ὅτι οὐδὲν ὑγιὲς οὔτε ἡ μήτηρ, οὔτε οἱ τῶν Ἀμμωνίων προφῆται ἔλεγον.

Διογ. Ἀλλὰ τὸ ψεῦδος αὐτῶν οὐκ ἄχρηστόν σοι, ὦ Ἀλέξανδρε, πρὸς τὰ πράγματα ἐγένετο· πολλοὶ γὰρ ὑπέπτησσον θεὸν εἶναί σε νομίζοντες. ἀτὰρ εἰπέ μοι, τίνι τὴν τοσαύτην ἀρχὴν καταλέλοιπας;

3 *Ἀλ.* Οὐκ οἶδα, ὦ Διόγενες· οὐ γὰρ ἔφθασα ἐπισκῆψαί τι περὶ αὐτῆς, ἢ τοῦτο μόνον, ὅτι ἀποθνήσκων Περδίκκᾳ τὸν δακτύλιον ἐπέδωκα. πλὴν ἀλλὰ τί γελᾷς, ὦ Διόγενες;

Διογ. Τί γὰρ ἄλλο ἢ ἀνεμνήσθην, οἷα ἐποίει ἡ Ἑλλάς, ἄρτι σε παρειληφότα τὴν ἀρχὴν κολακεύοντες καὶ προστάτην αἱρούμενοι καὶ στρατηγὸν ἐπὶ τοὺς βαρβάρους, ἔνιοι δὲ καὶ τοῖς δώδεκα θεοῖς

IV (13. Hemst.), 1. εἰ — ἀπέθανον. B. §. 149 s. v. εἰ. M. §. 617. p. 1251. nec mirum *me obiisse* s. *quod obii.* sed et Latine recte dixeris *si.* — ἂν ἐτεθνήκειν. B. §. 139, 10.

2. ὅμοια ἐλέγ. similia ferebantur atque Ammonius Iuppiter de se praedicaverat — λέγων ἑαυτοῦ σε εἶναι υἱόν. comparatio igitur consistit in Ammone et dracone, quem Olympias mater genitorem proclamaverat, nec opus ut locum turbemus cum Hemst. scribentes aut παρὰ τῆς Ὀλ., aut ὁποῖα ἐλέγοντο; — Ἀμμωνίων προφ. Ammonii, gens religiosissimis caerimoniis quasi arce atque nemoribus, quae incolebant, Oasi magnae confinibus circumvallata, Herodoto teste (II, 42.) Αἰγυπτίων τε καὶ Αἰθιόπων ἄποικοι habentur. — οὐκ ἄχρηστόν σοι ctt. persimilia habes apud Curtium VIII, 8, 15. Ammon *obtulit nomen filii mihi. recipere ipsis rebus, quas agimus, haud alienum fuit.*

3. οὐ γ. ἔφθασα ἐπισκῆψαι ctt. notanda est structura verbi φθάνειν c. Infin., nondum satis, quod sciam, a Grammaticis explorata, tametsi exempla bene multa et ipsa rei natura arguunt Participium, quod immerito Hemst. huic loco obtrudit, ita explicandum fore, quasi dixisset: οὐ γ. ἔφθ. ἐπισκήψας καὶ ἀπέθανον, *vix mandaveram, quum mortuus sum;* iam vero: *nihil enim,* ait, *ut mandaretur de imperio providi, nisi hoc solum* ctt. vel etiam: *non enim occupavi mandare.* quibus indicat se *per repentinam mortem* iam non potuisse quidquam statuere. — πλὴν ἀλλά. v. ad dial. II, 5. — κολακεύοντες, mox αἱρούμενοι, Participia pluralia generis masc. de singulari nomine collectivo gen. femin., quae *generis* Enallage non facile fit nisi plurali numero. vid. tamen Hom. Od. 5, 491—93. — τοῖς δώδεκα θ. Aelian. var. hist. 5, 12 ait: ὁ Δημάδης (orator Att. Demosthenis adversarius) ἐψηφίσατο θεὸν τὸν Ἀλέξανδρον τρισκαιδέκατον.

προστιθέντες καὶ νεὼς οἰκοδομούμενοι καὶ θύοντες ὡς δράκοντος υἱῷ. ἀλλ' εἰπέ μοι, ποῦ σε οἱ Μακεδόνες ἔθαψαν;

Ἀλ. Ἔτι ἐν Βαβυλῶνι κεῖμαι τρίτην ταύτην ἡμέραν· ὑπισχνεῖ- 4
ται δὲ Πτολεμαῖος ὁ ὑπασπιστής, ἤν ποτε ἀγάγῃ σχολὴν ἀπὸ τῶν θο-
ρύβων τῶν ἐν ποσίν, ἐς Αἴγυπτον ἀπαγαγών με θάψειν ἐκεῖ, ὡς γε-
νοίμην εἷς τῶν Αἰγυπτίων θεῶν.

Διογ. Μὴ γελάσω οὖν, ὦ Ἀλέξανδρε, ὁρῶν καὶ ἐν ᾅδου ἔτι 5
σε μωραίνοντα καὶ ἐλπίζοντα Ἄνουβιν ἢ Ὄσιριν γενέσθαι; πλὴν ἀλ-
λὰ ταῦτα μέν, ὦ θειότατε, μὴ ἐλπίσῃς· οὐ γὰρ θέμις ἀνελθεῖν τινα
τῶν ἅπαξ διαπλευσάντων τὴν λίμνην καὶ ἐς τὸ εἴσω τοῦ στομίου πα-
ρελθόντων· οὐ γὰρ ἀμελὴς ὁ Αἰακός, οὐδ' ὁ Κέρβερος εὐκαταφρόνη-
τος. ἐκεῖνο δέ γε ἡδέως ἂν μάθοιμι παρὰ σοῦ, πῶς φέρεις, ὁπόταν 6
ἐννοήσῃς, ὅσην εὐδαιμονίαν ὑπὲρ γῆς ἀπολιπὼν ἀφῖξαι, σωματοφύ-
λακας καὶ ὑπασπιστὰς καὶ σατράπας καὶ χρυσὸν τοσοῦτον καὶ ἔθνη
προσκυνοῦντα καὶ Βαβυλῶνα καὶ Βάκτρα καὶ τὰ μεγάλα θηρία καὶ
τιμὴν καὶ δόξαν καὶ τὸ ἐπίσημον εἶναι ἐξελαύνοντα, διαδεδεμένον
ταινίᾳ λευκῇ τὴν κεφαλήν, πορφυρίδα ἐμπεπορπημένον· οὐ λυπεῖ
ταῦτά σε ὑπὸ τὴν μνήμην ἰόντα; τί δακρύεις, ὦ μάταιε; οὐδὲ ταῦτά
σε ὁ σοφὸς Ἀριστοτέλης ἐπαίδευσε μὴ οἴεσθαι βέβαια εἶναι τὰ παρὰ
τῆς τύχης;

Ἀλ. Σοφὸς ἁπάντων ἐκεῖνος κολάκων ἐπιτριπτότατος ὤν; ἐμὲ 7
μόνον ἔασον τὰ Ἀριστοτέλους εἰδέναι, ὅσα μὲν ἤτησε παρ' ἐμοῦ, οἷα
δὲ ἐπέστελλεν, ὡς δὲ κατεχρῆτό μου τῇ περὶ παιδείαν φιλοκιμίᾳ θω-

---

4. κεῖμαι, eodem sensu quo supra Aelian. XXV, ubi vid. not. eodem Aeliano teste (var. hist. 12, 64.) rex τριάκοντα ἡμέρας κατελέλειπτο ἀκηδής. — τ. ἐν ποσίν, de turbis quae ante pedes sunt i. e. proxime instant et urgent. — ἐς Αἴγυπτον ctt. cf. Sueton. Octav. c. 18. Lucan. Pharsal. 10, 272. *summus Alexander regum, quos Memphis adorat.*

5. μὴ γελάσω *non ego rideam —?* nos: ich sollte nicht lachen? de μὴ interrogativo v. B. §. 148, 5. M. §. 608. not. 3. — μὴ ἐλπίσῃς, idem fere valet quod μὴ particula prohibitiva cum Imperativo praes. temporis *ne speres, noli sperare.* B. §. 148, 3. Herm. ad Viger. p. 809. — οὐ γ. θέμις, est ex iis nominibus quibus ἐστὶν addi minus solitum. v. B. §. 129. not. 7. — ἐς τὸ εἴσω τ. στ. possit aliquid offensionis habere. ne vero alterutrum otiose tibi positum videatur, notandum duas h. l. notiones pro alacriori Graecorum ingenio in unum confluere; quum Lucianus de iis dicturus sit, qui *intra ostium ingressi Tartaro vere contineantur atque in eo commorentur.* hinc factum ut praecipiant Grammatici Graeci: εἴσω καὶ ἐπὶ κινήσεως καὶ ἐπὶ στάσεως. Thom. Mag. quae ratio quantumvis naturae repugnet, tamen nostro loco aeque per ἐς τὸ ἔνδον τοῦ στομίου licet interpreteris, atque illo Platonico οἱ οἰκοῦντες εἴσω τῆς ἀγορᾶς, et Demosth. οἱ εἴσω Πυλῶν Ἕλληνες. comp. κάτω supra ad Ach. Tatium §. 2. Lobeck ad Phryn. p. 127 sq. — σύ — ἀμελής. Aeacus, pervigil custos portae infernalis, ἄπειμι, inquit, μή καί τις ἡμᾶς νεκρῶν λάθῃ διαφυγών. Luc. dial. 20, 6.

6. παρὰ σοῦ. vid. ad dial. II. extr. — μεγάλα θηρία. Schol. τοὺς ἐλέφαντας λέγει. — ἐξελαύνοντα. vox propria de iis, qui pompa regali cum curribus, equitibus, peditibus provehebantur. hinc ἐξέλασις pompa solemnis. utrumque legitur Xenoph. Cyrop. 8, 3, 1. — διαδεδεμένον — κεφαλήν. comp. Virgilianum *vittis et sacra redimitus tempora lauro.*

7. ἐμὲ μ. ἔασον — εἰδέναι. recte Matth. Gesner: „*concede, ut ego melius quam quisquam sciam;* ut nostri: das muss ich am besten wissen.“ — περὶ παιδείαν φιλ. quantopere abusus sit *ambitioso meo humanitatis studio.* παιδεία enim Gellio Noct. Att. 13, 16. interprete idem est quod *huma-*

πεύων καὶ ἐπαινῶν ἄρτι μὲν ἐς τὸ κάλλος, ὡς καὶ τοῦτο μέρος ὂν τἀγαθοῦ, ἄρτι δ' ἐς τὰς πράξεις καὶ τὸν πλοῦτον· καὶ γὰρ αὖ καὶ τοῦτ' ἀγαθὸν ἡγεῖτ' εἶναι, ὡς μὴ αἰσχύνοιτο καὶ αὐτὸς λαμβάνων. γόης, ὦ Διόγενες, ὁ ἄνθρωπος καὶ τεχνίτης. πλὴν ἀλλὰ τοῦτό γε ἀπολέλαυκα αὐτοῦ τῆς σοφίας, τὸ λυπεῖσθαι ὡς ἐπὶ μεγίστοις ἀγαθοῖς ἐκείνοις, ἃ κατηριθμήσω μικρῷ γε ἔμπροσθεν.

8 *Διογ.* Ἀλλ' οἶσθα ὃ δράσεις; ἄκος γάρ σοι τῆς λύπης ὑποθήσομαι· ἐπεὶ ἐνταῦθά γε ἐλλέβορος οὐ φύεται, σὺ δὲ κἂν τὸ Λήθης ὕδωρ χανδὸν ἐπισπασάμενος πίε· καὶ αὖθις πίε καὶ πολλάκις. οὕτω γὰρ ἂν παύσαιο ἐπὶ τοῖς Ἀριστοτέλους ἀγαθοῖς ἀνιώμενος. καὶ γὰρ καὶ Κλεῖτον ἐκεῖνον ὁρῶ καὶ Καλλισθένη καὶ ἄλλους πολλοὺς ἐπὶ σὲ ὁρμῶντας, ὡς διασπάσαιντο καὶ ἀμύναιντό σε ὧν ἔδρασας αὐτούς. ὥστε τὴν ἑτέραν σὺ ταύτην βάδιζε καὶ πῖνε πολλάκις, ὡς ἔφην.

V. Μενίππου καὶ Ταντάλου.

1 *Μέν.* Τί κλάεις, ὦ Τάνταλε; ἢ τί σεαυτὸν ὀδύρῃ ἐπὶ τῇ λίμνῃ ἑστώς;

Τάν. Ὅτι, ὦ Μένιππε, ἀπόλωλα ὑπὸ τοῦ δίψους.

Μέν. Οὕτως ἀργὸς εἶ, ὡς μὴ ἐπικύψας πιεῖν, ἢ καὶ νὴ Δὶ ἀρυσάμενος κοίλῃ τῇ χειρί;

Τάν. Οὐδὲν ὄφελος εἰ ἐπικύψαιμι· φεύγει γὰρ τὸ ὕδωρ, ἐπειδὰν προσιόντα αἴσθηται με· ἢν δέ ποτε καὶ ἀρύσωμαι καὶ προσενέγκω τῷ στόματι, οὐ φθάνω βρέξας ἄκρον τὸ χεῖλος, καὶ διὰ τῶν δακτύλων διαῤῥυὲν οὐκ οἶδ' ὅπως αὖθις ἀπολείπει ξηρὰν τὴν χεῖρά μοι.

2 *Μέν.* Τεράστιόν τι πάσχεις, ὦ Τάνταλε. ἀτὰρ εἰπέ μοι, τί γὰρ καὶ δέῃ τοῦ πιεῖν; οὐ γὰρ σῶμα ἔχεις· ἀλλ' ἐκεῖνο μὲν ἐν Λυδίᾳ που τέθαπται, ὅπερ καὶ πεινῆν καὶ διψῆν ἐδύνατο, σὺ δὲ ἡ ψυχὴ πῶς ἂν ἔτι ἢ διψῴης ἢ πίνοις;

---

nitas s. *bonarum artium eruditio atque institutio.* — ἄρτι μ. — ἄρτι δ. Thom. Mag. explicat: ποτὲ μὲν — ποτὲ δέ, *nunc* — *nunc.* — ἐς τ. κάλλος (ἐπαινῶν). sic apud Xenoph. μέμφεσθαί τινα ἐς φιλίαν. de dicendi ratione v. M. §. 578. c. — ὡς — ὄν. vid. ad dial. V. §. 2.

8. οἶσθα δ δρ. *scin' tu quid facias?* v. M. §. 511, 4. — χανδὸν — πίε, i. e. κεχηνότως, ἀθρόως π. sic alio quodam loco Lucianus: πίνει δὲ ῥόμα, οὐ χανδόν, ἀλλ' ἀναπαυόμενος. — ἀνιώμενος, Participium iunge cum παύσαιο. v. B. §. 144. not. 3. M. §. 550. d. — Κλεῖτον. vid. Curt. VIII, 1, 33 — 52. Καλλισθένη. ibid. 8, 21 — 22. — ἐπὶ σέ, eadem lege grammatica qua supra dial. II, 5 παρὰ σοῦ. — ὥστε. vid. ad dial. I, 1.

V (17 Hemst.), 1. ἐπὶ τ. λίμνῃ ἑστ. cum nostro dial. conferre non poenitebit res Tantaleas ap. Homer. Od. 11, 582 — 592. — εἰ c. Optat. vid. ad dial. II, 5. — προσιόντα. de Accus. Participii verbo αἰσθάνεσθαι iuncto v. M. §. 349. not. 2. §. 549, 4. — οὐ φθάνω βρέξας — καί. vid. B. §. 150. p. 451 s. v. φθάνειν, nr. 2. — οὐκ οἶδ' ὅπως, prorsus ut Lat. *nescio quomodo, nescio quid* (Zumpt. Gr. §. 553 extr.), absolute pro particula concedendi vel adfirmandi interponi solet, ita tamen ut ipsi, cur omni modo adfirmemus, nos nescire confiteamur. sic alio loco Luc. οὐκ οἶδ' ὅπως βραδύς εἰμι. δραπετεύεις οὐκ οἶδ' ὅπως. comp. οἶδ' ὅτι et οὐ οἶδ' ὅτι.

2. ἐν Λυδ. που. Pausanias II, 22, 3 in Sipylo monte Lydiae Phry-

ὡς δὲ περὶ τὸν καθελκυσμὸν αὐτοῦ τὸν εἰς τὴν θάλασσαν πολλὴ ζήτησις ἦν, Ἀρχιμήδης ὁ μηχανικὸς μόνος αὐτὸ κατήγαγε δι' ὀλίγων σωμάτων. κατασκευάσας γὰρ ἕλικα τὸ τηλικοῦτον σκάφος εἰς τὴν θάλασσαν κατήγαγε. πρῶτος δ' Ἀρχιμήδης εὗρε τὴν τῆς ἕλικος κατα- 3
σκευήν. ὡς δὲ καὶ τὰ λοιπὰ μέρη τῆς νεὼς ἐν ἄλλοις ἐξ μησὶ κατεσκευάσθη καὶ τοῖς χαλκοῖς ἥλοις πᾶσα περιελήφθη, ὧν οἱ πολλοὶ δεκάμνοοι ἦσαν, οἱ δ' ἄλλοι τούτων ἡμιόλιοι· διὰ τρυπάνων δ' ἦσαν οὗτοι ἡρμοσμένοι τοὺς σταμῖνας συνέχοντες· μολυβδίναις δὲ κεραμίσιν ἀπεστεγνοῦντο πρὸς τὸ ξύλον ὑποτιθεμένων ὀθονίων μετὰ πίττης· ὡς οὖν τὴν ἐκτὸς ἐπιφάνειαν ἐξειργάσατο, τὴν ἐντὸς διασκευὴν ἐξεπονεῖτο. ἦν δ' ἡ ναῦς τῇ μὲν κατασκευῇ εἰκόσορος, τριπάροδος δέ, 4
τὴν μὲν κατωτάτω ἔχουσα ἐπὶ τὸν γόμον, ἐφ' ἣν διὰ κλιμάκων πυκνῶν ἡ κατάβασις ἐγίνετο· ἡ δ' ἑτέρα τοῖς εἰς τὰς διαίτας βουλομένοις εἰσιέναι μεμηχάνητο, μεθ' ἣν ἡ τελευταία τοῖς ἐν τοῖς ὅπλοις τεταγμένοις. ἦσαν δὲ τῆς μέσης παρόδου παρ' ἑκάτερον τῶν τοίχων δίαιται τετράκλινοι τοῖς ἀνδράσι, τριάκοντα τὸ πλῆθος. ἡ δὲ ναυκληρικὴ δίαιτα κλινῶν μὲν ἦν πεντεκαίδεκα, θαλάμους δὲ τρεῖς εἶχε τρικλίνους, ὧν ἦν τὸ κατὰ τὴν πρύμναν ὀπτάνιον. ταῦτα δὲ πάντα δάπεδον εἶχεν ἐν ἀβακίσκοις συγκείμενον ἐκ παντοίων λίθων, ἐν οἷς ἦν κατεσκευασμένος πᾶς ὁ περὶ τὴν Ἰλιάδα μῦθος θαυμασίως· ταῖς τε κατασκευαῖς καὶ ταῖς ὀροφαῖς καὶ θυρώμασι δὲ πάντα ἦν ταῦτα πεπονημένα. κατὰ δὲ τὴν ἀνωτάτω πάροδον γυμνάσιον ἦν καὶ περίπατοι 5
σύμμετρον ἔχοντες τὴν κατασκευὴν τῷ τοῦ πλοίου μεγέθει, ἐν οἷς κῆποι παντοῖοι θαυμασίως ἦσαν περιβάλλοντες ταῖς φυτείαις, διὰ κερα-

---

de ἄν cum Part. v. B. §. 139, 14. M. §. 598. b. — δι' ὀλ. σωμάτων i. e. *paucorum servorum opera*, ut aetas Athenaei postulare videtur. vid. Lobeck ad Phryn. p. 378. Schweighaeuser interpretatur: *paucorum hominum ministerio.*

3. ἕλικος. quale fuerit instrumentum ἕλιξ, vix ambigi poterit ex iis, quae de navi quadam oneraria Hieronis ab Archimede deducenda refert Plut. vit. Marcelli c. 14. ἡρέμα τῇ χειρὶ σείων ἀρχήν τινα πολυσπάστου μηχανήματος προσηγάγετο τὴν ὁλκάδα. — ὡς δὲ καὶ ctt. periodus usque ad finem paragraphi excurrit, sed pluribus interiectis in epanalepsi particulae ὡς οὖν (*quum igitur*, *inquam* ctt. vid. M. §. 625.) inferuntur, quae protasin redintegrent, priusquam apodosis incipiat: τὴν ἐντὸς διασκ. — οἱ δ' ἄλλοι, *ceteri* (clavi) *vero*, cum Genit. v. B. §. 132. not. 6. — ἀπεστεγνοῦντο πρὸς τὸ ξ. i. e. clavi *ita ad lignum adstricti sunt, ut aqua penetrare non possit.*

4. τὴν μὲν κατωτάτω, intell. ὁδόν. quod ex τριπάροδος eliciendum est. — διὰ κλιμ. πυκνῶν, *per plures scalas*, quarum altera alteram ex ordine excipiebat. — διαίτας h. l. ut paullo inferius, *locum ubi convivium adparatur.* — τῆς μ. παρόδου. Genitivi pendent a voce τοίχων. comp. supra ad §. 1. — κλινῶν μ. ἦν πεντ. de Genit. v. ad Aelian. II. — θαλάμους, h. l. *cubicula.* — δάπεδον ἐν ἀβακίσκοις συγκ. ἐκ π. λίθων, *pavimentum tesserulis ex variis lapidibus compositum.* ἐν ἀβακίσκοις iunge cum δάπεδον, prorsus ut nos: *ein Fussboden in Mosaik.* sic recte dixeris: κόσμος ἐν λόγοις, ποτήριον s. κύλιξ ἐν ἀργύρῳ, ἐν χρυσῷ. — καὶ θυρώμασι δέ, *atque etiam fores quod attinet.* de qua copulandi ratione v. B. §. 149. s. v. δέ. de Dat. apud verbum pass. (πονεῖσθαι *diligenter elaborari.*) vid. M. §. 424, 4. not. 1.

5. κῆποι, proprie *horti oleribus arboribusque consiti.* Nutzgärten. comp. παράδεισος, Long. I, 2. — περιβάλλοντες cum Dativo, si quidem lectio vera, explicuerim: *cingere* s. *amicire plantationibus suis*, sc. τοὺς

μίδων μολυβδινῶν κατεστεγνωμένοι. ἔτι δὲ σκηναὶ κιττοῦ λευκοῦ καὶ ἀμπέλων, ὧν αἱ ῥίζαι τὴν τροφὴν ἐν πίθοις εἶχον γῆς πεπληρωμένοις, τὴν αὐτὴν ἄρδευσιν λαμβάνουσαι καθάπερ καὶ οἱ κῆποι. αὗται δὲ αἱ σκηναὶ συνεσκίαζον τοὺς περιπάτους. ἐξῆς δὲ τούτων . . . . σχολαστήριον ὑπῆρχε πεντάκλινον, ἐκ πύξου τοὺς τοίχους καὶ τὰ θυρώματα κατεσκευασμένον, βιβλιοθήκην ἔχον ἐν αὐτῷ, κατὰ δὲ τὴν ὀροφὴν πόλον, ἐκ τοῦ κατὰ τὴν Ἀχραδίνην ἀπομεμημένον ἡλιοτροπίου. ἦν δὲ καὶ βαλανεῖον τρίκλινον, πυρίας χαλκᾶς ἔχων τρεῖς καὶ λουτῆρα πέντε μητρητὰς δεχόμενον ποικίλον τοῦ Ταυρομενίτου λίθου. κατεσκεύαστο δὲ καὶ οἰκήματα πλείω τοῖς ἐπιβάταις καὶ τοῖς τὰς ἀντλίας
6 φυλάττουσι. χωρὶς δὲ τούτων ἱππῶνες ἦσαν ἑκατέρου τῶν τοίχων δέκα. κατὰ δὲ τούτους ἡ τροφὴ τοῖς ἵπποις ἔκειτο καὶ τῶν ἀναβατῶν καὶ τῶν παίδων τὰ σκεύη. ἦν δὲ καὶ ὑδροθήκη κατὰ τὴν πρώραν κλειστὴ δισχιλίους μετρητὰς δεχομένη, ἐκ σανίδων καὶ πίττης καὶ ὀθονίων κατεσκευασμένη. παρὰ δὲ ταύτην κατεσκεύαστο διὰ μολυβδώματος καὶ σανίδων κλειστὸν ἰχθυοτροφεῖον· τοῦτο δ' ἦν πλῆρες θαλάττης, ἐν ᾧ πολλοὶ ἰχθύες εὖ ἐτρέφοντο. ὑπῆρχον δὲ καὶ τῶν τοίχων ἑκατέρωθεν τροποὶ προεωσμένοι διάστημα σύμμετρον ἔχοντες, ἐφ' ὧν κατεσκευασμέναι ἦσαν ξυλοθῆκαι καὶ κρίβανοι καὶ ὀπτάνια καὶ μύλοι καὶ πλείους ἕτεραι διακονίαι· ἄτλαντές τε περιέτρεχον τὴν ναῦν ἐκτὸς ἐξαπήχεις, οἳ τοὺς ὄγκους ὑπειλήφεσαν τοὺς ἀνωτάτω καὶ τὸ τρίγλυφον, πάντες ἐν διαστήματι βεβῶτες. ἡ δὲ ναῦς πᾶσα οἰκείαις γραφαῖς ἐπεκόνητο. πύργοι τε ἦσαν ἐν αὐτῇ ὀκτὼ σύμμετροι τὸ μέγεθος τοῖς τῆς νεὼς ὄγκοις· δύο μὲν κατὰ πρύμναν, οἱ δ' ἴσοι κατὰ
7 πρώραν, οἱ λοιποὶ δὲ κατὰ μέσην ναῦν. — Ἐπὶ δὲ τῶν πύργων ἕκαστον ἀνέβαινον τέτταρες μὲν καθωπλισμένοι νεανίσκοι, δύο δὲ τοξόται. πᾶν δὲ τὸ ἐντὸς τῶν πύργων λίθων καὶ βελῶν πλῆρες ἦν. τεῖχος δὲ ἐπάλξεις ἔχον καὶ καταστρώματα διὰ νεὼς ἐπὶ κιλλιβάντων κατεσκεύαστο, ἐφ' οὗ λιθοβόλος ἐφειστήκει, τριτάλαντον λίθον ἀφ' αὐτοῦ ἀφιεὶς καὶ δωδεκάπηχυ βέλος. τοῦτο δὲ τὸ μηχάνημα κατε-

περιπάτους. — κιττοῦ λευκοῦ, cui opponitur κ. μελάμφυλλος. de hedera *alba* seu *pallente* exposuit Voss ad Virg. Ecl. III, 39. VII, 38. — ὑπῆρχε, h. l. idem quod παρῆν, *aderat*, *paratum erat*. — πόλον. πόλος h. l. ut ex seqq. adparet, i. q. γνώμων, eine Sonnenuhr. — πέντε μετρητὰς δεχ. i. e. ex nostra ratione: $165\frac{45}{118}$ Quart. — τοῦ Τ. λίθου, Genitivus *materiem* indicans, *ex qua quid confectum est*. B. §. 132, 4, 3. Articulus adponi debebat, quod de genere lapidum in vulgus noto dicitur. — ἐπιβάταις, *militibus classiariis*. recte Thomas Mag. ἀναβαίνω ἵππον, οὐκ ἐπιβαίνω· ἐπιβαίνω δὲ νεώς. hinc ἀναβάται paullo post *equites*.

6. ἑκατέρου, Genit. loci. M. §. 377, 1. fere idem valet quod infra τῶν τοίχων ἑκατέρωθεν. — ἔκειτο, h. l. ut Homerica illa κτήματα, κειμήλια κεῖται ἐν τόπῳ τινί, *depositum est aliquid*. — δισχιλίους μετρητὰς δεχ. i. e. $66152\frac{23}{59}$ Quart. — ἐν ᾧ. fortasse exspectaveris ἐν ᾗ, sed hic quidem recte istud, quum referendum sit ad *piscium vivarium aqua marina* (θαλάττης) *repletum*. — τροποὶ προεωσμένοι. Schweighäuser explicat: *tigna prominentia, super quibus ponitur carina*. Etym. M. ὁ τροπός· ἐφ' οὗ τίθεται ἡ τρόπις. vulgo legitur τρόποι. — ὑπειλήφεσαν (λαμβάνω.) *excipiebant s. sustinebant molem* (ὄγκους) *in summa navis parte*. — βεβῶτες, Perf. contr. (B. v. anom. βαίνω.) significatione intr. *collocari, esse*. sic *magistratus* dicuntur οἱ ἐν τέλει βεβῶτες sive ὄντες.

7. διὰ νεώς. διὰ de loco, *per navem*. — ἀφ' αὐτοῦ ἀφιείς, *sua ipsius vi atque impulsu eiaculans*. Catapulta autem (λιθοβόλος) duplex machina, quarum altera tela vel sagittas, altera vero lapides et saxa iaculari

VII. Νιρέως, Θερσίτου καὶ Μενίππου.

Νιρ. Ἰδοὺ δή, Μένιππος οὗτοσὶ δικάσει, πότερος εὐμορφότερός ἐστιν. εἰπέ, ὦ Μένιππε, οὐ καλλίων σοι δοκῶ; 1

Μέν. Τίνες δὲ καί ἐστε πρότερον, οἶμαι, χρὴ γὰρ τοῦτο εἰδέναι.

Νιρ. Νιρεὺς καὶ Θερσίτης.

Μέν. Πότερος οὖν ὁ Νιρεὺς καὶ πότερος ὁ Θερσίτης; οὐδέπω γὰρ τοῦτο δῆλον. 2

Θερσ. Ἓν μὲν ἤδη τοῦτ' ἔχω, ὅτι ὅμοιός εἰμί σοι καὶ οὐδὲν τηλικοῦτον διαφέρεις, ἡλίκον σε Ὅμηρος ἐκεῖνος ὁ τυφλὸς ἐπῄνεσεν, ἁπάντων εὐμορφότατον προσειπών· ἀλλ' ὁ φοξὸς ἐγὼ καὶ ψεδνὸς οὐδὲν χείρων ἐφάνην τῷ δικαστῇ. ὅρα σὺ δέ, ὦ Μενίππε, ὅν τινα καὶ εὐμορφότερον ἡγῇ.

Νιρ. Ἐμέ γε τὸν Ἀγλαΐας καὶ Χάροπος, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθον.

Μέν. Ἀλλ' οὐχὶ καὶ ὑπὸ γῆν, ὡς οἶμαι, κάλλιστος ἦλθες· ἀλλὰ τὰ μὲν ὀστᾶ ὅμοια, τὸ δὲ κρανίον ταύτῃ μόνον ἄρα διακρίνοιτο ἀπὸ τοῦ Θερσίτου κρανίου, ὅτι εὔθρυπτον τὸ σόν· ἁλαπαδνὸν γὰρ αὐτὸ καὶ οὐκ ἀνδρῶδες ἔχεις. 3

Νιρ. Καὶ μὴν ἔρου Ὅμηρον, ὁποῖος ἦν, ὁπότε συνεστράτευον τοῖς Ἀχαιοῖς. 4

Μέν. Ὀνείρατά μοι λέγεις· ἐγὼ δὲ ἃ βλέπω καὶ νῦν ἔχεις, ἐκεῖνα δὲ οἷ τότε ἴσασιν.

Νιρ. Οὐκοῦν ἐγὼ ἐνταῦθα εὐμορφότερός εἰμι, ὦ Μένιππε;

Μέν. Οὔτε σύ, οὔτε ἄλλος εὔμορφος· ἰσοτιμία γὰρ ἐν ᾅδου καὶ ὅμοιοι ἅπαντες.

Θερσ. Ἐμοὶ μὲν καὶ τοῦτο ἱκανόν.

VIII. Μενίππου καὶ Χείρωνος.

Μέν. Ἤκουσα, ὦ Χείρων, ὡς θεὸς ὢν ἐπιθυμήσειας ἀποθανεῖν. 1

Χείρ. Ἀληθῆ ταῦτ' ἤκουσας, ὦ Μένιππε, καὶ τέθνηκα, ὡς ὁρᾷς, ἀθάνατος εἶναι δυνάμενος.

VII (25 Hemst.), 1. *τίνες δ. καί ἐ. καὶ* particula vim intendendi accipit verbo interrogandi praegresso. Lat. *tandem*. cf. M. §. 620, 2. — *οἶμαι*, mediae orationi insertum saepius ut Lat. *opinor* confidenter, sed cum ironia quadam loquentis est. B. vv. anom. not. quod superest animadverte miram transpositionem *γὰρ* particulae. Hemst. locum Plat. adfert: *ἐγὼ οὖν ὁμώμοκα γὰρ αὐτῷ*.

2. *ὁ τυφλός*. opinio in vulgus pervulgata est quum scriptoribus (Pausan. IV, 33, 7. Cic. Tusc. 5, 39.) tum gemmis imaginibusque Homerum caecum fuisse, quod noster malevolus detorquet in peius. — *ὁ φοξὸς* ctt. cf. Hom. Il. 2, 219. — *κάλλιστος ἀνὴρ* ctt. cf. Il. 2, 672—73. ubi *υἱὸς Χαρόπου* vocatur. vid. M. §. 89. p. 192.

3. *ταύτῃ*. v. ad Aelian. XXII. — *ἁλαπαδνόν*. cf. Hom. Il. 2, 675. — *συνεστράτευον*. comp. *συμμαχεῖν* Aesop. fab. VIII.

4. *ὀνείρατα — λέγεις*, de quavis re vana atque nugatoria, ut Graeci Comici dicunt *οὐδὲν λέγεις*, Romani: *somnia!* Lucret. I, 107. *quam multa tibi iam fingere possum somnia.* — *ἐγὼ δὲ ἃ βλ.* verbum, quod desideras, *οἶδα* ex eo repete quod sequitur *ἴσασιν*. denique adnotari potest minus usitata structura vocis *βλέπειν* c. Acc. pro vulgatiore *εἰς* s. *πρός τι βλ.* Aesch. Pers. 299. *Ξέρξης μὲν αὐτὸς ζῇ καὶ βλέπει φάος.* Lucian. de luct. c. 11. *μηδὲ γυμνοὶ βλέποιντο τῷ Κερβέρῳ.* comp. ad Aelian. XXV.

VIII (26 Hemst.), 1. *θεὸς ὤν*. Chiron Centaurus utpote filius Neptuni

Μέν. Τίς δέ σε ἔρως τοῦ θανάτου ἔσχεν, ἀνεράστου τοῖς πολλοῖς χρήματος;

2 Χείρ. Ἐρῶ πρὸς σὲ οὐκ ἀσύνετον ὄντα· οὐκ ἦν ἔτι ἡδὺ ἀπολαύειν τῆς ἀθανασίας.

Μέν. Οὐχ ἡδὺ ἦν ζῶντα ὁρᾶν τὸ φῶς;

Χείρ. Οὐκ, ὦ Μένιππε· τὸ γὰρ ἡδὺ ἔγωγε ποικίλον τι καὶ οὐχ ἁπλοῦν ἡγοῦμαι εἶναι· ἐγὼ δὲ ζῶν ἀεὶ καὶ ἀπολαύων τῶν ὁμοίων, ἡλίου, φωτός, τροφῆς· αἱ ὧραι δὲ αἱ αὐταὶ καὶ τὰ γιγνόμενα ἅπαντα ἑξῆς ἕκαστον, ὥσπερ ἀκολουθοῦντα θάτερον θατέρῳ· ἐνεπλήσθην γοῦν αὐτῶν. οὐ γὰρ ἐν τῷ αὐτῷ ἀεί, ἀλλὰ καὶ ἐν τῷ μεταστχεῖν ὅλως τὸ τερπνὸν ἦν.

3 Μέν. Εὖ λέγεις, ὦ Χείρων· τὰ ἐν ᾅδου δὲ πῶς φέρεις ἀφ' οὗ προελόμενος αὐτὰ ἥκεις;

Χείρ. Οὐκ ἀηδῶς, ὦ Μένιππε· ἡ γὰρ ἰσοτιμία πάνυ δημοτικόν, καὶ τὸ πρᾶγμα οὐδὲν ἔχει τὸ διάφορον ἐν φωτὶ εἶναι, ἢ ἐν σκότῳ· ἄλλως τε οὐδὲ διψῶν, ὥσπερ ἄνω, οὔτε πεινῶν δεῖ, ἀλλ' ἀνεπιδεεῖς τούτων ἁπάντων ἐσμέν.

4 Μέν. Ὅρα, ὦ Χείρων, μὴ περιπίπτῃς σεαυτῷ καὶ ἐς τὸ αὐτό σοι ὁ λόγος περιστῇ.

Χείρ. Πῶς τοῦτο φῄς;

Μέν. Ὅτι εἰ τῶν ἐν τῷ βίῳ τὸ ὅμοιον ἀεὶ καὶ ταὐτὸν ἐγένετό σοι προσκορές, καὶ τὰ ἐνταῦθα ὅμοια ὄντα προσκορῆ ὁμοίως ἂν γένοιτο, καὶ δεήσει μεταβολήν γε ζητεῖν τινα καὶ ἐντεῦθεν ἐς ἄλλον βίον, ὅπερ οἶμαι ἀδύνατον.

Χείρ. Τί οὖν ἂν πάθοι τις, ὦ Μένιππε;

Μέν. Ὅπερ, οἶμαι, καί φασι, συνετὸν ὄντα ἀρέσκεσθαι καὶ ἀγαπᾶν τοῖς παροῦσι καὶ μηδὲν αὐτῶν ἀφόρητον οἴεσθαι.

Philyraeque Nymphae aliis fortasse rectius vocatur ἀθάνατος. — τίς — ἔρως. Hemst. proponit lectionem: τί δέ σε ἔρ. *quid* (cur) *autem te mortis cupido tenuit.*

2. οὐκ. v. ad dial. I. §. 5. — αἱ ὧραι δὲ ctt. his verbis oratione interrupta periodus, quae primarium locum obtinet, ἐγὼ δὲ ζῶν ἀεὶ ctt. reficitur adiecta γοῦν particula ad ἐνεπλήσθην, de quo genere Anacoluthi v. M. §. 631, 2. hunc usum particulae, Germanis non ignotum, plane imitantur Romani. cf. Zumpt. Gr. §. 739. — ἕκαστον, mox θάτερον θατέρῳ collectiva significatione, ut solet. v. M. §. 302. a. comp. supra Aelian. XXXII, 6. ἄλλος ἄλλῃ. — μεταστχεῖν, quod omnes libri praebent, sensu caret. haud scio an lenissime verbis medearis emendando μεταστείχειν. — τερπνὸν ἦν. de usu Imperfecti vid. M. §. 505, 2.

3. ἀφ' οὗ, i. q. ἐξ οὗ supra Aelian. XIX extr. — δημοτικόν. v. B. §. 129, 6. comp. Zumpt. Gr. §. 368. — ἄλλως τε. in hac formula prius orationis membrum mente cogitandum est, quod ut minus dignum memoratu significent, adiicere solent καί, *quum alia quavis ratione, tum praesertim.* hoc vero loco δὲ in vicem illius copulae succedit, ut οὔ — οὔτε ordinatim sibi respondeant.

4. τί οὖν ἂν πάθ. v. *quid ergo faciat aliquis?* πάσχειν vox de quolibet adfectu Atticis usitata, etiam h. l. ubi nos et Romani verbum agendi vel faciendi poscimus. τί πάθω; *quid faciam?* εὖ πάθωμεν, *bene nobis sit!* lasst uns lustig sein! comp. τλῆναι. semel imitatur hunc Atticismum Horatius: audax omnia *perpeti* gens humana. Od. I, 3, 25. — οἶμαι. v. ad dial. VII, 1. — φασίν, *aiunt, vulgo dicunt.* — ἀγαπᾶν. Suidas: ἀρκεῖσθαί τινι καὶ μηδὲν πλέον ἐπιζητεῖν. h. l. cum Dat. ut infra Lysiae Epitaph. §. 21. totam sententiam paene ad verbum expressit Horatius Od. III, 8, 27. *dona praesentis cape laetus horae et linque severa.*

I.

Τὸν Παγκράτην ἔγνων ἱερόν τινα ἄνθρωπον ὄντα, καὶ κατὰ 1
μικρὸν φιλοφρονούμενος ἔλαθον ἑταῖρος αὐτῷ καὶ συνήθης γενόμενος· ὥστε πάντων ἐκοινώνει μοι τῶν ἀπορρήτων· καὶ τέλος πείθει με τοὺς μὲν οἰκέτας ἅπαντας ἐν τῇ Μέμφιδι καταλιπεῖν, αὐτὸν δὲ μόνον ἀκολουθεῖν μετ' αὐτοῦ, μὴ γὰρ ἀπορήσειν ἡμᾶς τῶν διακονησομένων. καὶ τὸ μετὰ τοῦτο οὕτω διήγομεν. ἐπειδὴ δὲ ἔλθοιμεν εἴς τι καταγω- 2
γιον, λαβὼν ἂν ὁ ἀνὴρ τὸν μοχλὸν τῆς θύρας ἢ τὸ κόρηθρον ἢ καὶ τὸ ὕπερον, περιβαλὼν ἱματίοις, ἐπειπών τινα ἐπῳδὴν ἐποίει βαδίζειν τοῖς ἄλλοις ἅπασιν ἄνθρωπον εἶναι δοκοῦντα· τὸ δὲ ἀπελθὸν ὕδωρ τε ἀπήντλει καὶ ὀψώνει καὶ ἐσκεύαζε καὶ ἐς πάντα δεξιῶς ὑπηρέτει καὶ διηκονεῖτο ἡμῖν. εἶτα δὲ ἐπειδὴ ἅλις ἔχοι τῆς διακονίας, αὖθις κόρηθρον τὸ κόρηθρον, ἢ ὕπερον τὸ ὕπερον ἄλλην ἐπῳδὴν ἐπειπὼν ἐποίει ἄν· τοῦτο ἐγὼ πάνυ ἐσπουδακὼς οὐκ εἶχον ὅπως ἐκμάθοιμι παρ' αὐτοῦ· ἐβάσκαινε γὰρ αὐτοῦ καίτοι πρὸς τὰ ἄλλα προχειρότατος ὤν. μιᾷ δέ ποτε ἡμέρᾳ λαθὼν ἐπήκουσα τῆς ἐπῳδῆς, ἦν δὲ τρισύλλαβος, σχεδὸν ἐν σκοτεινῷ ὑποστάς. καὶ ὁ μὲν ᾤχετο ἐς τὴν ἀγοράν, ἐντειλάμενος τῷ ὑπέρῳ ἃ ἔδει ποιεῖν. ἐγὼ δὲ ἐς τὴν 3
ὑστεραίαν ἐπείνου τι κατὰ τὴν ἀγορὰν πραγματευομένου λαβὼν τὸ ὕπερον, σχηματίσας, ὁμοίως ἐπειπὼν τὰς συλλαβὰς ἐκέλευον ὑδροφορεῖν. ἐπεὶ δὲ ἐμπλησάμενος τὸν ἀμφορέα ἐκόμισε· πέπαυσο, ἔφην, καὶ μηκέτι ὑδροφόρει, ἀλλ' ἴσθι αὖθις ὕπερον. τὸ δὲ οὐκέτι μοι πείθεσθαι ἤθελεν, ἀλλ' ὑδροφόρει ἀεί, ἄχρι δὴ ἐνέπλησεν ἡμῖν ὕδατος

I (Φιλοψευδὴς ἢ Ἀπιστῶν. c. 34—36). Eucraten quendam, rerum philosopharum peritum, convenerant plures studiorum consensu iunctissimi. dum adsident philosopho illi aegrotanti, in quaestionem vocant, quid sit cur tantopere homines admirentur omnia quaeque fabulosa et portentosa. quibus inter se dictis Eucrates non praetermittit narrare quae hic proposita sunt quaeque accidisse sibi perhibet per Aegyptum proficiscenti cum Pancrate quodam magicis artibus ab ipsa Iside instructo. — Ex ingeniosa hac fabula carmen Goethii fluxit etiam ingeniosius: der Zauberlehrling.

1. κατὰ μικρόν, cave unquam interpreteris *paululum*, ut aliquando fit. verte *paulatim*. φιλοφρονούμενος, i. q. χαριζόμενος. — ἀπορρήτων, de rebus celandis, arcanis. — αὐτὸν δὲ μόν. quamquam per se αὐτὸς est *solus* (Hom. Il. 8, 99), tamen h. l. ob id ipsum, quod oppositi sunt οἰκέται, novi aliquid infert atque idem fere valet quod δεσπότης. sic de Axylo a Diomede occiso: ἀλλ' ἄμφω θυμὸν ἀπηύρα, αὐτὸν καὶ θεράποντα Καλήσιον. Hom. Il. 6, 18. — τὸ μ. τοῦτο ctt. *quod adtinet ad id, quod post haec sequitur*. v. Plat. Symp. p. 176 extr. alia exempla dabit M. §. 283.

2. ἐπειδή, c. Optat. de actione praeterita, saepius repetita, non certo tempore interclusa. — τὸ ὕπερον. Lucianus solet neutro genere uti, quamquam sunt qui alteram illam formam ὕπερος potiorem aestiment. — ἐποίει, sequente Infinitivo i. q. *impellere, efficere ut* —. v. M. §. 530, 2. Reiz. ad Vig. p. 761. — ἐποίει ἄν, *reddere solebat*. v. B. §. 139. not. 5. — τοῦτο, redit ad ἐπῳδήν, quae mutatio generis ex rarioribus est. Achill. Tat. II, 17. ναῦν δὲ εἶχεν — τοῦτο προκατασκευάσας οἴκοθεν. ibique animadv. Iacobsii. — ἐκμάθοιμι, de quo Optat. v. B. §. 139, 2. — μιᾷ δέ π. ἡμέρᾳ, i. e. *certo quodam die*. v. Xen. Memorab. III, 3, 12 et supra ad Achill. Tat. §. 2. — λαθὼν ἐπήκ. Aeschines orator: λαθὼν ὑπεισῆλθε τὸ γῆρας. Xenoph. λαθόντες ἐπέπεσον αὐτῷ, cf. Viger. p. 259. comp. κλέπτων ad Aelian. XIII. — ὑποστάς, recte Thomas Mag., qui nostrum locum respicit, ἀντὶ τοῦ κρυφίως ἱστάμενος, versteckt in einem dunkelen Winkel.

3. ἄχρι δὴ ἐνέπλ. B. §. 146, 3. ibique not. 1. comp. ἔσται ad Long. II.

τὴν οἰκίαν ἐπαντλοῦν. ἐγὼ δὲ ἀμηχανῶν τῷ πράγματι, ἐδεδίειν γὰρ μὴ ὁ Παγκράτης ἐπανελθὼν ἀγανακτήσῃ, ὅπερ καὶ ἐγένετο, ἀξίνην λαβὼν διακόπτω τὸ ὕπερον εἰς δύο μέρη· τὰ δέ, ἑκάτερον τὸ μέρος, ἀμφορέα λαβόντα ὑδροφόρει, καὶ ἀνθ' ἑνὸς δύο μοι ἐγένοντο οἱ διάκονοι. ἐν τούτῳ καὶ ὁ Παγκράτης ἐφίσταται, καὶ συνεὶς τὸ γενόμενον ἐκεῖνα μὲν αὖθις ἐποίησε ξύλα, ὥσπερ ἦν πρὸ τῆς ἐπῳδῆς· αὐτὸς δὲ ἀπολιπών με λαθὼν οὐκ οἶδ' ὅποι ἀφανὴς ᾤχετο ἀπιών.

II.

1 Σόλων καὶ Θαλῆς καὶ Πιττακός, οἵ τινες τῶν κληθέντων ἑπτὰ σοφῶν ἐγένοντο, ἑκατὸν ἕκαστος ἔζησεν ἔτη· Ζήνων δὲ ὁ τῆς Στωϊκῆς φιλοσοφίας ἀρχηγός, ὀκτὼ καὶ ἐνενήκοντα, ὅν φασιν εἰσερχόμενον εἰς τὴν ἐκκλησίαν καὶ προσπταίσαντα ἀναφθέγξασθαι· τί με βοᾷς; καὶ ὑποστρέψαντα οἴκαδε καὶ ἀποσχόμενον τροφῆς τελευτῆσαι τὸν βίον. Κλεάνθης δὲ ὁ Ζήνωνος μαθητὴς καὶ διάδοχος, ἐννέα καὶ ἐνενήκοντα οὗτος γεγονὼς ἔτη, φῦμα ἔσχεν ἐπὶ τοῦ χείλους, καὶ ἀποκαρτερῶν ἐπελθόντων αὐτῷ παρ' ἑταίρων τινῶν γραμμάτων προσενεγκάμενος τροφήν, καὶ πράξας περὶ ὧν ἠξίουν οἱ φίλοι, ἀποσχόμενος αὖθις τροφῆς ἐξέλιπε τὸν βίον. Πλάτων δὲ ὁ ἱερώτατος ἐβίωσεν
2 ἔτη ἓν καὶ ὀγδοήκοντα. οὗτοι μὲν φιλοσόφων οἱ ἔνδοξοι. — Ῥητόρων δὲ Γοργίας, ὅν τινες σοφιστὴν καλοῦσιν, ἔτη ἑκατὸν ὀκτὼ ἐβίωσεν. τροφῆς δὲ ἀποσχόμενος ἐτελεύτησεν, ὅν φασιν ἐρωτηθέντα τὴν αἰτίαν τοῦ μακροῦ γήρως καὶ ὑγιεινοῦ ἐν πάσαις ταῖς αἰσθήσεσιν εἰπεῖν, διὰ τὸ μηδέποτε συμπεριενεχθῆναι ταῖς ἄλλων εὐωχίαις. Ἰσοκράτης ἐνενήκοντα καὶ ἓξ ἐτῶν γεγονὼς τὸν πανηγυρικὸν ἔγραφε λόγον· περὶ ἔτη δὲ ἑνὸς ἀποδέοντα ἑκατὸν γεγονώς, ὡς ᾤσθετο Ἀθη-

---

§. 6 extr. — ἐπαντλοῦν, pertinet ad τὸ δὲ (ὕπερον), *aquam haustam effundens* s. *infundens*. — οἱ διάκονοι. Articulum exemit Hemsterhusius exemplo unius Codicis. ego vero nihil muto, qui hanc verborum structuram praeferendam censeam: καὶ ἀνθ' ἑνὸς οἱ διάκονοί μοι ἐγένοντο δύο, ubi δύο id fere, quod germanice dicas ein Paar.

II (Μακρόβιοι. c. 19—28). Lucianus somnio, ut ait, commonitus libellum, ex quo haec decerpta sunt, de *Longaevis* tanquam munus defert ad Quintillum sibi amicum, cuius dies natalis instat, eique sacrum esse iubet.

1. τῶν κληθέντων, i. q. supra Aelian. XXXII, 1 τὰ καλούμενα, ubi v. not. De Thalete et Pittaco monitum est ad Aelian. XI. — ἔζησεν, quae forma seculum redolet, quo vixit auctor. antiqui scriptores quamquam ζήσειν et alia eiusdem temporis non adspernantes praeferunt ἐβιώσεν. B. v. anom. s. v. ζάω. — ἐνενήκοντα. ἐννενήκοντα minus vera, vel certe dubia scriptura. v. Lexic. Pass. et Buttm. Gr. uberiorem I. p. 283. — τί με βοᾷς; *quid me vocas?* terram dicit, a qua se vocatum sentit. βοᾶν c. Acc. pers., ut Lat. *clamare aliquem*. Diogenes Laert. vit. Zen. VII, 28 sic narrat: ἐκ τῆς σχολῆς ἀπιὼν προσέπταισε καὶ τὸν δάκτυλον περιέῤῥηξε. παίσας δὲ τὴν γῆν τῇ χειρί φησι τὸ ἐκ τῆς Νιόβης (Sophoclis, ut putant) · Ἔρχομαι, τί μ' αὔτεῖς; — οὗτος γεγ. Pronomen ad aliquid in eadem enuntiatione iam prolatum refertur, ut eius notio extollatur. οὐκοῦν οἱ τοῖς νόμοις πειθόμενοι δίκαια οὗτοι ποιοῦσι; Xenoph. — ἀποκαρτερῶν, interprete Cicerone Tuscul. I, 35, 84 *a vita quidam per inediam discedens*.

2. Γοργίας. lege Aelian. IX. — Ἰσοκράτης ett. pugnant haec adversus eos, qui oratorem non unius testantur, sed decem annorum spatium in orationem illam perpoliendam insumsisse. fortasse voluit παναθηναϊκὸν λόγον, quem Isocrates paulo ante Chaeronensem calamitatem (338.) scripsisse fertur circa annum 340 a. C. n. — ἑνὸς ἀποδέοντα ἑκ. vid. B. §. 70. not. 1. —

ναίους ὑπὸ Φιλίππου ἐν τῇ περὶ Χαιρώνειαν μάχῃ νενικημένους, ποτνιώμενος τὸν Εὐριπίδειον στίχον προσηνέγκατο, εἰς ἑαυτὸν ἀναφέρων,

Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπών —

καὶ ἐπειπὼν ὡς δουλεύσει ἡ Ἑλλάς, ἐξέλιπε τὸν βίον. — Σοφοκλῆς 3
ὁ τραγῳδοποιὸς ῥᾶγα σταφυλῆς καταπιὼν ἀπεπνίγη, πέντε καὶ ἐνενήκοντα ζήσας ἔτη. οὗτος ὑπὸ Ἰοφῶντος τοῦ υἱέος ἐπὶ τέλει τοῦ βίου παρανοίας κρινόμενος ἀνέγνω τοῖς δικασταῖς Οἰδίπουν τὸν ἐπὶ Κολωνῷ, ἐπιδεικνύμενος διὰ τοῦ δράματος, ὅπως τὸν νοῦν ὑγιαίνει· ὡς τοὺς δικαστὰς τὸν μὲν ὑπερθαυμάσαι, καταψηφίσασθαι δὲ τοῦ υἱοῦ αὐτοῦ μανίαν. Κρατῖνος δὲ ὁ τῆς κωμῳδίας ποιητὴς ἑπτὰ πρὸς 4
τοῖς ἐνενήκοντα ἔτεσιν ἐβίωσε καὶ πρὸς τῷ τέλει τοῦ βίου διδάξας τὴν Πυτίνην καὶ νικήσας μετ' οὐ πολὺ ἐτελεύτα. καὶ Φιλήμων δὲ ὁ κωμικὸς ὁμοίως τῷ Κρατίνῳ ἑπτὰ καὶ ἐνενήκοντα ἔτη βιούς, κατέκειτο μὲν ἐπὶ κλίνης ἠρεμῶν, θεασάμενος δὲ ὄνον τὰ παρεσκευασμένα αὐτῷ σῦκα κατεσθίοντα ὥρμησε μὲν εἰς γέλωτα, καλέσας δὲ τὸν οἰκέτην καὶ σὺν πολλῷ καὶ ἀθρόῳ γέλωτι εἰπὼν προσδοῦναι τῷ ὄνῳ ἀκράτου ῥοφεῖν, ἀποπνιγεὶς ὑπὸ τοῦ γέλωτος ἀπέθανε. καὶ Ἐπίχαρμος δὲ ὁ τῆς κωμῳδίας ποιητὴς καὶ αὐτὸς ἐνενήκοντα καὶ ἑπτὰ ἔτη λέγεται βιῶναι. Ἀνακρέων δὲ ὁ τῶν μελῶν ποιητὴς ἔζησεν ἔτη 5
πέντε καὶ ὀγδοήκοντα· καὶ Στησίχορος δὲ ὁ μελοποιὸς ταὐτά. Σιμωνίδης δὲ ὁ Κεῖος ὑπὲρ τὰ ἐνενήκοντα. Γραμματικῶν δὲ Ἐρατοσθένης μὲν ὁ Ἀγλαοῦ Κυρηναῖος, ὃν οὐ μόνον γραμματικόν, ἀλλὰ καὶ ποιητὴν ἄν τις ὀνομάσειε καὶ φιλόσοφον καὶ γεωμέτρην, δύο καὶ ὀγδοήκοντα οὗτος ἔζησεν ἔτη. καὶ Λυκοῦργος δὲ ὁ νομοθέτης τῶν Λακεδαιμονίων πέντε καὶ ὀγδοήκοντα ἔτη ζῆσαι ἱστορεῖται.

ποτνιώμενος, i. e. ἐπικαλούμενος σὺν λύπῃ. — στίχον προσηνέγκ. versiculum sibi adhibuit, non multum differunt a sequentibus εἰς ἑαυτ. ἀναφέρων. sciendum autem hoc dictum ex Phrixo Euripideo exhaustum ab altero hoc versu excipi: Ἀγήνορος παῖς, ἵκετ' ἐς Θήβης πέδον. Schol. ad Arist. Ran. 1256.

3. Σοφοκλῆς ctt. alii aliter de morte Sophoclis. Valer. Max. c. XII haec habet: quum in certamen tragoediam dimisisset, ancipiti sententiarum eventu diu sollicitus, aliquando tamen una sententia victor causam mortis gaudium habuit. — κρινόμενος, vox iudicialis, cum Genit., ut θανάτου, Lat. mortis, amentiae accusatus. Bernhardy w. Synt. p. 178. — ὅπως, h. l. vim relativam accipit, ut ὡς, οἷος. Lysias orator: θαυμάζουσιν, ὅπως οὕτως ἀκριβῶς ἐδυνήθην ἐξευρεῖν τὰ ἁμαρτήματα. — ὡς. v. ad Aesop. fab. II extr.

4. διδάξας. διδάσκειν dicitur poeta, quum fabulam edit spectandam. Lat. dooere, rarius dare fabulam, ut Cic. Tuscul. I, 1, 3. hinc διδάσκαλος vocatur scriptor fabulae. Pytine autem Comoedia Cratini admodum celebrata, quam docuit Olymp. IX, 1. — ὁμοίως, cum Dat. comp. ὁ αὐτὸς ad Stobaeum c. IV init. — ὥρμησε μ. εἰς γέλ. Romani non multum abeunt ab hac dictione: in cachinnos effundebatur. Sneton. — ῥοφεῖν, cui h. l. Genitivus, quem dicunt, partitivus adnectitur. alii Accusativum admittunt. Aristoph. ὅσον ῥοφήσεις ζωμόν. εἰρήνης τρυβλίον ῥοφεῖν. — ὑπὸ τοῦ γέλ. per risum, nos: vor Lachen, addito Articulo quoniam eiusdem nominis vis iam antea definita erat. Xen. Anab. I, 5, 5. ἀπώλετο ὑπὸ τοῦ λιμοῦ, ratione atque causa famis commemorata. ibid. II, 2, 11. πάντες ἂν ὑπὸ λιμοῦ ἀπολοίμεθα. — καὶ αὐτός. v. ad Aelian. II.

5. μελῶν, h. l. de carminibus ad lyram cantandis. — Ἐρατοσθένης, praefectus Bibliothecae Alexandrinae imperante Ptolemaeo I. Euergeta. — οὗτος. v. ad §. 1 extr.

III.

1 Πατρίδος τὸ ὄνομα πρῶτον καὶ οἰκειότατον πάντων· οὐδὲν γὰρ ὅ τι τοῦ πατρὸς οἰκειότερον. εἰ δέ τις ἀπονέμει τῷ πατρὶ τὴν δικαίαν τιμήν, ὥσπερ καὶ ὁ νόμος καὶ ἡ φύσις κελεύει, προσηκόντως ἂν τὴν πατρίδα προτιμήσαι. καὶ γὰρ ὁ πατὴρ αὐτὸς τῆς πατρίδος κτῆμα καὶ ὁ τοῦ πατρὸς πατὴρ καὶ οἱ ἐκ τούτων οἰκεῖοι πάντες ἀνωτέρω, καὶ μέχρι θεῶν πατρῴων πρόεισιν ἀναβιβαζόμε-
2 νον τὸ ὄνομα. χαίρουσι καὶ θεοὶ πατρίσι καὶ πάντα μέν, ὡς εἰκός, ἐφορῶσι τὰ τῶν ἀνθρώπων αὐτῶν ἡγούμενοι κτήματα πᾶσαν γῆν καὶ θάλασσαν· ἐφ' ἧς δὲ ἕκαστος αὐτῶν ἐγένετο, προτιμᾷ τῶν ἄλλων ἁπασῶν πόλεων. καὶ πόλεις σεμνότεραι θεῶν πατρίδες, καὶ νῆσοι θειότεραι, παρ' αἷς ὑμνεῖται γένεσις θεῶν. ἱερὰ γοῦν κεχαρισμένα ταῦτα νομίζεται τοῖς θεοῖς, ἐπειδὰν εἰς τοὺς οἰκείους ἕκαστος ἀφικόμενος ἱερουργῇ τόπους. εἰ δὲ θεοῖς τίμιον τὸ τῆς πα-
3 τρίδος ὄνομα, πῶς οὐκ ἀνθρώποις πολύ γε μᾶλλον; καὶ γὰρ εἶδε τὸν ἥλιον πρῶτον ἕκαστος ἀπὸ τῆς πατρίδος· ὡς καὶ τοῦτον τὸν θεόν, εἰ καὶ κοινός ἐστιν, ἀλλ' οὖν ἑκάστῳ νομίζεσθαι πατρῷον διὰ τὴν πρώτην ἀπὸ τοῦ τόπου θέαν· καὶ φωνῆς ἐνταῦθα ἤρξατο ἐπιχώρια πρῶτα λαλεῖν μανθάνων καὶ θεοὺς ἐγνώρισεν. εἰ δέ τις τοιαύτης ἔλαχε πατρίδος, ὡς ἑτέρας δεηθῆναι πρὸς τὴν τῶν μειζόνων παιδείαν, ἀλλ' οὖν ἐχέτω καὶ τούτων τῶν παιδευμάτων τῇ πατρίδι τὴν χάριν· οὐ γὰρ ἂν ἐγνώρισεν οὐδὲ πόλεως ὄνομα, μὴ διὰ τῆς
4 πατρίδος πόλιν εἶναι μαθών. πάντα δέ, οἶμαι, παιδεύματα καὶ μαθήματα συλλέγουσιν ἄνθρωποι, χρησιμωτέρους αὐτοὺς ἀπὸ τούτων ταῖς πατρίσι παρασκευάζοντες. κτῶνται δὲ καὶ χρήματα φιλοτιμίας ἕνεκεν τῆς εἰς τὰ κοινὰ τῆς πατρίδος δαπανήματα· καὶ εἰκό-

---

III. (*Πατρίδος ἐγκώμιον*. c. 4 — 12). Hanc patriae laudem etsi sunt qui ab Luciano profectam negent, tamen nihil dubitavi vobiscum communicare, idque tanto minus quod maxima pars encomii eiusmodi est, ut optimis non solum Graecae libertatis temporibus, sed omnibus omnium hominum gentiumque seculis digna censeri debeat.

1. ὁ νόμος: legibus a Solone latis sancitum erat, ut supplicium sumeretur de pueris, si qui verecundiam deorum et erga parentes pietatem laederent. — οἰκεῖοι. Hesych. οἱ κατ' ἐπιγαμίαν ἀλλήλοις προσήκοντες καὶ ἴδιοι καὶ κατ' οἰκίαν πάντες. sensus: *atque inde ex illis proavito tempore nobis cognati*. ἀνωτέρω enim, ut plenius apud Aelianum οἱ ἄνω τοῦ γένους, aetatem spectat patribus avisque vetustiorem. — ἀναβιβαζόμενον, h. l. de tempore *retro adscendente*. dignum observatu et Lexicis addendum.

2. θεοί, dii patrii vel indigetes, qui varii in variis locis celebrabantur. memorare iuvat cultum Iovis Cretensis, Iunonis Samiae, Apollinis et Dianae Deliorum, Veneris Cythereae. — πῶς οὐκ —, *nonne*, *quidni*. cui subest maxima vis adfirmandi. v. M. §. 610, 6.

3. εἰ καί — ἀλλ' οὖν, *etsi* s. *quamquam communis*, — *tamen*. ἑκάστῳ νομίζ. πατρ. usus Latinorum satis quotidianus: ut hic deus *unicuique credatur patrius*. perperam alii: *ut videatur esse*, quae interpretatio recedit ab usu vocis νομίζειν. — λαλεῖν, interprete Ammonio, ἀτάκτως ἐκφέρειν τὰ ῥήματα. hinc apte de loquendi discendique quasi incunabulis. — τῶν μειζόνων, ad institutionem *maiorum rerum*, quam quae in viliori urbe natali disci queant. cf. infra Xenoph. orat. Cyri morientis ad filios §. 16. neminem facile praeterit, quam adposita haec sint ad ipsius Luciani patriam et itinera inde suscepta. — μὴ — μαθών, i. e. εἰ μὴ ἔμαθεν. vid. M. §. 608. d.

4. φιλοτιμίας ἕνεκεν ctt. h. e. *ambitiosa quadam* (qua quis ipse sibi gloriam adroget) *contentione beneficiorum in publicas patriae impensas con-*

τως, οἶμαι· δεῖ γὰρ οὐκ ἀχαρίστους εἶναι τοὺς τῶν μεγίστων τυχόντας εὐεργεσιῶν. ἀλλ' εἰ καὶ τοῖς καθ' ἕνα τις ἀπονέμοι χάριν, ὥσπερ ἐστὶ δίκαιον, ἐπειδὰν εὖ πάθῃ πρός τινος, πολὺ μᾶλλον προσήκει τὴν πατρίδα τοῖς καθήκουσιν ἀμείβεσθαι. κακώσεως μὲν γὰρ γονέων εἰσὶ νόμοι παρὰ ταῖς πόλεσι· κοινὴν δὲ προσήκει πάντων μητέρα τὴν πατρίδα νομίζειν, καὶ χαριστήρια τροφῶν ἀποδιδόναι καὶ τῆς τῶν νόμων αὐτῶν γνώσεως. ὥφθη δὲ οὐδεὶς οὕτως 5 ἀμνήμων τῆς πατρίδος, ὡς ἐν ἄλλῃ πόλει γενόμενος ἀμελεῖν. ἀλλ' οἵ τε κακοπραγοῦντες ἐν ταῖς ἀποδημίαις συνεχῶς ἀνακαλοῦσιν, ὡς μέγιστον τῶν ἀγαθῶν ἡ πατρίς· οἵ τε εὐδαιμονοῦντες, ἂν καὶ τὰ ἄλλα εὖ πράττωσι, τοῦτο γοῦν αὐτοῖς μέγιστον ἐνδεῖν νομίζουσι, τὸ μὴ τὴν πατρίδα οἰκεῖν, ἀλλὰ ξενιτεύειν. ὄνειδος γὰρ τὸ τῆς ξενιτείας· καὶ τοὺς κατὰ τὸν τῆς ἀποδημίας χρόνον λαμπροὺς γενομένους ἢ διὰ χρημάτων κτῆσιν, ἢ διὰ τιμῆς δόξαν, ἢ διὰ παιδείας μαρτυρίαν, ἢ δι' ἀνδρίας ἔπαινον, ἔστιν ἰδεῖν ἐς τὴν πατρίδα πάντας ἐπειγομένους, ὡς οὐκ ἂν ἐν ἄλλοις βελτίοσιν ἐπιδειξομένους τὰ αὐτῶν καλά. καὶ τοσούτῳ γε μᾶλλον ἕκαστος σπεύδει λαβέσθαι τῆς πατρίδος, ὅσῳπερ ἂν φαίνηται μειζόνων παρ' ἄλλοις ἠξιωμένος. πο- 6 θεινὴ μὲν οὖν καὶ νέοις πατρίς. τοῖς δὲ ἤδη γεγηρακόσιν ὅσῳ πλέον τοῦ φρονεῖν, ἢ τοῖς νέοις μέτεστι, τοσούτῳ καὶ πλείων ἐγγίνεται πόθος ὁ τῆς πατρίδος. ἕκαστος γοῦν τῶν γεγηρακότων καὶ σπεύδει καὶ εὔχεται καταλῦσαι τὸν βίον ἐπὶ τῆς πατρίδος, ἵν' ὅθεν ἤρξατο βιοῦν ἐνταῦθα πάλιν καὶ τὸ σῶμα παρακατάθηται τῇ θρεψαμένῃ γῇ καὶ τῶν πατρῴων κοινωνήσῃ τάφων. δεινὸν γὰρ ἑκάστῳ δοκεῖ ξενίας ἁλίσκεσθαι καὶ μετὰ θάνατον ἐν ἀλλοτρίᾳ κειμένῳ γῇ. ὅσον δὲ 7 τῆς εὐνοίας τῆς πρὸς τὰς πατρίδας μέτεστι τοῖς ὡς ἀληθῶς γνησίοις πολίταις, μάθοι τις ἐκ τῶν αὐτοχθόνων. οἱ μὲν γὰρ ἐπήλυδες καθάπερ νόθοι ῥᾳδίας ποιοῦνται τὰς μεταναστάσεις, τὸ μὲν τῆς πατρίδος ὄνομα μήτε εἰδότες, μήτε στέργοντες· ἡγούμενοι δ' ἁπαν-

---

ferendorum. ἕνεκεν forma Ionibus familiarior etiam apud Xenophontem decies viciesve optimis libris suffragantibus. severiori Atticismo Thomas Mag. hanc legem scribit: καὶ ἕνεκα καὶ εἵνεκα Πλάτων, Δημοσθένης καὶ οἱ ἄλλοι, Θουκυδίδης δὲ ἀεὶ ἕνεκα. et sic solet Aristophanes vel ἕνεκα vel οὕνεκα. — εἰ καί, h. l. *si etiam*, c. Opt. sequente Indic. praes. temporis. M. §. 524, 3. τοῖς καθ' ἕ. *singulis quibusque viritim.* — χαριστήρια, proprie sacrificia quibus gratiam refero diis pro acceptis beneficiis.

5. ἂν — εὖ πρ. *quantumvis sint reliquis rebus felices.* εὖ πράττειν alio modo adhibitum v. ad Aelian. III. init. — ξενιτεύειν, hoc uno loco Lucianus utitur voce Atticis rarissime usurpata. — λαμπρούς, *claros, illustres*, de omnibus virtutibus. cf. Xenoph. Anab. VII, 7, 41. — παιδείας. vid. ad Lucian. dial. mort. IV, 5. — λαβέσθαι, cum Genit. rei vel pers., ut reliqua verba attingendi. exempla praebet M. §. 330. comp. Virgilianum illud: iam tandem Italiae fugientis *prendimus* oras. Aen. VI, 61. similiter *complecti*, *amplexari*. — φαίνηται, cum Part. *quo maiorem eum apud alios gloriam meruisse omnibus compertum est*; cum Infin. i. q. *videri*.

6. ὅσῳ πλέον. πλεῖον an πλέον dicas nihil interest, quamquam hoc Atticis pervulgatius. v. M. §. 135. — καταλῦσαι. male in libris quibusdam καταλύσειν. Schol. ad Soph. Oed. T. 273. τὸ γὰρ εὔχομαι ἀντὶ τοῦ ὑπισχνοῦμαι τιθέμενον μέλλοντι συντάσσεται, ἀντὶ δὲ τοῦ εὐχὴν καὶ δέησιν ποιοῦμαι εἰς ἐνεστῶτα παρῳχημένου ἐκφέρεται. — ἁλίσκεσθαι, cum Genit. sensu forensi satis frequens. Lat. *condemnari peregrinationis.*

7. ἐπήλυδες. Hesych. νεωστὶ ἐλθόντες ἐξ ἑτέρας γῆς. quibus oppositi sunt γνήσιοι vel αὐτόχθονες. — στέργοντες, proprie de amore a natura

ταχῆ τῶν ἐπιτηδείων εὐπορήσειν μέτρον εὐδαιμονίας τὰς τῆς γαστρὸς ἡδονὰς τιθέμενοι. οἷς δὲ καὶ μήτηρ ἡ πατρὶς ἀγαπῶσι τὴν γῆν, ἐφ' ἧς ἐγένοντο καὶ ἐτράφησαν, κἂν ὀλίγην ἔχωσι, κἂν τραχεῖαν καὶ λεπτόγεων· κἂν ἀπορῶσι τῆς γῆς ἐπαινέσαι τὴν ἀρετήν, τῶν γε ὑπὲρ τῆς πατρίδος οὐκ ἀπορήσουσιν ἐγκωμίων. ἀλλὰ κἂν ἴδωσιν ἑτέρους σεμνυνομένους πεδίοις ἀνειμένοις καὶ λειμῶσι φυτοῖς παντοδαποῖς διειλημμένοις, καὶ αὐτοὶ τῶν τῆς πατρίδος ἐγκωμίων οὐκ ἐπιλαν-
8 θάνονται· τὴν δὲ ἱπποτρόφον ὑπερορῶντες καὶ κουροτρόφον ἐπαινοῦσι· καὶ σπεύδει τις ἐς τὴν πατρίδα κἂν νησιώτης ᾖ, κἂν παρ' ἄλλοις εὐδαιμονεῖν δύνηται καὶ διδομένην ἀθανασίαν οὐ προσήσεται, προτιμῶν τὸν ἐπὶ τῆς πατρίδος τάφον, καὶ ὁ τῆς πατρίδος αὐτῷ καπνὸς λαμπρότερος ὀφθήσεται τοῦ παρ' ἄλλοις πυρός. οὕτω δὲ ἄρα τίμιον εἶναι δοκεῖ παρὰ πᾶσιν ἡ πατρίς, ὥστε καὶ τοὺς παντοῖ νομοθέτας ἴδοι τις ἂν ἐπὶ τοῖς μεγίστοις ἀδικήμασιν ὡς χαλεπωτάτην ἐπιβεβληκότας τὴν φυγὴν τιμωρίαν, καὶ οὐχ οἱ νομοθέται μὲν οὕτως ἔχουσιν, οἱ δὲ πιστευόμενοι τὰς στρατηγίας ἑτέρως, ἀλλ' ἐν ταῖς μάχαις τὸ μέγιστόν ἐστι τῶν παραγγελμάτων τοῖς παρατασσομένοις, ὡς ὑπὲρ πατρίδος αὐτοῖς ὁ πόλεμος. καὶ οὐδεὶς ὅστις ἂν ἀκούσας τούτου κακὸς εἶναι θέλῃ· ποιεῖ γὰρ καὶ τὸν δειλὸν ἀνδρεῖον τὸ τῆς πατρίδος ὄνομα.

IV.

Ἑνὶ τούτῳ μόνῳ πάντα ἀναδραμεῖσθαι νῦν ἐλπίζεις τῷ κτᾶσθαι πολλὰ βιβλία. κατὰ δὴ ταῦτα ἔχε ξυλλαβὼν ἐκεῖνα τὰ τοῦ Δη-
1

indito et Phavorino interprete ἐπὶ πατέρων καὶ μητέρων καὶ παίδων. — λεπτόγεων. Hesych. λεπτὴ γῆ καὶ μὴ λιπαρά. — ἀπορῶσι, vulgo c. Genit., ut reliqua verba defectum aliquem indicantia, mox τῶν ἐγκωμίων. h. l. cum Infin. i. q. *nescire*, *non habere qui fiat aliquid*, qua significatione τί, ὅ τι, ὅπου, ὅποι adhibere aeque legitimum esset. — π. ἀνειμένοις. posses quidem ἀνίεσθαι explicare cum quibusdam *quod diis consecratum est*, ut Euripides de iuvene diis devoto: πῶλος τῆδ' ἀνειμένος πόλει, tamen nescio an rectius h. l. sit pro ἐκτεταμένα πεδία, *extensi*, *longe porrecti campi*, et respiciat quod supra legimus ὀλίγην πατρίδα, vel potius locum Homeri (Od. 4, 601 sq.), ubi Ithaca τρηχεῖ' ἀλλ' ἀγαθὴ κουροτρόφος, quamvis nec ἱππήλατος, nec εὐλείμων, nec denique planis spatiis (πεδία, δρόμοι εὐρέες) porrecta sit, a Telemacho laude praedicatur, ab Ulysse etiam praeoptatur ceteris terris omnibus. Hom. Od. 9, 27—28. — διειλημμένοις. v. Long. I, 1.

8. ἀθανασίαν οὐ προ. Ulysses in insula Calypsus immortalitatem sibi oblatam adspernatur prae dilecta patria. Hom. Od. 5, 203—224. — ὁ τῆς πατρ. καπνός ctt. Hom. Od. I, 58. Ὀδυσσεὺς ἱέμενος καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι ἧς γαίης θανέειν ἱμείρετο. — ἐπιβεβληκότας. ἐπιβάλλειν sive simpliciter sive τιμωρίαν, ζημίαν aut ἐπιβολὴν addito *multam irrogare*. — πιστευόμενοι τὰς στρ. *quibus praefectura exercitus commendatur*, οἷς αἱ στρατηγίαι πιστεύονται. sic apud Diod. XIV, 288 παρὰ τοῖς πολίταις πιστευθεὶς ἅπαξ στρατηγίας, *qui semel a civibus imperium sibi creditum accepit*.

IV. Πρὸς ἀπαίδευτον καὶ πολλὰ βιβλία ὠνούμενον, c. 4—14 haud paucis praetermissis. iam ante Luciani aetatem talia apud veteres exempla studiosae luxuriae increbruisse, ex Senecae philosophi libro *de tranquillitate animi* (c. 9.) discas, ubi de iis loquitur, quibus libri non studiorum instrumenta, sed coenationum ornamenta sunt.

1. π. ἀναδραμεῖσθαι, equidem explicandum censeo: *quavis ratione te auctum iri* speras multis libris comparandis, ut ἀναδραμεῖν pro αὐξηθῆ-

μοσθένους, ὅσα τῇ χειρὶ τῇ αὐτοῦ ὁ ῥήτωρ ἔγραψε, καὶ τὰ τοῦ Θουκυδίδου, ὅσα παρὰ τοῦ Δημοσθένους καὶ αὐτὰ ὀκτάκις μετεγγεγραμμένα εὑρέθη καλῶς. εἰ ἅπαντα ἐκεῖνα κτήσῃ, ὅσα ὁ Σύλλας Ἀθήνηθεν εἰς Ἰταλίαν ἐξέπεμψε, τί ἂν ἐκ τούτου πλέον εἰς παιδείαν κτήσαιο, κἂν ὑποβαλλόμενος αὐτὰ ἐπικαθεύδῃς ἢ ξυγκολλήσας καὶ περιβαλλόμενος περινοστῇς; πίθηκος γὰρ ὁ πίθηκος, ἡ παροιμία φησί, κἂν χρύσεα ἔχῃ σύμβολα. καὶ σὺ τοίνυν βιβλίον μὲν ἔχεις ἐν τῇ χειρὶ καὶ ἀναγιγνώσκεις ἀεί, τῶν δὲ ἀναγιγνωσκομένων οἶσθα οὐδέν, ἀλλ' ὄνος λύρας ἀκούεις κινῶν τὰ ὦτα. ὡς εἴγε τὸ κεκτῆσθαι τὰ βιβλία καὶ πεπαιδευμένον ἀπέφαινε τὸν ἔχοντα, πολλοῦ ἂν ὡς ἀληθῶς τὸ κτῆμα ἦν ἄξιον καὶ μόνων ὑμῶν τῶν πλουσίων, εἰ ὥσπερ ἐξ ἀγορᾶς ἦν πρίασθαι τοὺς πένητας ἡμᾶς ὑπερβάλλοντας. τίς δὲ τοῖς ἐμπόροις καὶ τοῖς βιβλιοκαπήλοις ἤρισεν ἂν περὶ παιδείας τοσαῦτα βιβλία ἔχουσι καὶ πωλοῦσιν; ἀλλ' εἴγε διελέγχειν ἐθέλοις, ὄψει μηδ' ἐκείνους πολύ σου τὰ ἐς παιδείαν ἀμείνους, ἀλλὰ βαρβάρους μὲν τὴν φωνὴν ὥσπερ σύ, ἀξυνέτους δὲ τῇ γνώσει, οἵους εἰκὸς εἶναι τοὺς μηδὲν τῶν καλῶν καὶ αἰσχρῶν καθεωρακότας. καίτοι σὺ μὲν δύο ἢ τρία παρ' αὐτῶν ἐκείνων πριάμενος ἔχεις· οἱ δὲ νύκτωρ καὶ μεθ' ἡμέραν διὰ χειρὸς ἔχουσιν αὐτά. τίνος οὖν ἀγαθοῦ ὤνῃ ταῦτα, εἰ καὶ μὴ τὰς ἀποθήκας αὐτὰς τῶν 2
βιβλίων ἤγῃ πεπαιδεῦσθαι τοσαῦτα περιεχούσας παλαιῶν ἀνδρῶν

ναι inde ab Homero non raro adhibitum est. Herod. VII, 156. αἱ Συρήκουσαι ἀνά τ' ἔδραμον καὶ ἀνέβλαστον. Diod. V. c. 12. οἱ καταποῦντες τὴν Μελίτην τοῖς τε βίοις ἀνέδραμον καὶ ταῖς δόξαις ηὐξήθησαν. ibi Wessel. alii nescio quo iure interpretantur: *omnia te iam emensurum speras.* — ὅσα τῇ χ. τῇ αὐτοῦ ctt. uno verbo dicere solebant αὐτόγραφα vel ἰδιόγραφα. sed et Demosthenem more veterum nonnunquam adhibuisse amanuensem, ut dictaret opera sua; arguit ὅσα vocula. ex qua etiam paucis post recte coniicere licebit singula quaedam ab oratoris manu exserpta, non totum Thucydidis opus exstitisse descriptum. cf. Krüg. de vita Thucyd. p. 82. — καὶ αὐτά. v. ad Aelian. II. — ὅσα ὁ Σύλλας ctt. Athenis a Sylla captis (86 a. C. n.) magna quum statuarum tum librorum copia, Plutarcho teste (vit. Syll. c. 26.) bibliotheca Apelliconis Teii Romam comportata est, cuius splendidissima dicuntur ornamenta Aristotelis et Theophrasti scripta fuisse. — ξυγκολλήσας, vox ex officina glutinatorum desumta. διακολλᾶν, συγκολλᾶν enim de libris glutine compingendis. — περινοστῇς. περινοστεῖν i. q. περιέρχεσθαι, περιοδεύειν. — πίθηκος ὁ πίθ. comparari potest Latinorum *Non magnus pumilio, licet in monte constiterit.* sed accuratius paulo, quod mox sequitur, proverbio ὄνος λύρας ἀκ. ctt. respondet Lat. *Asello surdo narrare fabellam.* — ὡς ἀληθῶς. vid. ad Lucian. dial. mort. V extr. — μόνων ὑμῶν, repete ex superiori oratione κτῆμα. — ὑπερβάλλοντας, Accusat. subiecti, qui pendet ab ἦν (ἐξῆν). recte etiam diceres: ὑπερβάλλουσιν s. ὥστε ὑμᾶς ὑπερβάλλειν. — ἐμπόροις, exspectes καπήλοις s. ἀγοραίοις. comp. *negotiator, mercator, caupo.* — διὰ χειρὸς ἔχ. *libros manibus tractant et versant.* ὑπὸ χειρὸς ἔχ. esset: *in potestate tenent.* comp. ἐν χειρί, μετὰ χεῖρας ἔχειν.

2. τίνος οὖν ἀγαθοῦ, *cuius igitur boni causa —?* eadem Ellipsi, qua Graeci ἕνεκα omittere solent, etiam Latini recte: *averruncandae* dearum *irae* victimam alicui mactare. v. Drakenb. ad Liv. XXXI, 12, 4. — εἰ καὶ μὴ ctt. verba sic iunge: εἰ μὴ καὶ αὐτὰς τ. ἀποθήκας ctt. secus illa apud Sophoclem: πόλιν μὲν εἰ καὶ μὴ βλέπεις, φρονεῖς δ' ὅμως οἷα νόσῳ ξύνεστι, et apud Platonem: εἰ καὶ μή ἐστιν ὅμοιον, φαίνεται δὲ τοιοῦτον. — παλαιῶν, *veterum atque praecipuorum auctorum.* Nostro vocantur ii, qui usque ad Alexandrum Macedonem vixerunt. cf. Sueton. Tib. 70. Wolf.

ξυγγράμματα; καί μοι, εἰ δοκεῖ, ἀπόκριναι· μᾶλλον δὲ ἐπεὶ τοῦτό σοι ἀδύνατον, ἐπίνευσον γοῦν ἢ ἀνάνευσον πρὸς τὰ ἐρωτώμενα. εἴ τις αὐλεῖν μὴ ἐπιστάμενος κτήσαιτο τοὺς Τιμοθέου αὐλοὺς ἢ τοὺς Ἰσμηνίου, οὓς ἑπτὰ ταλάντων ὁ Ἰσμηνίας ἐν Κορίνθῳ ἐπρίατο, ἆρα διὰ τοῦτο καὶ αὐλεῖν δύναιτο, ἢ οὐδὲν ὄφελος αὐτῷ τοῦ κτήματος οὐκ ἐπισταμένῳ χρήσασθαι κατὰ τὴν τέχνην; εὖγε ἀνένευσας· οὐδὲ γὰρ τοὺς Μαρσύου ἢ Ὀλύμπου κτησάμενος αὐλήσειεν ἂν μὴ μαθών. τί δ' εἴ τις τοῦ Ἡρακλέους τὰ τόξα κτήσαιτο μὴ Φιλοκτήτης ὤν, ὡς δύνασθαι ἐντείνασθαί τε αὐτὰ καὶ ἐπὶ σκοπεῖν τοξεῦσαι, τί σοι καὶ οὗτος δοκεῖ; ἆρ' ἂν ἐπιδείξασθαί τι ἔργον τοξότου ἄξιον; ἀνένευσας καὶ τοῦτο. κατὰ ταῦτα δὴ καὶ ὁ κυβερνᾶν οὐκ εἰδὼς καὶ ἱππεύειν μὴ μεμελετηκώς, εἰ ὁ μὲν ναῦν καλλίστην παραλάβοι, τοῖς ἅπασι καὶ εἰς κάλλος καὶ εἰς ἀσφάλειαν κάλλιστα ἐξειργασμένην, ὁ δὲ ἵππον κτήσαιτο Μῆδον ἢ Κενταυρίδην ἢ κοππαφόρον, ἐλέγχοιτο ἄν, οἶμαι, ἑκάτερος οὐκ εἰδὼς ὅ τι χρήσαιτο ἑκατέρῳ. ἐπινεύεις καὶ τοῦτο; πείθου δὴ καὶ τοῦτό μοι ἐπίνευσον, εἴ τις ὥσπερ σὺ ἀπαίδευτος ὢν ὠνοῖτο πολλὰ βιβλία, οὐ σκώμματα οὗτος εἰς ἀπαιδευσίαν καθ' ἑαυτοῦ ἐκφέρει; τί ὀκνεῖς καὶ τοῦτο ἐπινεύειν; ἔλεγχος γάρ, οἶμαι, σαφὴς οὗτος καὶ τῶν ὁρώντων ἕκαστος εὐθὺς τὸ προχειρότατον ἐκεῖνο ἐπιφθέγγεται· τί κοινὸν κυνὶ καὶ βαλανείῳ; —

3 Ἐπεὶ δὲ ἐν τοῖς ἄλλοις καὶ τὸν Ὅμηρον ἐπρίω πολλάκις, ἀναγνώτω σοί τις αὐτοῦ λαβὼν τὴν βῆτα τῆς Ἰλιάδος ῥαψῳδίαν, ἧς τὰ μὲν ἄλλα μὴ ἐξετάζειν· οὐδὲν γὰρ αὐτῶν πρὸς σέ· πεποίηται δέ τις αὐτῷ δημηγορῶν παγγέλοιος ἄνθρωπος, διάστροφος τὸ σῶμα καὶ λελωβημένος. ἐκεῖνος τοίνυν ὁ Θερσίτης, ὁ τοιοῦτος εἰ λάβοι τὴν Ἀχιλλέως πανοπλίαν, οἴει ὅτι αὐτίκα διὰ τοῦτο καὶ καλὸς ἅμα καὶ ἰσχυ-

— Τιμοθέου. *Timotheus* Thebanus, quo tibiis canente Alexander ad arma prosiluisse et animi impetum sedasse dicitur. Ἰσμηνίου. *Ismenias*, de quo Eustath. ad Hom. Il. 2, 502. ἡ δὲ Θίσβη (urbs Boeotiae) πολίτην μὲν ἔσχε τὸν περίπυστον αὐλητὴν Ἰσμηνίαν· Θισβεὺς γὰρ ἦν. — ἑπτὰ ταλάντων, tibias igitur emit, ut ex nostra ratione computem, 9625 thaleris. — Ὀλύμπου. *Olympus*, Phryx, in arte tibiarum clarus, Marsyae discipulus, ante Troiam expugnatam floruisse dicitur. — τί δ' —; aut cum admiratione adversantis est, aut ad novum aliquid, ut h. l., maxime ad aliam quandam interrogationem quam antea pergentis. — ἐπὶ σκοπεῖν, quid differat ab ἐπὶ cum Accus. v. B. §. 147. not. 4. — τοῖς ἅπασι, neutr. gen. *omnibus rebus*, similiter ac τοῖς ὅλοις. — Μῆδον. Herod. VII, 40. ἔστι πεδίον μέγα τῆς Μηδικῆς τῷ οὔνομά ἐστι Νίσαιον· τοὺς ὦν δὴ ἵππους τοὺς μεγάλους φέρει τὸ πεδίον τοῦτο. hinc Μῆδοι ἱππεῖς claruerunt. — Κενταυρίδην. Schol. οἱ ἐκ Λαρίσσης τῆς Θετταλίας ἵπποι, qua regione Centauri habitasse narrantur. Thessalicos autem equos omnium Graecorum praestantissimos, cursui maxime fuisse aptos, scriptores consentiunt. Herod. VII, 196. Soph. El. 693. — κοππαφόρον. equorum maxime Corinthiorum femori inurebatur *Koppa* signum. vid. Lexica et B. §. 2. not. 3. — τί κοινὸν κυνὶ κ. β. sic de rebus, quae dissident nec facile inter se conveniunt, Latini: *sus Minervam. camelus saltat.*

3. τὴν βῆτα ctt. pendebant olim singulae quaeque carminum Homericorum partes (rhapsodiae) e diversis argumentis rerum, unde inscriptionem vel nomen suum traxerunt, velut *Il. B.* — κατάλογος τῶν νεῶν, antea quam ea, qua Lucianus uti videtur, descriptio Aristarchea (154 a. C.) facta est. Wolf. Proleg. ad Hom. p. CVIII. — μὴ ἐξετάζειν. vid. B. §. 142. not. 5. — πεποίηται, ut Lat. *facere*, *inducere* aliquem concionantem. — ὁ τοιοῦτος, *hic qui talis est*, cum contemtu vel ironia quadam dictum. sic etiam Articulo omisso: Ἕλλην ὢν τοιοῦτός ἐστιν, *quamquam Graecus, talis* i. e.

ρὸς ἂν γένοιτο καὶ ὑπερπηδήσεται μὲν τὸν ποταμόν, ἐπιθολώσει δὲ αὐτοῦ τὸ δεῖθρον τῷ φόνῳ τῶν Φρυγῶν, ἀποκτενεῖ δὲ τὸν Ἕκτορα καὶ πρὸ αὐτοῦ τὸν Λυκάονα καὶ τὸν Ἀστεροπαῖον μηδὲ φέρειν ἐπὶ τῶν ὤμων τὴν μελίαν δυνάμενος; οὐκ ἂν εἴποις. ἀλλὰ καὶ γέλωτα ἂν ὀφλισκάνοι χωλεύων ὑπὸ τῇ ἀσπίδι καὶ ἐπὶ στόμα καταπίπτων ὑπὸ τοῦ βάρους, καὶ ὑπὸ τῷ κράνει, ὁπόταν ἀνανεύσειε, δεικνὺς τοὺς παραβλῶπας ἐκείνους αὐτοῦ ὀφθαλμοὺς καὶ τὸν θώρακα ἐπαίρων τῷ τοῦ μεταφρένου κυρτώματι καὶ τὰς κνημῖδας ἐπισυρόμενος καὶ ὅλως αἰσχύνων αμφοτέρους, καὶ τὸν δημιουργὸν αὐτῶν καὶ τὸν δεσπότην. τὸ αὐτὸ δὴ καὶ σὺ πάσχων οὐχ ὁρᾷς, ὁπόταν τὸ μὲν βιβλίον ἐν τῇ χειρὶ ἔχῃς πάγκαλον πορφυρᾶν μὲν ἔχον τὴν διφθέραν, χρυσοῦν δὲ τὸν ὀμφαλόν· ἀναγιγνώσκεις δὲ αὐτὸ βαρβαρίζων καὶ καταισχύνων καὶ διαστρέφων, ὑπὸ μὲν τῶν πεπαιδευμένων καταγελώμενος, ὑπὸ δὲ τῶν ξυνόντων σοι κολάκων ἐπαινούμενος, οἳ καὶ αὐτοὶ πρὸς ἀλλήλους ἐπιστρεφόμενοι γελῶσι τὰ πολλά; — Οὐκ 4
ἄκαιρον ἂν γένοιτο Λέσβιον μῦθόν τινα διηγήσασθαί σοι πάλαι γενόμενον. ὅτε τὸν Ὀρφέα διεσπάσαντο αἱ Θρᾶτται, φασὶ τὴν κεφαλὴν αὐτοῦ σὺν τῇ λύρᾳ εἰς τὸν Ἕβρον ἐμπεσοῦσαν ἐμβληθῆναι εἰς τὸν μέλανα πόντον καὶ ἐπιπλεῖν γε τὴν κεφαλὴν τῇ λύρᾳ, τὴν μὲν ᾄδουσαν θρῆνόν τινα ἐπὶ τῷ Ὀρφεῖ, ὡς λόγος, τὴν λύραν δὲ αὐτὴν ὑπηχεῖν τῶν ἀνέμων ἐμπιπτόντων ταῖς χορδαῖς· καὶ οὕτω μετ' ᾠδῆς προσενεχθῆναι τῇ Λέσβῳ· κἀκείνους ἀνελομένους τὴν μὲν κεφαλὴν καταθάψαι, ἵναπερ νῦν τὸ Βακχεῖον αὐτοῖς ἐστι· τὴν λύραν δὲ ἀνατεθεῖναι εἰς τοῦ Ἀπόλλωνος τὸ ἱερὸν καὶ ἐπὶ πολύ γε σώζεσθαι αὐτήν. χρόνῳ δὲ ὕστερον Νέανθον τὸν τοῦ Πιττακοῦ τοῦ 5
τυράννου ταῦτα ὑπὲρ τῆς λύρας πυνθανόμενον, ὡς ἐκήλει μὲν καὶ

---

ingenio tam illiberali *est*. Xenoph. cf. M. §. 265, 7. — ὑπερπηδήσεται ctt. conf. Hom. Il. 21, 233 sq., qua eadem rhapsodia (v. 34 sq. v. 161 sq.) Lycaonis Asteropaeique, Il. 22, 326 sq. Hectoris caedes narratur. — γέλωτα ἂν ὀφλ. de re iudiciali translatum: *risum debere alicui* (τινὶ s. παρά τινι.), i. e. *risui esse alicui*, quem Thersites quasi *debitum* sibi contrahit. Horatius imitatur: *tu nisi ventis debes ludibrium cave*. Od. I, 14, 15. — ἐπὶ στόμα καταπ. comp. Aelian. XI med., ubi eadem dictio sensu metaphorico. — παραβλῶπας ὀφθαλμούς, i. e. διαστρόφους — στραβοὺς ὀφθ. *detortos oculos*. Hom. Il. 2, 217 de Thersite: φολκὸς ἔην. — διφθέραν; h. l. de charta e membranis vel pellibus facta. hinc de toto volumine, ut Cicero Epp. ad Att. 13, 24 de Academicorum libris: *quatuor* διφθέραι *sunt in tua potestate*. — ὀμφαλόν. *umbilicum* dicunt Graeci et Romani *bullam* vel ligneam vel nitidiore materia confectam, qua extrema cornua bacilli, cui διφθέραι circumvolvebantur, et ornari et conservari solebant. — τὰ πολλά. v. B. §. 128. not. 4.

4. Λέσβιον μῦθον. eadem fabula ab aliis quoque vel narratur vel paucis adtingitur. tu compara Virg. Georg. IV, 517 sq. Ovid. Metam. XI ab initi. — μέλανα πόντον. alii *Propontidem* intelligi volunt, alii *Pontum Euxinum*. sed utut est, nemo intercedet quo minus accuratius Noster dicturus fuisset mare vel Thracium vel Aegaeum. — ἐπιπλεῖν, c. Dat. vulgo significationem *adoriendi* habet, hoc vero loco i. q. *innatare alicui rei*. — ὡς λόγος, suppleri potest ἐστὶν aut κατέχει. — κἀκείνους, respicit incolas Lesbi insulae, qua Enallage nihil tritius apud scriptores utriusque linguae. ceterum fuerunt qui Orphei tumulum in Thracia esse traderent. Pausan. IX, 30, 7 sq. — τοῦ Ἀ. τὸ ἱερόν. de collocatione Genitivi v. M. §. 278. not. 1. quae traiectio solet ab antitheto proficisci vel certe Genitivo vim tribuere non vulgarem.

θηρία καὶ φυτὰ καὶ λίθους, ἐμελῴδει δὲ καὶ μετὰ τὴν τοῦ Ὀρφέως συμφορὰν μηδενὸς ἁπτομένου, πρὸς ἔρωτα τοῦ κτήματος ἐμπεσεῖν καὶ διαφθείραντα τὸν ἱερέα μεγάλοις χρήμασι πεῖσαι, ὑποθέντα ἑτέραν ὁμοίαν λύραν δοῦναι αὐτῷ τὴν τοῦ Ὀρφέως· λαβόντα δὲ μεθ' ἡμέραν μὲν ἐν τῇ πόλει χρῆσθαι οὐκ ἀσφαλὲς οἴεσθαι εἶναι, νύκτωρ δὲ ὑπὸ κόλπου ἔχοντα μόνον προελθεῖν εἰς τὸ προάστειον καὶ στρωχειρισάμενον κρούειν καὶ συνταράττειν τὰς χορδὰς ἄτεχνον καὶ ἄμουσον νεανίσκον, ἐλπίζοντα καὶ μέλη τινὰ θεσπέσια ὑπηχήσειν τὴν λύραν, ὑφ' ὧν πάντας καταθέλξειν καὶ κηλήσειν καὶ μακάριον ἔσεσθαι κληρονομήσαντα τῆς Ὀρφέως μουσικῆς· ἄχρι δὴ ξυνελθόντας τοὺς κύνας πρὸς τὸν ἦχον, πολλοὶ δὲ ἦσαν αὐτόθι, διασπάσασθαι αὐτόν· ὡς τοῦτο γοῦν ὅμοιον τῷ Ὀρφεῖ παθεῖν καὶ μόνους ἐφ' ἑαυτὸν ξυγκαλέσαι τοὺς κύνας. ὅτε περ καὶ σαφέστατα ὤφθη, ὡς οὐχ ἡ λύρα θέλγουσα ἦν, ἀλλὰ ἡ τέχνη καὶ ἡ ᾠδή, ἃ μόνα ἐξαίρετα τῷ Ὀρφεῖ παρὰ τῆς μητρὸς ὑπῆρχεν. ἡ λύρα δὲ
6 ἄλλως κτῆμα ἦν οὐδὲν ἄμεινον τῶν ἄλλων βαρβίτων. καὶ τί σοι τὸν Ὀρφέα ἢ τὸν Νέανθον λέγω, ὅπου καὶ καθ' ἡμᾶς αὐτοὺς ἐγένετό τις καὶ ἔτι ἐστίν, οἶμαι, ὃς τὸν Ἐπικτήτου λύχνον τοῦ Στωϊκοῦ κεραμεοῦν ὄντα τρισχιλίων δραχμῶν ἐπρίατο; ἤλπιζε γάρ, οἶμαι, κἀκεῖνος εἰ τῶν νυκτῶν ὑπ' ἐκείνῳ τῷ λύχνῳ ἀναγιγνώσκοι, αὐτίκα μάλα καὶ τὴν Ἐπικτήτου σοφίαν ὄναρ ἐπιστήσεσθαι καὶ ὅμοιος ἔσεσθαι τῷ θαυμαστῷ ἐκείνῳ γέροντι. χθὲς δὲ καὶ πρώην ἄλλος τις τὴν Πρωτέως τοῦ Κυνικοῦ βακτηρίαν, ἣν καταθέμενος ἥλατο εἰς τὸ πῦρ, ταλάντου κἀκεῖνος ἐπρίατο καὶ ἔχει μὲν τὸ κει-

---

5. πρὸς ἔρωτα. cur hoc praesertim loco insolentius istud pro εἰς ἔρ. ἐμπίπτειν praetulerit scriptor, nemo facile pervideat. sic hostes dicuntur εἰς ἀθυμίαν ἐμπεσεῖν apud Xenoph. sed structura longe usitatissima est: ἔρως μοι ἐμπίπτει. num etiam ἐμέ —? v. Herm. ad Soph. Oed. Col. 946. — κρούειν, h. l. *pulsare plectro citharistae.* Orpheus chordas *iam digitis, iam pectine pulsat eburno.* Virg. sic etiam αὐλὸν κρούειν, Latini *tibiam digitis pulsare.* Lucret. IV, 589. — ὑπηχήσειν, h. l. vi transitiva, ut reliqua verba sonandi. hinc recte dicitur αὐλεῖται πᾶν μέλαθρον, *domus personat tibiis.* comp. ῥέω, λάμπω, alia eiusmodi verba. — κληρονομήσαντα. Schol. ad hunc locum: Ἀττικῶς κληρονομῶ τινος, i. e. *haeres sum alicuius.* quocum veteres Grammatici conspirant. Lobeck ad Phryn. p. 129. — ἦχον. Thomas Mag. quamquam paulo angustiore, tamen apta huic loco definitione: ἦχος κυρίως ἐπὶ μέλους καὶ βροντῆς. — ὅτε περ καί, nos: *wo denn auch* deutlich erkannt wurde. complectitur enim ὅτε particula h. l. simul et *causae* et *temporis* significationem. Thuc. I, 8. οἱ γὰρ ἐκ τῶν νήσων κακοῦργοι ἀνέστησαν ὑπ' αὐτοῦ, ὅτε περ καὶ τὰς πολλὰς αὐτῶν κατῴκιζε. — ἃ μόνα, relatum ad nomina feminini generis. vid. B. §. 129, 6. comp. insolentius istud Lucian. I. §. 2. — τῆς μητρός. Schol. ad h. l. Καλλιόπης γὰρ τῆς Μούσης λέγουσι γενέσθαι τοῦτον.

6. βαρβίτων. βάρβιτον, vocabulum non Graecum, sed Phrygium aut Persicum, si fides est Etymol. M., Schol. ad Hor. Od. I, 1, 34. interpretatur *lyram maiorem septichordem.* sic etiam Hesych. Suid. alii. hoc vero loco lyram et barbiton promiscue adhiberi, facile colligas. — τρισχιλίων δρ. i. e. 550 thaleris. — χθὲς καὶ πρ. formula proverbialis, *heri et nudius tertius.* πρώην καὶ χθές, inverso ordine, aeque tuentur boni auctores ac prius illud. — Πρωτέως. *Peregrinus* quidam, a semet ipso *Proteus* nominatus, quod omnia sibi cum Homerico illo communia gaudebat, in mille se formas vertisse, denique inani gloriae cupidine flagrans etiam in ignem praecipitasse dicitur. comp. Hom. Od. 4, 417—18. — κἀκεῖνος, idem ille quem modo

ρὸς ἂν γένοιτο καὶ ὑπερπηδήσεται μὲν τὸν ποταμόν, ἐπιθολώσει δὲ αὐτοῦ τὸ ῥεῖθρον τῷ φόνῳ τῶν Φρυγῶν, ἀποκτενεῖ δὲ τὸν Ἕκτορα καὶ πρὸ αὐτοῦ τὸν Λυκάονα καὶ τὸν Ἀστεροπαῖον μηδὲ φέρειν ἐπὶ τῶν ὤμων τὴν μελίαν δυνάμενος; οὐκ ἂν εἴποις. ἀλλὰ καὶ γέλωτα ἂν ὀφλισκάνοι χωλεύων ὑπὸ τῇ ἀσπίδι καὶ ἐπὶ στόμα καταπίπτων ὑπὸ τοῦ βάρους, καὶ ὑπὸ τῷ κράνει, ὁπόταν ἀνανεύσειε, δεικνὺς τοὺς παραβλῶπας ἐκείνους αὐτοῦ ὀφθαλμοὺς καὶ τὸν θώρακα ἐπαίρων τῷ τοῦ μεταφρένου κυρτώματι καὶ τὰς κνημῖδας ἐπισυρόμενος καὶ ὅλως αἰσχύνων αμφοτέρους, καὶ τὸν δημιουργὸν αὐτῶν καὶ τὸν δεσπότην. τὸ αὐτὸ δὴ καὶ σὺ πάσχων οὐχ ὁρᾷς, ὁπόταν τὸ μὲν βιβλίον ἐν τῇ χειρὶ ἔχῃς πάγκαλον πορφυρᾶν μὲν ἔχον τὴν διφθέραν, χρυσοῦν δὲ τὸν ὀμφαλόν· ἀναγιγνώσκεις δὲ αὐτὸ βαρβαρίζων καὶ καταισχύνων καὶ διαστρέφων, ὑπὸ μὲν τῶν πεπαιδευμένων καταγελώμενος, ὑπὸ δὲ τῶν ξυνόντων σοι κολάκων ἐπαινούμενος, οἳ καὶ αὐτοὶ πρὸς ἀλλήλους ἐπιστρεφόμενοι γελῶσι τὰ πολλά; — Οὐκ 4
ἄκαιρον ἂν γένοιτο Λέσβιον μῦθόν τινα διηγήσασθαί σοι πάλαι γενόμενον. ὅτε τὸν Ὀρφέα διεσπάσαντο αἱ Θρᾶτται, φασὶ τὴν κεφαλὴν αὐτοῦ σὺν τῇ λύρᾳ εἰς τὸν Ἕβρον ἐμπεσοῦσαν ἐφερεσθαι εἰς τὸν μέλανα πόντον καὶ ἐπιπλεῖν γε τὴν κεφαλὴν τῇ λύρᾳ, τὴν μὲν ᾄδουσαν θρῆνόν τινα ἐπὶ τῷ Ὀρφεῖ, ὡς λόγος, τὴν λύραν δὲ αὐτὴν ὑπηχεῖν τῶν ἀνέμων ἐμπιπτόντων ταῖς χορδαῖς· καὶ οὕτω μετ' ᾠδῆς προσενεχθῆναι τῇ Λέσβῳ· κἀκείνους ἀνελομένους τὴν μὲν κεφαλὴν καταθάψαι, ἵνα περ νῦν τὸ Βακχεῖον αὐτοῖς ἐστι· τὴν λύραν δὲ ἀναθεῖναι εἰς τοῦ Ἀπόλλωνος τὸ ἱερὸν καὶ ἐπὶ πολύ γε σώζεσθαι αὐτήν. χρόνῳ δὲ ὕστερον Νέανθον τὸν τοῦ Πιττακοῦ τοῦ 5
τυράννου ταῦτα ὑπὲρ τῆς λύρας πυνθανόμενον, ὡς ἐκήλει μὲν καὶ

---

ingenio tam illiberali est. Xenoph. cf. M. §. 265, 7. — ὑπερπηδήσεται ctt. conf. Hom. Il. 21, 233 sq., qua eadem rhapsodia (v. 34 sq. v. 161 sq.) Lycaonis Asteropaeique, Il. 22, 326 sq. Hectoris caedes narratur. — γέλωτα ἂν ὀφλ. de re iudiciali translatum: *risum debere alicui* (τινὶ s. παρά τινι.), i. e. *risui esse alicui*, quem Thersites quasi *debitum* sibi contrahit. Horatius imitatur: *tu nisi ventis debes ludibrium cave.* Od. I, 14, 15. — ἐπὶ στόμα καταπ. comp. Aelian. XI med., ubi eadem dictio sensu metaphorico. — παραβλῶπας ὀφθαλμούς, i. e. διαστρόφους — στραβοὺς ὀφθ. *detortos oculos.* Hom. Il. 2, 217 de Thersite: φολκὸς ἔην. — διφθέραν; h. l. de charta e membranis vel pellibus facta. hinc de toto volumine, ut Cicero Epp. ad Att. 13, 24 de Academicorum libris: *quatuor* διφθέραι *sunt in tua potestate.* — ὀμφαλόν. *umbilicum* dicunt Graeci et Romani *bullam* vel ligneam vel nitidiore materia confectam, qua extrema cornua bacilli, cui διφθέραι circumvolvebantur, et ornari et conservari solebant. — τὰ πολλά. v. B. §. 128. not. 4.

4. Λέσβιον μῦθον. eadem fabula ab aliis quoque vel narratur vel paucis adtingitur. tu compara Virg. Georg. IV, 517 sq. Ovid. Metam. XI ab init. — μέλανα πόντον. alii *Propontidem* intelligi volunt, alii *Pontum Euxinum.* sed utut est, nemo intercedet quo minus accuratius Noster dicturus fuisset mare vel Thracium vel Aegaeum. — ἐπιπλεῖν, c. Dat. vulgo significationem *adoriendi* habet, hoc vero loco i. q. *innatare alicui rei.* — ὡς λόγος, suppleri potest ἐστὶν aut κατέχει. — κἀκείνους, respicit incolas Lesbi insulae, qua Enallage nihil tritius apud scriptores utriusque linguae. ceterum fuerunt qui Orphei tumulum in Thracia esse traderent. Pausan. IX, 30, 7 sq. — τοῦ Ἀ. τὸ ἱερόν. de collocatione Genitivi v. M. §. 278. not. 1. quae traiectio solet ab antitheto proficisci vel certe Genitivo vim tribuere non vulgarem.

θηρία καὶ φυτὰ καὶ λίθους, ἐμελῴδει δὲ καὶ μετὰ τὴν τοῦ Ὀρφέως συμφορὰν μηδενὸς ἁπτομένου, πρὸς ἔρωτα τοῦ κτήματος ἐμπεσεῖν καὶ διαφθείραντα τὸν ἱερέα μεγάλοις χρήμασι πεῖσαι, ὑποθέντα ἑτέραν ὁμοίαν λύραν δοῦναι αὐτῷ τὴν τοῦ Ὀρφέως· λαβόντα δὲ μεθ' ἡμέραν μὲν ἐν τῇ πόλει χρῆσθαι οὐκ ἀσφαλὲς οἴεσθαι εἶναι, νύκτωρ δὲ ὑπὸ κόλπου ἔχοντα μόνον προελθεῖν εἰς τὸ προάστειον καὶ προσχειρισάμενον κρούειν καὶ συνταράττειν τὰς χορδὰς ἄτεχνον καὶ ἄμουσον νεανίσκον, ἐλπίζοντα καὶ μέλη τινὰ θεσπέσια ὑπηχήσειν τὴν λύραν, ὑφ' ὧν πάντας καταθέλξειν καὶ κηλήσειν καὶ μακάριον ἔσεσθαι κληρονομήσαντα τῆς Ὀρφέως μουσικῆς· ἄχρι δὴ ξυνελθόντας τοὺς κύνας πρὸς τὸν ἦχον, πολλοὶ δὲ ἦσαν αὐτόθι, διασπάσασθαι αὐτόν· ὡς τοῦτο γοῦν ὅμοιον τῷ Ὀρφεῖ παθεῖν καὶ μόνους ἐφ' ἑαυτὸν ξυγκαλέσαι τοὺς κύνας. ὅτε περ καὶ σαφέστατα ὤφθη, ὡς οὐχ ἡ λύρα θέλγουσα ἦν, ἀλλὰ ἡ τέχνη καὶ ἡ ᾠδή, ἃ μόνα ἐξαίρετα τῷ Ὀρφεῖ παρὰ τῆς μητρὸς ὑπῆρχεν. ἡ λύρα δὲ
6 ἄλλως κτῆμα ἦν οὐδὲν ἄμεινον τῶν ἄλλων βαρβίτων. καὶ τί σοι τὸν Ὀρφέα ἢ τὸν Νέανθον λέγω, ὅπου καὶ καθ' ἡμᾶς αὐτοὺς ἐγένετό τις καὶ ἔτι ἐστίν, οἶμαι, ὃς τὸν Ἐπικτήτου λύχνον τοῦ Στωϊκοῦ κεραμεοῦν ὄντα τρισχιλίων δραχμῶν ἐπρίατο; ἤλπιζε γάρ, οἶμαι, κἀκεῖνος εἰ τῶν νυκτῶν ὑπ' ἐκείνῳ τῷ λύχνῳ ἀναγιγνώσκοι, αὐτίκα μάλα καὶ τὴν Ἐπικτήτου σοφίαν ὄναρ ἐπιστήσεσθαι καὶ ὅμοιος ἔσεσθαι τῷ θαυμαστῷ ἐκείνῳ γέροντι. χθὲς δὲ καὶ πρώην ἄλλος τις τὴν Πρωτέως τοῦ Κυνικοῦ βακτηρίαν, ἣν καταθέμενος ἥλατο εἰς τὸ πῦρ, ταλάντου κἀκεῖνος ἐπρίατο καὶ ἔχει μὲν τὸ κει-

---

5. πρὸς ἔρωτα. cur hoc praesertim loco insolentius istud pro εἰς ἔρ. ἐμπίπτειν praetulerit scriptor, nemo facile pervideat. sic hostes dicuntur εἰς ἀθυμίαν ἐμπεσεῖν apud Xenoph. sed structura longe usitatissima est: ἔρως μοι ἐμπίπτει. num etiam ἐμέ —? v. Herm. ad Soph. Oed. Col. 946. — κρούειν, h. l. *pulsare plectro citharistae.* Orpheus chordas *iam digitis, iam pectine pulsat eburno.* Virg. sic etiam αὐλὸν κρούειν, Latini *tibiam digitis pulsare.* Lucret. IV, 589. — ὑπηχήσειν, h. l. vi transitiva, ut reliqua verba sonandi. hinc recte dicitur αὐλεῖται πᾶν μέλαθρον, *domus personat tibiis.* comp. ῥέω, λάμπω, alia eiusmodi verba. — κληρονομήσαντα. Schol. ad hunc locum: Ἀττικῶς κληρονομῶ τινος, i. e. *haeres sum alicuius.* quocum veteres Grammatici conspirant. Lobeck ad Phryn. p. 129. — ἦχον. Thomas Mag. quamquam paulo angustiore, tamen apta huic loco definitione: ἦχος κυρίως ἐπὶ μέλους καὶ βροντῆς. — ὅτε περ καί, nos: *wo denn auch* deutlich erkannt wurde. complectitur enim ὅτε particula h. l. simul et *causae* et *temporis* significationem. Thuc. I, 8. οἱ γὰρ ἐκ τῶν νήσων κακοῦργοι ἀνέστησαν ὑπ' αὐτοῦ, ὅτε περ καὶ τὰς πολλὰς αὐτῶν κατῴκιζε. — ἃ μόνα, relatum ad nomina feminini generis. vid. B. §. 129, 6. comp. insolentius istud Lucian. I. §. 2. — τῆς μητρός. Schol. ad h. l. Καλλιόπης γὰρ τῆς Μούσης λέγουσι γενέσθαι τοῦτον.

6. βαρβίτων. βάρβιτον, vocabulum non Graecum, sed Phrygium aut Persicum, si fides est Etymol. M., Schol. ad Hor. Od. I, 1, 34. interpretatur *lyram maiorem septichordem.* sic etiam Hesych. Suid. alii. hoc vero loco lyram et barbiton promiscue adhiberi, facile colligas. — τρισχιλίων δρ. i. e. 550 thaleris. — χθὲς καὶ πρ. formula proverbialis, *heri et nudius tertius.* πρώην καὶ χθές, inverso ordine, aeque tuentur boni auctores ac prius illud. — Πρωτέως. *Peregrinus* quidam, a semet ipso *Proteus* nominatus, quod omnia sibi cum Homerico illo communia gaudebat, in mille se formas vertisse, denique inani gloriae cupidine flagrans etiam in ignem praecipitasse dicitur. comp. Hom. Od. 4, 417—18. — κἀκεῖνος, idem ille quem modo

μήλιον τοῦτο καὶ δείκνυσιν, ὡς Τεγεᾶται τοῦ Καλυδωνίου τὸ δέρμα καὶ Θηβαῖοι τὰ ὀστᾶ τοῦ Γηρυόνου καὶ Μεμφῖται τῆς Ἴσιδος τοὺς πλοκάμους. αὐτὸς δὲ ὁ τοῦ θαυμαστοῦ κτήματος δεσπότης καὶ αὐτὰν σὲ τῇ ἀπαιδευσίᾳ καὶ βδελυρίᾳ ὑπερηκόντισεν.

---

dixerat ἄλλος τις. sic solent aut istud aut οὗτος Pronomen adiicere ad sustinendam vim prioris alicuius nominis alia praesertim periodo interiecta, ut h. l. comp. ad Lucian. II. §. 1. — Γηρυόνου. alii Γηρύονος, ut Latini solent *Geryon*. sed nihil est cur formam Γηρυόνης deseramus. ceterum v. ad Lucian. dial. mort. VII de formis Χάροπος et Χάροψ.

ΠΑΥΣΑΝΙΟΥ ΚΑΠΠΑΔΟΚΟΣ.

1 I. Ὁ πόλεμος οὗτος ἔλαβε τέλος ἔτει πρώτῳ τῆς τετάρτης καὶ δεκάτης ὀλυμπιάδος, ἣν Δάσμων Κορίνθιος ἐνίκα στάδιον, Ἀθήνησι Μεδοντιδῶν τὴν ἀρχὴν ἔτι ἐχόντων τὴν δεκέτιν καὶ ἔτους Ἱππομένει τετάρτου τῆς ἀρχῆς ἠνυσμένου. Μεσσηνίων δὲ ὅσοις μὲν ἔτυχον ἐν Σικυῶνι οὖσαι καὶ ἐν Ἄργει προξενίαι καὶ παρὰ τῶν Ἀρκάδων τισίν, οὗτοι μὲν ἐς ταύτας τὰς πόλεις ἀπεχώρησαν, ἐς Ἐλευσῖνα δὲ οἱ τοῦ γένους τῶν ἱερέων καὶ θεαῖς ταῖς μεγάλαις τελοῦντες τὰ ὄργια. ὁ δὲ ὄχλος ὁ πολὺς κατὰ τὰς πατρίδας ἕκα-
2 στοι τὰς ἀρχαίας ἐσκεδάσθησαν. Λακεδαιμόνιοι δὲ πρῶτα μὲν τὴν Ἰθώμην καθεῖλον ἐς ἔδαφος, ἔπειτα καὶ τὰς λοιπὰς πόλεις ἐπιόν-

---

Pausanias Caesareensis Cappadox, de cuius aetate non est quod ambigas. Herode enim Attico moderatore rudimentis rhetorices imbutus, postea et arte et aetate provectior Claudio Aeliano discipulo prodesse studuit, unde tempora Antoninorum ab iisque proxima (161—222 p. C. n.) ei adsignanda videntur. itineribus haud exiguam vitae partem impendit, quorum indicia reperiuntur dissipata per X eius libros de situ Graeciae (τῆς Ἑλλάδος περιήγησις). sed oratio quum tortuosa verborum complexione, tum concisis abruptisque sententiis impedita nativo rerum imaginumque colori atque simplicitati non raro obstat et officit. cur autem non prorsus Pausanias ab hac societate litteraria videretur excludendus, ipsa fecerunt argumenta rerum, quae ex largiore fonte hauriantur dignissima. atque vix quidquam magis censuerim oblectationi esse iuvenili animo, quam secundi belli Messenii historiam dicam an poema dubito. quod bellum nisi Nostrum adieris (L. IV, c. 14—23.), Rhiano poeta et Myrone historico Prienensi deperditis probe pernoscere non potes. Iustinum tamen (L. III. c. 5—6.) in his rebus ne dedigneris comitem. — Edd. C. G. Siebelis. Lips. 1822 s. V. 8. Imm. Bekker. Berol. 1826. II. 8.

I. Primum bellum, quod undeviginti annos complevérat, conficitur Olymp. 14, 1. Messenii asperrime a Lacedaemoniis vexati bello iterum suscipiendo deficere statuunt. Aristomenes. —

1. ἐνίκα στ. ex eadem analogia, qua νίκην, μάχην νικᾶν, recte dicis τίθριππον, ἅρμα, στάδιον ν. et id genus alia. docebit hemistichium alicuius poetae: Διοφῶν ὁ Φίλωνος ἐνίκα Ἅλμα, ποδωκείην, δίσκον, ἄκοντα, πάλην. nec duorum h. l. concursus Accusativorum habet quod offendat. Demost. c. Theocr. p. 1342. Ἐπιχάρης Ὀλύμπια ἐνίκησε παῖδας στάδιον, ubi Acc. loci, rei, personae. — ἠνυσμένου. vid. B. §. 98. not. 6. — ἐς Ἐλευσῖνα, unde mysteria olim et sacra deorum in Messeniam erant illata. — τὰς πατρίδας ctt. in pristinas suas patrias, h. e. urbes Messeniae se receperunt, quas duobus proeliis commissis primo bello deseruerant in Ithomen montem commigraturi.

2. καθεῖλον ἐς ἔδ. solo aequarunt, sic πόλιν καταστρέφειν, ἀνοῴ-

τες ᾖρουν. ἀνέθεσαν δὲ καὶ ἀπὸ τῶν λαφύρων τῷ Ἀμυκλαίῳ τρί-
ποδας χαλκοῦς. . . . . Τὰ δὲ ἐς αὐτοὺς Μεσσηνίους παρὰ Λακε- 3
δαιμονίων ἔσχεν οὕτως. πρῶτον μὲν αὐτοῖς ἐπάγουσιν ὅρκον μήτε
ἀποστῆναί ποτε ἀπ' αὐτῶν, μήτε ἄλλο ἐργάσασθαι νεώτερον μηδέν.
δεύτερον δὲ φόρον μὲν οὐδένα ἐπέταξαν εἰρημένον, τῶν δὲ γεωρ-
γουμένων τροφῶν σφίσιν ἀποφέρειν ἐς Σπάρτην πάντα ἡμίσεα.
προείρητο δὲ καὶ ἐπὶ τὰς ἐκφορὰς τῶν βασιλέων καὶ ἄλλων τῶν ἐν
τέλει καὶ ἄνδρας ἐκ τῆς Μεσσηνίας καὶ τὰς γυναῖκας ἐν ἐσθῆτι
ἥκειν μελαίνῃ· καὶ τοῖς παραβᾶσιν ἐπέκειτο ποινή. τιμωρίαι δὲ ἃς
ὕβριζον ἐς τοὺς Μεσσηνίους Τυρταίῳ πεποιημέναι εἰσίν·

ὥσπερ ὄνοι μεγάλοις ἄχθεσι τειρόμενοι,
δεσποσύνοισι φέροντες ἀναγκαίης ὕπο λυγρῆς
ἥμισυ πᾶν, ὅσσον καρπὸν ἄρουρα φέρει.

ὅτι δὲ καὶ συμπενθεῖν ἔκειτο αὐτοῖς ἀνάγκη, δεδήλωκεν ἐν τῷδε·

δεσπότας οἰμώζοντες ὁμῶς ἄλοχοί τε καὶ αὐτοί,
εὖτέ τιν' οὐλομένη μοῖρα κίχοι θανάτου.

Τοιούτων οὖν οἱ Μεσσήνιοι κατειληφότων καὶ ἅμα ἐς τὰ μέλλοντα 4
οὐδὲν ἑνορῶντες παρὰ τῶν Λακεδαιμονίων φιλάνθρωπον, πρό τε δὴ
τῶν παρόντων τεθνάναι μαχομένους, ἢ καὶ τοπαράπαν ἐκ Πελο-
ποννήσου φεύγοντας οἴχεσθαι νομίζοντες αἱρετώτερα, ἀφίστασθαι
πάντως ἐγίγνωσκον. ἐνῆγον δὲ οὐχ ἥκιστα ἐς τοῦτο καὶ οἱ νεώτεροι,
πολέμου μὲν ἔτι ἀπείρως ἔχοντες, λαμπροὶ δὲ ὄντες τὰ φρονήματα
καὶ ἀποθανεῖν προτιμῶντες ἐν ἐλευθέρᾳ τῇ πατρίδι, εἰ καὶ τὰ ἄλλα
εὐδαιμόνως δουλεύειν παρείη. ἐπετράφη δὲ νεότης καὶ ἀλλαχοῦ τῆς 5
Μεσσηνίας, οἱ δὲ ἄριστοι καὶ ἀριθμὸν πλεῖστοι περὶ τὴν Ἀνδανίαν,

---

ῥίπτειν εἰς ἔδαφος. — τῷ Ἀμυκλαίῳ, i. e. Apollini Amyclis, oppido agri Laconici, culto.

3. αὐτοῖς ἐπάγουσιν ὅρκ. *eos adigunt ad iusiurandum*, non raro cum significatione importunitatis vel acerbitatis, ut nos einem etwas aufbürden, aufladen. δίκην, τίμημα, δουλείαν τινὶ ἐπάγειν. — εἰρημένον, *pacto constitutum*. — ἐκφοράς, de funeribus efferendis, ut ἐκφέρειν — ἐκκομιδὴ et ἐκκομίζειν, satis notum. v. ad Aelian. XXV. — καὶ τὰς γυναῖκας, Articulus succedit in vicem eorum, quae supra ad ἄνδρας abesse eum patiebantur, ἐκ τῆς *M.* aut si mavis verte: *atque illorum coniuges*, id quod verba Tyrtaei mox suadere videntur. — ἐν ἐσθ. μελαίνῃ. quum alii populi, tum Graeci Romanique atris vestibus utebantur in luctu, sed exstincta re publica etiam alba vestis mulieribus Rom. videtur lugubris fuisse. — δεσποσύνοισι, i. q. δεσπόταις, quamquam alias solet pro adiectivo capi, ut δεσπόσυνοι ἀνάγκαι *necessitates a dominis iniunctae*. Aesch. Pers. 593. —. ὕπο. alii minus recte h. l. ὑπό. v. B. §. 117, 3. — αὐτοί. vid. ad Lucian. I. §. 1. — εὖτε, i. e. ὁπότε τ. *quando quem abripuisset fatum*.

4. τοιούτων — κατειληφότων, *talibus tantisque* (malis) *incitatis*. ne vero ad καταλαμβάνειν absolute positum subaudiendum quidquam putes, lege quae commode citat Siebelis, τοῖς ἔνδον αἴσθησις ἐγεγόνει τοῦ κατειληφότος κινδύνου. Paus. IV, 29, 1. ὁπότε πόλεμος καταλάβοι (*quoties ingrueret bellum.*), τῷ φρουρίῳ οἱ Ἀθηναῖοι ἐχρῶντο. Thuc. II, 18. ceterum animadverte verborum traiectionem, quamquam huius synchysis gemella exempla non admodum rara. Thuc. IV, 135. ἀπεπείρασε δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ ὁ Βρασίδας τελευτῶντος, καὶ πρὸς ἔαρ ἤδη, Ποτιδαίας. — πρό τε δὴ τῶν κ. - Paus. IV, 7, 4. πρό τε δὴ τηλικούτων κακῶν κέρδος ἀποθανεῖν. cf. M. §. 450. not. 1. §. 575. — ἐγίγνωσκον, *decreverunt, placuit*, qua significatione usui forensi receptum de legum latoribus aliisque magistratibus. cf. Athen. II, 8 extr. Lucian. dial. mort. I, 4. — τα φρονήματα, hohe Gesinnung. ἔπαρσις, διάνοια ἐπηρμένη.

ἐν δὲ αὐτοῖς καὶ Ἀριστομένης, ὃς καὶ νῦν ἔτι ὡς ἥρως ἔχει παρὰ Μεσσηνίοις τιμάς· καί οἱ καὶ τὰ τῆς γενέσεως ἐπιφανέστερα ὑπάρξαι νομίζουσι. Νικοτελείᾳ γὰρ τῇ μητέρι αὐτοῦ δαίμονα ἢ θεὸν δράκοντι εἰκασμένον συγγενέσθαι λέγουσι. . . . . Ἀριστομένει δὲ πατέρα Ἑλλήνων οἱ πολλοὶ Πύῤῥον φασὶν εἶναι· Μεσσηνίους δὲ οἶδα αὐτὸς ἐπὶ ταῖς σπονδαῖς Ἀριστομένην Νικομήδους καλοῦντας. οὗτος μὲν οὖν ἀκμάζων ἡλικίᾳ καὶ τόλμῃ καὶ ἄλλοι τῶν ἐν τέλει παρώξυνον ἐπὶ τὴν ἀπόστασιν. ἐπράσσετο δὲ ταῦτα οὐκ εὐθὺς ἐκ τοῦ φανεροῦ, κρύφα δὲ ἐς Ἄργος καὶ παρὰ τοὺς Ἀρκάδας ἀπέστελλον, εἴ σφισιν ἀπροφασίστως καὶ μηδὲν ἐνδεεστέρως ἢ ἐπὶ τοῦ πολέμου τοῦ προτέρου ἀμῦναι θελήσουσιν.

1 II. Ὡς δὲ τά τε ἄλλα ἐς τὸν πόλεμον ἕτοιμα ἦν αὐτοῖς καὶ τὰ ἀπὸ τῶν συμμάχων προθυμότερα ἢ προσεδόκων (καὶ γὰρ Ἀργείοις ἤδη καὶ Ἀρκάσι λαμπρῶς τὸ ἐς τοὺς Λακεδαιμονίους ἔχθος ἐξῆπτο), οὕτως ἀπέστησαν ἔτει τριακοστῷ μὲν καὶ ἑνάτῳ μετὰ Ἰθώμης ἅλωσιν, τετάρτῳ δὲ τῆς τρίτης ὀλυμπιάδος καὶ εἰκοστῆς, ἣν Ἴκαρος Ὑπερησιεὺς ἐνίκα στάδιον. Ἀθήνησι δὲ οἱ κατ' ἐνιαυτὸν ἦσαν ἤδη τότε ἄρχοντες, καὶ Ἀθηναίοις Τλησίας ἦρχεν· ἐν δὲ Λακεδαίμονι οἵτινες τηνικαῦτα ἔτυχον βασιλεύοντες, Τυρταῖος μὲν τὰ ὀνόματα οὐκ ἔγραψε· . . . . Τυρταῖον δὲ καὶ οὐ λέγοντα ὅμως εἰρηκέναι τις ἂν ἐν τῷδε ἡγοῖτο. ἐλεγεῖα γὰρ ἐς τὸν πρότερόν ἐστιν αὐτῷ πόλεμον·

ἀμφ' αὐτὴν δ' ἐμάχοντ' ἐννεακαίδεκ' ἔτη
νωλεμέως αἰεὶ ταλασίφρονα θυμὸν ἔχοντες,
αἰχμηταὶ πατέρων ἡμετέρων πατέρες.

δῆλα οὖν ἐστιν, ὡς ὕστερον τρίτῃ γενεᾷ τὸν πόλεμον οἱ Μεσσήνιοι τόνδε ἐπολέμησαν. ἀποδείκνυσί τε τοῦ χρόνου τὸ συνεχὲς βασιλεύοντας τηνικαῦτα ἐν Σπάρτῃ Ἀνάξανδρον Εὐρυκράτους τοῦ Πολυδώρου, τῆς δὲ οἰκίας τῆς ἑτέρας Ἀναξίδαμον Ζευξιδάμου τοῦ Ἀρχι-

---

5. ἥρως, *semideus*, quod idem refertur de regibus Spartanis: οὐχ ὡς ἀνθρώπους, ἀλλ' ὡς ἥρωας τοὺς Λακεδαιμονίων βασιλεῖς προτετιμήκασιν. Xenoph. — καί οἱ, de quo Pronominis usu pro αὐτῷ vid. Bernhardy w. Synt. p. 271. ceterum haec et alia Ἰωνικώτερα in deliciis habet Pausanias, veluti σφίσι pro αὐτοῖς, mox μητέρι (v. B. §. 47.), c. III, 2. συνέχεε, κατὰ ἔχθος similesque vocalium concursus. — τῶν ἐν τέλει. Schol. ad Thuc. I, 58. οἱ Λακεδαιμόνιοι τοὺς ἄρχοντας τέλη ἐκάλουν διὰ τὰ αὐτοὺς τὰ τέλη τοῖς πράγμασι τιθέναι. sic οἱ ἐν τ. i. q. τάσσοντες, κοσμήτορες, infra II, 3.

II. Deficiunt. aequo Marte pugnatur ad Deras. Aristomene imperatore cum summa potestate electo iterum proelium paratur.

1. λαμπρῶς — ἐξῆπτο. ἐξάπτειν fere constanter de incendendo igne, veluti φλόγα Arrian. I, 22, 2, II, 19, 3. Diod. L. 16. c. 58. unde Graecos pariter uti decuit illa iunctura, ac nos: der Hass war in helle Flammen ausgebrochen. — ἑνίκα στ. v. ad I, 1. — Ἀθήνησι, ut supra I, §. 1. cum Iota depingendum curavi contra rationem nonnullorum Grammaticorum, qui licet ex Dativis ortum concedant subscribi vetant. — Τλησίας, Archon anno 683 a. C. n. — ἀμφ' αὐτὴν δ' ἐμ. intellige ἀμφὶ Μεσσήνην τὴν πατρίδα.. usus ἀμφὶ Praepositionis, ut apud Hom. Il. 461. Ἴλιον ἀμφεμάχοντο. 22, 381. ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν. comp. 18, 20. — νωλεμέως. Hesych. βίαιον, συνεχές, ἀδιαλείπτως. hinc iure videtur derivandum a λείπω et adfixo νη-, de quo v. B. §. 120. not. 12. — Ἀνάξανδρον. Anaxander, Eurycratis I (709 a. C.) filius, Polydori (750 a. C.) nepos, circa annum 684 Spartae rex originem deduxit ab illorum principum

δάμου τοῦ Θεοπόμπου. . . . . Τότε δὲ οἱ Μεσσήνιοι Λακεδαιμονίοις 2
συμβάλλουσιν ἐν Δέραις καλουμέναις τῆς σφετέρας ἔτει πρώτῳ μετὰ
τὴν ἀπόστασιν. ἀπῆσαν δὲ ἀμφοτέροις οἱ σύμμαχοι· καὶ νίκη μὲν
ἐγένετο οὐδετέρων σαφής, Ἀριστομένην δὲ ἔργα φασὶν ἀποδείξασθαι
πλέον τι ἢ ἄνδρα ἕνα εἰκὸς ἦν, ὥστε καὶ βασιλέα μετὰ τὴν μάχην
ᾑροῦντο αὐτόν· ἦν γὰρ καὶ γένους τῶν Αἰπυτιαδῶν· παραιτουμέ-
νου τε, οὕτω στρατηγὸν αὐτοκράτορα εἵλοντο. Ἀριστομένει δὲ πα-
ρίστατο μηδ' ἂν ἄλλον ἀπαξιῶσαι παθεῖν τι ἐν πολέμῳ δράσαντα
ἄξια μνήμης· αὐτῷ μέντοι καὶ πρὸ παντὸς ἐνομίζεν εἶναι ἔτι ἀρ-
χομένου τοῦ πολέμου Λακεδαιμονίους καταπλήξαντα φαίνεσθαι καὶ
ἐς τὰ μέλλοντά σφισι φοβερώτερον. ἅτε δὲ οὕτως ἔχων, ἀφικόμενος
νύκτωρ ἐς τὴν Λακεδαίμονα ἀνατίθησιν ἀσπίδα πρὸς τὸν τῆς Χαλ-
κιοίκου ναόν· ἐπεγέγραπτο δὲ Ἀριστομένην ἀπὸ Σπαρτιατῶν διδό-
ναι τῇ θεῷ. ἐγένετο δὲ καὶ Λακεδαιμονίοις μάντευμα ἐκ Δελφῶν 3
τὸν Ἀθηναῖον ἐπάγεσθαι σύμβουλον. ἀποστέλλουσιν οὖν παρὰ τοὺς
Ἀθηναίους τόν τε χρησμὸν ἀπαγγελοῦντας καὶ ἄνδρα αἰτοῦντας πα-
ραινέσοντα ἃ χρή σφισιν. Ἀθηναῖοι δὲ οὐδέτερα θέλοντες, οὔτε
Λακεδαιμονίους ἄνευ μεγάλων κινδύνων προσλαβεῖν μοῖραν τῶν ἐν
Πελοποννήσῳ τὴν ἀρίστην, οὔτε αὐτοὶ παρακοῦσαι τοῦ θεοῦ, πρὸς
ταῦτα ἐξευρίσκουσι. καὶ — ἦν γὰρ Τυρταῖος διδάσκαλος γραμμάτων,
νοῦν τε ἥκιστα ἔχειν δοκῶν καὶ τὸν ἕτερον τῶν ποδῶν χωλός, —
τοῦτον ἀποστέλλουσιν ἐς Σπάρτην. ὁ δὲ ἀφικόμενος ἰδίᾳ τε τοῖς ἐν
τέλει καὶ συνάγων ὁπόσους τύχοι, καὶ ἐλεγεῖα καὶ τὰ ἔπη σφίσι τὰ

---

familia, qui Agidae (Ἀγιάδαι) adpellantur; Anaxidamus vero cum patre, ayo proavoque ab altera illa Eurypontidarum.

2. τῆς σφετέρας, intell. γῆς. pendet a voce Δέραις, cui oppidulo cur καλουμέναις adpositum sit, ex ipsius humilitate atque ignobilitate commode interpretaberis. — πλέον τι. Siebelis ita explicat: „appositio vocabuli ἔργα. nos: *Thaten verrichtet haben, mehr als glaublich war, dass ein einziger Mann sie verrichten könne.* ἄνδρα ἕνα pendere ab εἰκὸς ἦν et animo repetendum esse ἀποδείκνυσθαι manifestum est.“ — Αἰπυτιαδῶν. Aepytus, rex Arcadum, cuius posteri Aepytidae vocantur. — παραιτουμένου, suppl. αὐτοῦ. cf. M. §. 563. — παρίστατο, c. Dat. de cogitationibus ex praesenti rerum statu orientibus, ut pluribus docet Hemsterh. Lucian. III. p. 392. Bipont., et iam antea Etymol. Gud. παρίσταταί μοι τόδε, ἀντὶ τοῦ δοκεῖ. nostro loco cum Acc. et Inf. ut Plat. Phaed. p. 58. e. ὥστε μοι παρίστασθαι τὸν Σωκράτη μηδ' εἰς ᾅδου ἰόντα ἄνευ θείας μοίρας ἰέναι. — αὐτῷ — ἐνόμιζεν εἶναι. scribendum sit αὐτοῦ, an Dativum Genitivi locum tenere dicam, incertus sum. sed quidquid erit, verte: *nihil sibi antiquius existimavit*, vel si mavis: *suum esse existimavit.* comp. tamen Bernhardy w. Synt. p. 90. Tibull. Eleg. I, 6, 24. ibique Heyne. — τῆς Χαλκιοίκου. vid. ad Aelian. XXIV. — ἀπὸ Σπαρτιατῶν *de Spartanorum manubiis.*

3. μάντευμα ἐκ Δ. ctt. Lycurgus orator c. 28. τοῖς Λακεδαιμονίοις πολεμοῦσι πρὸς Μεσσηνίους ἀνεῖλεν ὁ θεὸς παρ' ἡμῶν ἡγεμόνα λαβεῖν καὶ νικήσειν τοὺς ἐναντίους. comp. sequentia. — μοῖραν. Hom. Il. 16, 68. χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες. — πρὸς τ. ἐξευρίσκουσι, mente supplendum τι, de qua Ellipsi v. Bernhardy w. Syntax p. 414. — διδάσκαλος γραμμάτων ctt. quibuscum conspirant quae infra legimus cap. III, 1. quid vero de Lycurgo, qui l. c. haec profert sane quam confidenter: τίς γὰρ οὐκ οἶδε τῶν Ἑλλήνων, ὅτι Τυρταῖον στρατηγὸν ἔλαβον παρὰ τῆς πόλεως, μεθ' οὗ τῶν πολεμίων ἐκράτησαν; add. Strabon. VIII, 4, 10. Iustin. III, 6. — τὸν ἕτερον τ. π., qua iunctura Herodianus Grammaticus alterum illud τ. ξ. πόδα praestantius exhibet, certe apud Nostrum ter quaterve suum sibi lo-

4 ἀνάπαιστα ᾖδεν. ἐνιαυτῷ δὲ ὕστερον τοῦ περὶ τὰς Λέρας ἀγῶνος, ἡκόντων ἀμφοτέροις καὶ τῶν συμμάχων, παρεσκεύαζον ὡς μάχην συνάψοντες ἐπὶ τῷ καλουμένῳ Κάπρου σήματι. Μεσσηνίοις μὲν οὖν Ἠλεῖοι καὶ Ἀρκάδες, ἔτι δὲ ἐξ Ἄργους ἀφίκετο καὶ Σικυῶνος βοήθεια. παρῆσαν δὲ καὶ ὅσοι πρότερον τῶν Μεσσηνίων ἔφευγον ἑκουσίως, ἐξ Ἐλευσῖνός τε οἷς πάτριον δρᾶν τὰ ὄργια τῶν μεγάλων θεῶν καὶ οἱ Ἀνδροκλέους ἀπόγονοι. καὶ γὰρ οἱ συσπεύσαντες μάλιστά σφισιν ἦσαν οὗτοι. Λακεδαιμονίοις δὲ ἦλθον Κορίνθιοι συμμαχήσοντες καὶ Λεπρεατῶν τινες κατὰ ἔχθος τὸ Ἠλείων. Ἀσιναίοις δὲ ὅρκοι πρὸς ἀμφοτέρους ἦσαν. τὸ δὲ χωρίον τοῦτο, Κάπρου σῆμα, ἔστι μὲν ἐν Στενυκλήρῳ τῆς Μεσσηνίας, Ἡρακλέα δὲ αὐτόθι ὅρκον ἐπὶ τομίων κάπρου τοῖς Νηλέως παισὶ δοῦναι καὶ λαβεῖν παρὰ ἐκείνων λέγουσιν. . . . .

1 III. Τότε δὲ παρόντων καὶ τῶν μάντεων σὺν φρονήματι ἀμφότεροι μᾶλλον ἠπείγοντο ἐς τὴν μάχην. καὶ ἦν μὲν καὶ τὰ τῶν ἄλλων πρόθυμα, ὡς ἡλικίας ἕκαστος εἶχεν ἢ ῥώμης, μάλιστα δὲ Ἀνάξανδρός τε ὁ τῶν Λακεδαιμονίων βασιλεὺς καὶ οἱ περὶ αὐτὸν τῶν Σπαρτιατῶν. παρὰ Μεσσηνίων δὲ οἱ Ἀνδροκλέους ἀπόγονοι Φίντας καὶ Ἀνδροκλῆς καὶ οἱ συντεταγμένοι σφίσιν ἐπειρῶντο ἄνδρες ἀγαθοὶ γίγνεσθαι. Τυρταῖος δὲ καὶ οἱ τῶν θεῶν ἱεροφάνται τῶν μεγάλων ἔργου μὲν ἥπτοντο οὐδενός, τοὺς τελευταίους δὲ τῆς 2 ἑαυτῶν ἑκάτεροι στρατιᾶς ἐπήγειρον. κατὰ δὲ αὐτὸν Ἀριστομένην εἶχεν οὕτω. λογάδες περὶ αὐτὸν ὀγδοήκοντα ἦσαν Μεσσηνίων ἡλικίαν τε γεγονότες ἐκείνῳ τὴν αὐτήν, καὶ ἕκαστος προτετιμῆσθαι μεγάλως νομίζων, ὅτι ἠξίωτο Ἀριστομένει συντετάχθαι· ἦσαν δὲ καὶ αἰσθέσθαι δι' ὀλίγου δεινοὶ τά τε παρ' ἀλλήλων καὶ μάλιστα ἐκείνου

---

cum tuetur. v. etiam Lobeck ad Phryn. p. 473 sq. — *ἀνάπαιστα*. huc pertinent quae citat Siebelis: „*nec adhibetur ulla sine anapaestis pedibus hortatio*, ut Cic. Tuscul. II, 16 de Spartiatis." ceterum his carminibus intellecta sunto *ἐμβατήρια* illa, quorum quod superest h. l. praetermittere nefas:

ἄγετ' ὦ Σπάρτας εὐάνδρου,
κοῦροι πατέρων πολιῆται,
λαιᾷ μὲν ἴτυν προβάλεσθε
δόρυ δ' εὐτόλμως πάλλοντες,
μὴ φειδόμενοι τᾶς ζωᾶς·
οὐ γὰρ πάτριον τᾶς Σπάρτας!

4. *ὅσοι* — *ἔφευγον* ctt. vid. c. I. §. 1. — *πάτριον*, i. e. *a maioribus traditum fuit*, pro quo alias dicunt *πατρῷον*. Thomas Mag. *πατρῷα, τὰ ἐκ πατέρων εἰς υἱοὺς χωροῦντα, πάτρια δὲ τὰ τῆς πόλεως ἔθη*. — *οἱ συσπεύσαντες*, cum Dat. *qui partibus alicuius favebant*. *οἱ συσπεύδοντες Πολυνείκει*. Paus. II, 19, 8. — *Λεπρεατῶν* ctt. Lepreos Triphyliae Eliacae oppidum, cuius incolis olim Spartiatae libertatem restituere conati erant.

III. Proelium ineunt. Aristomenis fortitudo ultra vim humanam excelsa quidquid hostium resistit vel in fugam coniicit vel humi prosternit. Tyrtaeus carminibus Spartanorum animos reficit et recreat. Pharis urbs ab Aristomene expugnatur, Caryatides virgines comprehensae abiguntur.

1. *σὺν φρονήματι*. vid. ad I, 4 extr. — *ὡς ἡλικίας εἶχεν*, *quantum quisque aetate* (pro aetate) *valebat*. de quo casu partitivo Adverbiis adposito vid. M. §. 337. Beruh. w. Synt. p. 158.

2. *λογάδες*, i. e. *ἐπίλεκτοι*, *ἔκλεκτοί*. — *ἐκείνῳ τ. αὐτήν*. cf. ad Stobaeum. IV init. B. §. 133. not. 1. — *δι' ὀλίγου*. Siebelisio adstipulor

μοσθένους, ὅσα τῇ χειρὶ τῇ αὐτοῦ ὁ ῥήτωρ ἔγραψε, καὶ τὰ τοῦ Θουκυδίδου, ὅσα παρὰ τοῦ Δημοσθένους καὶ αὐτὰ ὀκτάκις μετεγγεγραμμένα εὑρέθη καλῶς. εἰ ἅπαντα ἐκεῖνα κτήσῃ, ὅσα ὁ Σύλλας Ἀθήνηθεν εἰς Ἰταλίαν ἐξέπεμψε, τί ἂν ἐκ τούτου πλέον εἰς παιδείαν κτήσαιο, κἂν ὑποβαλλόμενος αὐτὰ ἐπικαθεύδῃς ἢ ξυγκολλήσας καὶ περιβαλλόμενος περινοστῇς; πίθηκος γὰρ ὁ πίθηκος, ἡ παροιμία φησί, κἂν χρύσεα ἔχῃ σύμβολα. καὶ σὺ τοίνυν βιβλίον μὲν ἔχεις ἐν τῇ χειρὶ καὶ ἀναγιγνώσκεις ἀεί, τῶν δὲ ἀναγιγνωσκομένων οἶσθα οὐδέν, ἀλλ' ὄνος λύρας ἀκούεις κινῶν τὰ ὦτα. ὡς εἴγε τὸ κεκτῆσθαι τὰ βιβλία καὶ πεπαιδευμένον ἀπέφαινε τὸν ἔχοντα, πολλοῦ ἂν ὡς ἀληθῶς τὸ κτῆμα ἦν ἄξιον καὶ μόνων ὑμῶν τῶν πλουσίων, εἰ ὥσπερ ἐξ ἀγορᾶς ἦν πρίασθαι τοὺς πένητας ἡμᾶς ὑπερβάλλοντας. τίς δὲ τοῖς ἐμπόροις καὶ τοῖς βιβλιοκαπήλοις ἤρισεν ἂν περὶ παιδείας τοσαῦτα βιβλία ἔχουσι καὶ πωλοῦσιν; ἀλλ' εἴγε διελέγχειν ἐθέλοις, ὄψει μηδ' ἐκείνους πολύ σου τὰ ἐς παιδείαν ἀμείνους, ἀλλὰ βαρβάρους μὲν τὴν φωνὴν ὥσπερ σύ, ἀξυνέτους δὲ τῇ γνώσει, οἵους εἰκὸς εἶναι τοὺς μηδὲν τῶν καλῶν καὶ αἰσχρῶν καθεωρακότας. καίτοι σὺ μὲν δύο ἢ τρία παρ' αὐτῶν ἐκείνων πριάμενος ἔχεις· οἱ δὲ νύκτωρ καὶ μεθ' ἡμέραν διὰ χειρὸς ἔχουσιν αὐτά. τίνος οὖν ἀγαθοῦ ὠνῇ ταῦτα, εἰ καὶ μὴ τὰς ἀποθήκας αὐτὰς τῶν 2
βιβλίων ἡγῇ πεπαιδεῦσθαι τοσαῦτα περιεχούσας παλαιῶν ἀνδρῶν

ναι inde ab Homero non raro adhibitum est. Herod. VII, 156. αἱ Συρήκουσαι ἀνά τ' ἔδραμον καὶ ἀνέβλαστον. Diod. V. c. 12. οἱ κατακοῦντες τὴν Μελίτην τοῖς τε βίοις ἀνέδραμον καὶ ταῖς δόξαις ηὐξήθησαν. ibi Wessel. alii nescio quo iure interpretantur: *omnia te iam emensurum speras.* — ὅσα τῇ χ. τῇ αὐτοῦ ctt. uno verbo dicere solebant αὐτόγραφα vel ἰδιόγραφα. sed et Demosthenem more veterum nonnunquam adhibuisse amanuensem, ut dictaret opera sua, arguit ὅσα vocula. ex qua etiam paucis post recte coniicere licebit singula quaedam ab oratoris manu exserpta, non totum Thucydidis opus exstitisse descriptum. cf. Krüg. de vita Thucyd. p. 82. — καὶ αὐτά. v. ad Aelian. II. — ὅσα ὁ Σύλλας ctt. Athenis a Sylla captis (86 a. C. n.) magna quum statuarum tum librorum copia, Plutarcho teste (vit. Syll. c. 26.) bibliotheca Apelliconis Teii Romam comportata est, cuius splendidissima dicuntur ornamenta Aristotelis et Theophrasti scripta fuisse. — ξυγκολλήσας, vox ex officina glutinatorum desumta. διακολλᾶν, συγκολλᾶν enim de libris glutine compingendis. — περινοστῇς. περινοστεῖν i. q. περιέρχεσθαι, περιοδεύειν. — πίθηκος ὁ πίθ. comparari potest Latinorum *Non magnus pumilio, licet in monte constiterit.* sed accuratius paulo, quod mox sequitur, proverbio ὄνος λύρας ἀκ. ctt. respondet Lat. *Asello surdo narrare fabellam.* — ὡς ἀληθῶς. vid. ad Lucian. dial. mort. V extr. — μόνων ὑμῶν, repete ex superiori oratione κτῆμα. — ὑπερβάλλοντας, Accusat. subiecti, qui pendet ab ἦν (ἐξῆν). recte etiam diceres: ὑπερβάλλουσιν s. ὥστε ὑμᾶς ὑπερβάλλειν. — ἐμπόροις, exspectes καπήλοις s. ἀγοραίοις. comp. *negotiator, mercator, caupo.* — διὰ χειρὸς ἔχ. *libros manibus tractant et versant.* ὑπὸ χειρὸς ἔχ. esset: *in potestate tenent.* comp. ἐν χειρί, μετὰ χεῖρας ἔχειν.

2. τίνος οὖν ἀγαθοῦ, *cuius igitur boni causa* —? eadem Ellipsi, qua Graeci ἕνεκα omittere solent, etiam Latini recte: *averruncandae* dearum *irae* victimam alicui mactare. v. Drakenb. ad Liv. XXXI, 12, 4. — εἰ καὶ μὴ ctt. verba sic iunge: εἰ μὴ καὶ αὐτὰς τ. ἀποθήκας ctt. secus illa apud Sophoclem: πόλιν μὲν εἰ καὶ μὴ βλέπεις, φρονεῖς δ' ὅμως οἷα νόσῳ ξύνεστι, et apud Platonem: εἰ καὶ μή ἐστιν ὅμοιν, φαίνεται δὲ τοιοῦτον. — παλαιῶν, *veterum atque praecipuorum auctorum.* Nostro vocantur ii, qui usque ad Alexandrum Macedonem vixerunt. cf. Sueton. Tib. 70. Wolf.

ξυγγράμματα; καί μοι, εἰ δοκεῖ, ἀπόκριναι· μᾶλλον δὲ ἐπεὶ τοῦτό σοι ἀδύνατον, ἐπίνευσον γοῦν ἢ ἀνάνευσον πρὸς τὰ ἐρωτώμενα. εἴ τις αὐλεῖν μὴ ἐπιστάμενος κτήσαιτο τοὺς Τιμοθέου αὐλοὺς ἢ τοὺς Ἰσμηνίου, οὓς ἑπτὰ ταλάντων ὁ Ἰσμηνίας ἐν Κορίνθῳ ἐπρίατο, ἆρα διὰ τοῦτο καὶ αὐλεῖν δύναιτο, ἢ οὐδὲν ὄφελος αὐτῷ τοῦ κτήματος οὐκ ἐπισταμένῳ χρήσασθαι κατὰ τὴν τέχνην; εὖγε ἀνένευσας· οὐδὲ γὰρ τοὺς Μαρσύου ἢ Ὀλύμπου κτησάμενος αὐλήσειεν ἂν μὴ μαθών. τί δ', εἴ τις τοῦ Ἡρακλέους τὰ τόξα κτήσαιτο μὴ Φιλοκτήτης ὤν, ὡς δύνασθαι ἐντείνασθαί τε αὐτὰ καὶ ἐπὶ σκοπεῖν τοξεῦσαι, τί σοι καὶ οὗτος δοκεῖ; ἆρ' ἂν ἐπιδείξασθαί τι ἔργον τοξότου ἄξιον; ἀνένευσας καὶ τοῦτο. κατὰ ταῦτα δὴ καὶ ὁ κυβερνᾶν οὐκ εἰδὼς καὶ ἱππεύειν μὴ μεμελετηκώς, εἰ ὁ μὲν ναῦν καλλίστην παραλάβοι, τοῖς ἅπασι καὶ εἰς κάλλος καὶ εἰς ἀσφάλειαν κάλλιστα ἐξειργασμένην, ὁ δὲ ἵππον κτήσαιτο Μῆδον ἢ Κενταυρίδην ἢ κοππαφόρον, ἐλέγχοιτο ἄν, οἶμαι, ἑκάτερος οὐκ εἰδὼς ὅ τι χρήσαιτο ἑκατέρῳ. ἐπινεύεις καὶ τοῦτο; πείθου δὴ καὶ τοῦτό μοι ἐπίνευσον, εἴ τις ὥσπερ σὺ ἀπαίδευτος ὢν ὠνοῖτο πολλὰ βιβλία, οὐ σκώμματα οὗτος εἰς ἀπαιδευσίαν καθ' ἑαυτοῦ ἐκφέρει; τί ὀκνεῖς καὶ τοῦτο ἐπινεύειν; ἔλεγχος γάρ, οἶμαι, σαφὴς οὗτος καὶ τῶν ὁρώντων ἕκαστος εὐθὺς τὸ προχειρότατον ἐκεῖνο ἐπιφθέγγεται· τί κοινὸν κυνὶ καὶ βαλανείῳ; —

3 Ἐπεὶ δὲ ἐν τοῖς ἄλλοις καὶ τὸν Ὅμηρον ἐπρίω πολλάκις, ἀναγνώτω σοί τις αὐτοῦ λαβὼν τὴν βῆτα τῆς Ἰλιάδος ῥαψῳδίαν, ἧς τὰ μὲν ἄλλα μὴ ἐξετάζειν· οὐδὲν γὰρ αὐτῶν πρὸς σέ· πεποίηται δέ τις αὐτῷ δημηγορῶν παγγέλοιος ἄνθρωπος, διάστροφος τὸ σῶμα καὶ λελωβημένος. ἐκεῖνος τοίνυν ὁ Θερσίτης, ὁ τοιοῦτος εἰ λάβοι τὴν Ἀχιλλέως πανοπλίαν, οἴει ὅτι αὐτίκα διὰ τοῦτο καὶ καλὸς ἅμα καὶ ἰσχυ-

— Τιμοθέου. *Timotheus* Thebanus, quo tibiis canente Alexander ad arma prosiluisse et animi impetum sedasse dicitur. Ἰσμηνίου. *Ismenias*, de quo Eustath. ad Hom. Il. 2, 502. ἡ δὲ Θίσβη (urbs Boeotiae) πολίτην μὲν ἔσχε τὸν περίπυστον αὐλητὴν Ἰσμηνίαν· Θισβεὺς γὰρ ἦν. — ἑπτὰ ταλάντων. tibias igitur emit, ut ex nostra ratione computem, 9625 thaleris. — Ὀλύμπου. *Olympus*, Phryx, in arte tibiarum clarus, Marsyae discipulus, ante Troiam expugnatam floruisse dicitur. — τί δ'. —; aut cum admiratione adversantis est, aut ad novum aliquid, ut h. l., maxime ad aliam quandam interrogationem quam antea pergentis. — ἐπὶ σκοπεῖν, quid differat ab ἐπὶ cum Accus. v. B. §. 147. not. 4. — τοῖς ἅπασι, neutr. gen. *omnibus rebus*, similiter ac τοῖς ὅλοις. — Μῆδον. Herod. VII, 40. ἔστι πεδίον μέγα τῆς Μηδικῆς τῷ οὔνομά ἐστι Νίσαιον· τοὺς ὦν δὴ ἵππους τοὺς μεγάλους φέρει τὸ πεδίον τοῦτο. hinc Μῆδοι ἱππεῖς clarucrunt. — Κενταυρίδην. Schol. οἱ ἐκ Λαρίσσης τῆς Θετταλίας ἵπποι, qua regione Centauri habitasse narrantur. Thessalicos autem equos omnium Graecorum praestantissimos, cursui maxime fuisse aptos, scriptores consentiunt. Herod. VII, 196. Soph. El. 693. — κοππαφόρον. equorum maxime Corinthiorum femori inurebatur *Koppa* signum. vid. Lexica et B. §. 2. not. 3. — τί κοινὸν κυνὶ κ. β. sic de rebus, quae dissident nec facile inter se conveniunt, Latini: *sus Minervam. camelus saltat.*

3. τὴν βῆτα ctt. pendebant olim singulae quaeque carminum Homericorum partes (rhapsodiae) e diversis argumentis rerum, unde inscriptionem vel nomen suum traxerunt, velut *Il. B.* — κατάλογος τῶν νεῶν, antea quam ea, qua Lucianus uti videtur, descriptio Aristarchea (154 a. C.) facta est. Wolf. Proleg. ad Hom. p. CVIII. — μὴ ἐξετάζειν. vid. B. §. 142. not. 5. — πεποίηται, ut Lat. *facere, inducere* aliquem concionantem. — ὁ τοιοῦτος, *hic qui talis est*, cum contemtu vel ironia quadam dictum. sic etiam Articulo omisso: Ἕλλην ὢν τοιοῦτός ἐστιν, *quamquam Graecus, talis* i. e.

τὰς γυναῖκας ἀγούσας ἑορτήν, ἀμύνεσθαι τῶν γυναικῶν οὐκ ἄνευ τῆς θεοῦ προαχθεισῶν λαμβάνουσιν οἱ πολλοὶ τῶν Μεσσηνίων τραύματα μαχαίραις τε αἷς τὰ ἱερεῖα αἱ γυναῖκες ἔθυον καὶ ὀβελοῖς οἷς τὰ κρέα ἔπειρον ὀπτῶσαι. τὸν δὲ Ἀριστομένην τύπτουσαι ταῖς δᾳδὶ ζῶντα αἰροῦσιν· ἀπεσώθη δὲ ὅμως τῆς αὐτῆς ἐκείνης νυκτὸς ἐς τὴν Μεσσηνίαν. ἀφεῖναι δὲ αὐτὸν ἱέρεια τῆς Δήμητρος αἰτίαν ἔσχεν Ἀρχιδάμεια. ἀφῆκε δὲ οὐκ ἐπὶ χρήμασιν, ἀλλὰ ἐρῶσα ἔτυχεν αὐτοῦ πρότερον ἔτι, προὐφασίζετο δέ, ὡς Ἀριστομένης διακαύσας τὰ δεσμὰ ἀποδρᾶς οἴχοιτο. Τρίτῳ δὲ ἔτει τοῦ πολέμου μελλούσης γίνεσθαι 2
συμβολῆς ἐπὶ τῇ καλουμένῃ Μεγάλῃ Τάφρῳ καὶ Μεσσηνίοις Ἀρκάδων βεβοηθηκότων ἀπὸ πασῶν τῶν πόλεων, Ἀριστοκράτην τὸν Ἱκέτα, Τραπεζούντιον, βασιλέα τῶν Ἀρκάδων καὶ στρατηγὸν ὄντα ἐν τῷ τότε, διαφθείρουσιν οἱ Λακεδαιμόνιοι χρήμασι. πρῶτοι γὰρ ὧν ἴσμεν Λακεδαιμόνιοι πολεμίῳ ἀνδρὶ δῶρα ἔδοσαν, καὶ ὤνιον πρῶτοι κατεστήσαντο εἶναι τὸ κράτος τὸ ἐν τοῖς ὅπλοις. πρὶν δὲ ἢ παρανομῆσαι Λακεδαιμονίους ἐς τὸν Μεσσηνίων πόλεμον καὶ Ἀριστοκράτους τοῦ Ἀρκάδος τὴν προδοσίαν, ἀρετῇ τε οἱ μαχόμενοι καὶ τύχαις ἐκ τοῦ θεοῦ διεκρίνοντο. . . . . Λακεδαιμονίοις μὲν τὸ ἐν 3
Μεσσηνίοις σόφισμα ὁ δαίμων ἔμελλεν αὐτοῖς ἀποφανεῖν συμφοράν. Ἀριστοκράτης δὲ ὡς τὰ χρήματα ἐδέξατο ἐκ Λακεδαίμονος, τὸ μὲν παραυτίκα ἔκρυπτεν ἐς τοὺς Ἀρκάδας οἷα ἐπεβούλευεν, μελλόντων δὲ ἐς χεῖρας ἤδη συνέρχεσθαι τηνικαῦτα ἐξεφόβησεν αὐτούς, ὡς ἐν δυσχωρίᾳ τέ εἰσιν ἀπειλημμένοι καὶ ἀναχώρησις οὐκ ἔσται αὐτοῖς, ἢν κρατηθῶσιν· τά τε ἱερά σφισιν οὐκ ἔφη γεγονέναι κατὰ γνώμην. ἐκέλευεν οὖν πάντα τινά, ἐπειδὰν αὐτὸς σημήνῃ, φυγῇ χρῆσθαι.

---

ctt. Xenoph. Cyrop. VII, 5, 28. αἰσθόμενοι οἱ ἔνδον τοῦ θορύβου, κελεύσαντος τοῦ βασιλέως σκέψασθαι τί εἴη τὸ πρᾶγμα, ἐκθέουσί τινες. alia exempla Nom. absoluti ex optimis scriptt. conflata dabit M. §. 562, 1. — προαχθεισῶν, *feminis adactis vim repellere* (ἀμύνεσθαι). sic *adigere*, *adigi* c. Infin. Tacito satis familiare. — αἰτίαν ἔσχεν, *suspicionem sustinuit*. — ἐρῶσα. v. B. §. 132, 5, 3 not. Bernh. w. Synt. p. 175. — προὐφασίζετο δέ, ὡς c. Optat. de re praetexta, quam quem credere iubeo, *simulavit Aristomenem evasisse*. Arist. Vesp. 291 sq. λέγων, ὡς φιλαθήναιος ἦν καὶ τὰ ἐν Σάμῳ πρῶτος κατείποι, nos: er ein Freund der Athener *wollte* auch die erste Anzeige von dem in S. *gemacht haben*.

2. ἐπὶ τῇ καλ. Μεγάλῃ T. alio loco Pausan. hoc ordine: ἡ T. ἡ καλουμένη Μεγ. Polyb. hist. 4, 33. ἐν τῇ μάχῃ τῇ καλουμένῃ περὶ Τάφρον. tacitam relinquunt hanc pugnam Diodorus L. XV et Iustinus l. supra c. — ἀπὸ πασῶν τ. πόλ. i. q. Xenoph. βοηθεῖν ἐκ τοῦ ἄστεος σύν σινι. Etym. Magn. βοηθῶ, λέγεται τὸ μετὰ βοῆς θέω. — πρὶν δὲ ἤ, et Atticis longe familiarius πρίν, suppresso ἤ (v. B. §. 149 s. v.) cum Inf. vel Acc. et Infin. meram *temporis* definitionem continere solet nulla ratione habita *rei*. cf. infra c. V, 2 med. — ἀρετῇ τε οἱ μαχόμενοι ctt. *virtute atque fortuna, quam deus mortalibus largitur, pugnantes sem suam decernebant*.

3. σοφίσμα, h. l. idem quod πάλαισμα vel potius στρατήγημα, *artes imperatoris*. Phavorinus ait: σοφιστὴς σημαίνει καὶ τὸν ἀπατεῶνα. comp. Lucian. dial. mort. III, 1. — ὁ δαίμων, non *deus*, sed *fortuna*, *sors*, *fatum*. ἡ τύχη, ut Schol. ad Soph. Oed. Col. 76. interpretatur. Eurip. Ion. 1390. τὰ τοῦ θεοῦ μὲν χρηστά, τοῦ δὲ δαίμονος βαρέα. — ἀποφανεῖν, h. l. *reddere*, *exhibere*. similiter supra Aelian. 28. ἀπαιδεύτους ἀποφαίνειν τοὺς παῖδας. — ἔκρυπτεν ἐς τοὺς Ἀ. haec structura suggerenda vulgatiori illi cum duplici Acc. *celare aliquem aliquid*, quam Lexica solam agnoscunt. sed vereor ne exempla etiam magis sint numerabilia, quam illa cum Dat. pers. Hesiod. opp. et d. 42. — ἀπειλημμένοι *intercepti*, vel-

ὡς δὲ οἱ Λακεδαιμόνιοι συνέμισγον καὶ ἦσαν ἐς τὸ κατ' αὐτοὺς οἱ Μεσσήνιοι τετραμμένοι, ἐνταῦθα Ἀριστοκράτης ἀρχομένης τῆς μάχης ἀπῆγε τοὺς Ἀρκάδας, καὶ τοῖς Μεσσηνίοις τό τε ἀριστερὸν καὶ μέσον ἠρήμωτο. οἱ γὰρ Ἀρκάδες σφίσιν εἶχον ἀμφότερα ἅτε ἀπόντων μὲν Ἠλείων τῆς μάχης, ἀπόντων δὲ Ἀργείων καὶ Σικυωνίων. προσεξειργάσθη δὲ καὶ ἄλλο τῷ Ἀριστοκράτει· διὰ γὰρ Μεσσηνίων ἐποιεῖτο τὴν φυγήν. οἱ δὲ πρὸς τὸ ἀνέλπιστον τῶν παρόντων ἐγένοντο ἔκφρονες, καὶ ἅμα ὑπὸ τῆς διεξόδου τῆς κατὰ σφᾶς τῶν Ἀρκάδων ἐταράσσοντο, ὥστε αὐτῶν ἐδέησαν οὐ πολλὺ καὶ ἐπιλαθέσθαι τῶν ἐν χερσίν. ἀντὶ γὰρ τῶν Λακεδαιμονίων ἐπιφερομένων ἤδη πρὸς τοὺς Ἀρκάδας ἀφεώρων φεύγοντας, καὶ οἱ μὲν παραμεῖναι σφισιν ἱκέτευον, οἱ δὲ καὶ λοιδορίαις ἐς αὐτοὺς ὡς ἐς ἄνδρας προδότας
4 καὶ οὐ δικαίους ἐχρῶντο. Λακεδαιμονίοις δὲ ἥ τε κύκλωσις τῶν Μεσσηνίων μονωθέντων ἐγένετο οὐ χαλεπὴ καὶ νίκην ἑτοιμοτάτην πασῶν καὶ ἀπονώτατα ἀνείλοντο. Ἀριστομένης δὲ καὶ οἱ σὺν αὐτῷ συνέμειναν μὲν καὶ τῶν Λακεδαιμονίων τοὺς μάλιστα ἐγκειμένους ἀνείργειν ἐπειρῶντο, ὀλίγοι δὲ ὄντες οὐ μεγάλα ὠφέλουν. τῶν δὲ Μεσσηνίων τοῦ μὲν δήμου τοσοῦτον πλῆθος ἀνηλώθησαν, ὡς τὰ πρῶτα Λακεδαιμονίων δεσπότας ἀντὶ δούλων ἔσεσθαι νομίζοντας τότε μηδὲ ἐς τὴν σωτηρίαν αὐτῶν ἐπέχειν ἐλπίδα. ἀπέθανον δὲ καὶ τῶν πρωτευόντων ἄλλοι τε καὶ Ἀνδροκλῆς καὶ Φίντας καὶ λόγου μάλιστα ἀξίως ἀγωνισάμενος Φάνας, ὃς πρότερον τούτων ἔτι δολιχοῦ
5 νίκην Ὀλυμπίασιν ἦν ἀνῃρημένος. Ἀριστομένης δὲ μετὰ τὴν μάχην τοὺς διαπεφευγότας τῶν Μεσσηνίων συνήθροιζε καὶ Ἀνδανίαν μὲν καὶ εἴ τι ἄλλο ἐν μεσογαίᾳ πόλισμα ἔπεισε τὰ πολλὰ ἐκλείπειν, ἐς δὲ Εἶραν τὸ ὄρος ἀνοικίζεσθαι. συνεληλαμένοις δὲ ἐς τοῦτο τὸ χωρίον προσεκάθηντο. οἱ Λακεδαιμόνιοι πολιορκίᾳ σφᾶς αὐτίκα ἐξαιρήσειν νομίζοντες. ἀντήρκεσαν δὲ ὅμως οἱ Μεσσήνιοι καὶ μετὰ τὴν ἐν τῇ Τάφρῳ συμφορὰν ἑνί τε καὶ δέκα ἔτεσιν ἀμυνόμενοι. τὸν δὲ χρό-

---

ut ἐν στενῷ, ἐν τῷ κακῷ, εἰς ἀπορίαν. — ἐς τὸ κατ' αὐτούς, conversi *in eam*, *quae ipsos adspiciebat*, *hostium caterva*m. — ἅτε, cum Genit. absol. v. M. §. 569, 7. — προσεξειργάσθη. verbum deponens cum significatione atque structura Passiv., vid. B. §. 113, 3. not. 6. — πρὸς τὸ ἀνέλπ. Praepositio explicanda est ex analogia illius dictionis *παθεῖν πρός τι adfici aliqua re*, ubi cave id prorsus deponere eam credas, quo aliquid tendat vel pertineat. nos: an etwas affizirt werden. Herod. 7, 149. ἄλλο πταῖσμα πρὸς τὸν Πέρσην κατέλαβεν αὐτούς. cf. infra Pausan. VIII. §. 7. Arrian. I. §. 9. πρὸς Ἀλέξανδρον ἁλῶναι. — ἐδέησαν οὐ π., etsi dicere praestat πολλοῦ δεῖ, cum Siebelisio scribendum censeo pro vulg. οἱ πολλοὶ atque ita vertendum: *ut non multum abesset*, *quin et ea ipsa*, *quae in manibus erant*, *obliviscerentur*. sic Paus. III, 10, 2. οὐ πολὺ ἀποδεῖ.

4. μάλιστα ἐγκειμένους, *maxime instantes*, *urguentes*, cum Dativo, ut nostrates: einem zusetzen. — δήμου τοσοῦτον πλ. δῆμος in exercitu *miles gregarius*, cui mox opponuntur οἱ πρωτεύοντες. de τοσοῦτον forma neutr. generis v. ad Aelian. XIV extr. — ὡς τὰ πρῶτα ctt. ὡς vel ὥστε cum Acc. et Infin. si verbum, e quo pendet particula, non de eadem vel re vel persona intelligitur, de qua Accusativus. M. §. 536. supra ad Aesop. fabb. II extr. — δολιχοῦ, alii interpretantur de spatio septem, alii viginti stadiorum, quod currendo δολιχοδρόμοι absolvant. — Ὀλυμπίασιν. Schol. ad Arist. Vesp. 1421 praecipit: προπαροξύνεται· λέγεται γὰρ περὶ τόπον. contra Ὀλυμπιᾶσι solet de Olympiade seu victoria Olympica dici.

5. Εἶρα. hinc urbs, quam ibi exaedificabant, eodem nomine vocata est. — ἑνί τε καὶ δέκα ἔτεσιν. rectius fortasse ἕνδεκα ἔτη (B. §. 131, 8.),

νον τῆς πολιορκίας γενέσθαι τοσοῦτον δηλοῖ καὶ τάδε ὑπὸ Ῥιανοῦ πεποιημένα ἐς τοὺς Λακεδαιμονίους·

οὔρεος ἀργεννοῖο περὶ πτύχας ἐστρατόωντο
χείματά τε ποιάς τε δύω καὶ εἴκοσι πάσας.

χειμῶνας γὰρ καὶ θέρη κατέλεξε πόας εἰπὼν τὸν χλωρὸν σῖτον ἢ ὀλίγον πρὸ ἀμητοῦ.

V. Μεσσήνιοι δὲ ὡς ἐς τὴν Εἶραν ἀνωκίσθησαν τῆς τε ἄλλης 1
ἐξείργοντο, πλὴν ὅσον σφίσιν οἱ Πύλιοι τὰ ἐπὶ θαλάσσῃ καὶ οἱ Μοθωναῖοι διέσωζον, ἐλῃστευον τήν τε Λακωνικὴν καὶ τὴν σφετέραν, πολεμίαν ἤδη καὶ ταύτην νομίζοντες. ἄλλοι τε δὴ συνίσταντο ἐς τὰς καταδρομάς, ὡς ἕκαστοι τύχοιεν, καὶ Ἀριστομένης δὲ τοὺς περὶ αὐτὸν λογάδας ἐς τριακοσίων ἀριθμὸν προήγαγεν. ἤγον μὲν δὴ τὰ Λακεδαιμονίων καὶ ἔφερον ὅ τι καὶ δύναιτο αὐτῶν ἕκαστος. ἑλόντες δὲ σῖτον καὶ βοσκήματα καὶ οἶνον ἀνήλισκον, ἔπιπλα δὲ καὶ ἀνθρώπους ἀπεδίδοσαν χρημάτων. ὥστε καὶ ἐποιήσαντο οἱ Λακεδαιμόνιοι δόγμα, ἅτε τοῖς ἐν τῇ Εἴρᾳ μᾶλλον ἢ σφίσιν αὐτοῖς γεωργοῦντες, τὴν Μεσσηνίαν καὶ τῆς Λακωνικῆς τὴν προσεχῆ, ἕως ἂν πολεμῶσιν, ἐὰν ἄσπορον. καὶ ἀπὸ τούτου σιτοδεία ἐγένετο ἐν Σπάρτῃ 2
καὶ ὁμοῦ τῇ σιτοδείᾳ στάσις· οὐ γὰρ ἠνείχοντο οἱ ταύτῃ τὰ κτήματα ἔχοντες τὰ σφέτερα ἀργὰ εἶναι. καὶ τούτοις μὲν τὰ διάφορα διέλυε Τυρταῖος. Ἀριστομένης δὲ ἔχων τοὺς λογάδας τὴν μὲν ἔξοδον περὶ βαθεῖαν ἐποιήσατο ἑσπέραν, ἔφθη δὲ ὑπὸ τάχους τὴν ἐς Ἀμύκλας ἀνύσας πρὸ ἀνίσχοντος ἡλίου· καὶ Ἀμύκλας τὸ πόλισμα εἷλέ τε καὶ διήρπασε καὶ τὴν ἀποχώρησιν ἐποιήσατο, πρὶν ἢ τοὺς ἐκ τῆς Σπάρτης προσβοηθῆσαι. κατέτρεχε δὲ καὶ ὕστερον τὴν χώραν, ἐς ὃ Λακεδαιμονίων λόχοις πλέον ἢ τοῖς ἡμίσεσι καὶ τοῖς βασιλεῦσιν ἀμφοτέροις συμβαλὼν ἄλλα τε ἔσχεν ἀμυνόμενος τραύματα καὶ πληγέντι ὑπὸ λίθου τὴν κεφαλὴν αὐτῷ σκοτοδινιῶσιν οἱ ὀφθαλμοί, καὶ πε-

---

vel certe ἐν Praepositione Dativo adiuncta, ut fieri solet, si quid diuturnum extitisse indicitur. cf. ad Athen. II. 2. — ἀργεννοῖο. de rupibus cretosis et marmoreis Irae montis, quibus hodieque scatent quum reliqua Peloponnesus tum insulae maris Aegaei.

V. Messenii praedas agunt ex Laconia. seditio inde ob frugum pecorumque penuriam concitata sedatur a Tyrtaeo. Aristomenes Amyclas occupat; postea prehensus et in Caeadam coniectus dolo sive miraculo ex carcere elabitur.

1. τῆς τε ἄλλης ἐξείργ. haec copulandi ratio pro καὶ τῆς ἄλλ. (intell. γῆς. cf. M. §. 282., 2.) etiam optimis Atticis, maxime Thucydidi familiaris est. — ὡς ἕκ. τύχοιεν, intell. συνιστάμενοι, i. e. *sors alium aliorsum ad excursiones faciendas tulit*, *Aristomenes vero* ctt. hinc dixit τύχοιεν, non ὡς — ἐτύγχανον, vel ὡς ἕκαστοι, et subaudiatur συνίσταντο. cf. infra VIII, 4. — προήγαγεν, vermehrte sie *auf* dreihundert. Lat. *promovere in* (ad) *ampliorem numerum*, *provehere*, simil. — ἀπεδίδοσαν χρημ. i. e. *pristinis possessoribus reddebant*. de Genit. v. ad Lucian. dial. mort. II, 1. — ἅτε, *quippe*, cum Part. h. l. de re non ficta, sed vera. v. ad IV, 3. — ἐὰν ἄσπ. pendet ab δόγμα ἐποιήσαντο, i. e. ἐδόκει *placuit*.

2. ὁμοῦ; cum Dat. *una* vel *simul cum*. sed et Tacitus cum poetis *simul aliqua re* dicere sibi permittunt. — ἠνείχοντο, ad Aelian. I, 1. — ἀργά, h. l. significatione pass. οὐκ εἰργασμένα, ἀφύτευτα. — ἔφθη, cum Part. v. ad Lucian. dial. mort. IV, 3. B. §. 150. s. v. φθάνειν. — κατέτρεχε, *incursando vastabat*. hinc Suidas s. v. explicat: ἐπόρθει, ἐληΐζετο, ἐδῄου. ubi tamen id tenendum, ut ex editiore loco in depressiorem cur-

σόντα ἀθρόοι τῶν Λακεδαιμονίων ἐπιδραμόντες ζῶντα αἱροῦσιν· ἥλωσαν δὲ καὶ τῶν περὶ αὐτὸν ἐς πεντήκοντα. τούτους ἔγνωσαν οἱ Λακεδαιμόνιοι ῥῖψαι πάντας ἐς τὸν Καιάδαν. ἐσβάλλουσι δὲ ἐνταῦθα
3 οὓς ἂν ἐπὶ μεγίστοις τιμωρῶνται. οἱ μὲν δὴ ἄλλοι Μεσσηνίων ἐμπίπτοντες ἀπώλλυντο αὐτίκα· Ἀριστομένην δὲ ἔς τε τὰ ἄλλα θεῶν τις καὶ δὴ καὶ τότε ἐφύλασσεν. οἱ δὲ ἀποσεμνύνοντες τὰ κατ' αὐτὸν Ἀριστομένει φασὶν ἐμβληθέντι ἐς τὸν Καιάδαν ὄρνιθα τὸν ἀετὸν ὑποπέτεσθαι καὶ ἀνέχειν ταῖς πτέρυξιν, ἐς ὃ κατήνεγκεν αὐτὸν ἐς τὸ πέρας, οὔτε πηρωθέντα οὐδὲν τοῦ σώματος, οὔτε τραῦμα ἐπιλαβόντα. ἔμελλε δὲ ἄρα καὶ αὐτόθεν ὁ δαίμων ἔξοδον ἀποφαίνειν αὐτῷ. καὶ ὁ μὲν ὡς ἐς τὸ τέρμα ἦλθε τοῦ βαράθρου, κατεκλίθη τε καὶ ἐφελκυσάμενος τὴν χλαμύδα ἀνέμενεν ὡς πάντως οἱ ἀποθανεῖν
4 πεπρωμένον. τρίτῃ δὲ ὕστερον ἡμέρᾳ ψόφου τε αἰσθάνεται καὶ ἐκκαλυψάμενος (ἐδύνατο δὲ ἤδη διὰ τοῦ σκότους διορᾶν) ἀλώπεκα εἶδεν ἁπτομένην τῶν νεκρῶν. ὑπονοήσας δὲ ἔσοδον εἶναι τῷ θηρίῳ ποθέν, ἀνέμενεν ἐγγύς οἱ τὴν ἀλώπεκα γενέσθαι, γενομένης δὲ λαμβάνεται· τῇ δὲ ἑτέρᾳ χειρί, ὁπότε ἐς αὐτὸν ἐπιστρέφοιτο, τὴν χλαμύδα προὔβαλλέν οἱ καὶ δάκνειν παρεῖχε. τὰ μὲν δὴ πλείω θεοῦσῃ συνέθει, τὰ δὲ ἄγαν δυσέξοδα καὶ ἐφείλκετο ὑπ' αὐτῆς. ὀψὲ δέ ποτε ὀπήν τε εἶδεν ἀλώπεκι ἐς διάδυσιν ἱκανὴν καὶ φέγγος δι' αὐτῆς. καὶ τὴν μέν, ὡς ἀπὸ τοῦ Ἀριστομένους ἠλευθερώθη, τὸ φωλίον ἔμελλεν ὑποδέξεσθαι· Ἀριστομένης δέ (οὐ γάρ τι ἡ ὀπὴ καὶ τούτῳ παρέχειν ἐδύνατο ἔξοδον) εὐρυτέραν τε ταῖς χερσὶν ἐποίησε καὶ οἴκαδε ἐς τὴν Εἶραν ἀποσώζεται, παραδόξῳ μὲν τύχῃ καὶ ἐς τὴν ἅλωσιν χρησάμενος· τὸ γάρ οἱ φρόνημα ἦν καὶ τὰ τολμήματα μείζονα, ἢ ὡς ἐλπίσαι τινὰ Ἀριστομένην αἰχμάλωτον ἂν γενέσθαι· παραδοξοτέρα

---

rentis sit et plerumque εἰς Praepositionem adsciscat. — ἐς πεντήκοντα. ἐς s. εἰς cum numeris coniunctum quid sit v. ad Aelian. XXIV extr. — ἔγνωσαν. supra ad I, 4. ῥῖψαι, alii perperam ῥίψαι, ut praeter alios Grammaticos Etymol. M. p. 673, 9. te edocet: τὸ πίπτω φύσει μακρᾷ παραληγόμενον, ἀλλὰ καὶ ῥίπτω. — Καιάδαν, idem quod βάραθρον Atheniensibus. Schol. ad Thuc. I, 134. τόπος ὁ Καιάδας ὀρωρυγμένος ἐν Λακωνικῇ, ὅπου τοὺς κακούργους εἰώθασι ῥίπτειν. ceterum eiusmodi terrae hiatus (ῥωχμοὶ ἀπὸ τῶν σεισμῶν. Strabo.) frequentes erant in Laconica, unde etiam Homero (Il. 2, 581.) Λακεδαίμονα κητώεσσαν vocatam censent.

3. ὄρνιθα. Aristoph. Avv. 1250. πέμψω δὲ πορφυρίωνας ὄρνεις ἐπ' αὐτόν. atque quaesitior etiam in aliis quibusdam Pleonasmus est apud Pausan. veluti νόσος λύσσα, γῆς κεραμεῖς, πάλη μάχη. — οὔτε — οὐδέν. vid. B. §. 148, 6. — πεπρωμένον, *fato destinatum*. Accus. pendet ab ἀνέμενεν, quod mox Acc. cum Infin. adsciscit.

4. λαμβάνεται, cum Genit. B. §. 132, 6, 3. M. §. 331. — τὰ μὲν δὴ πλείω, numero plur. Adverbii vice fungitur, id quod alias atque frequentius fit num. singulari, tametsi πλείω δεδιέναι, ὠφελεῖν, λυπεῖσθαι et id genus alia diversaque a nostro loco saepe deprehenderis. cf. Bernh. w. Synt. p. 335. — τὸ φωλίον, die Fuchshöhle, σπήλαιον Hesychio interprete. Ammonius ait: φ. μὲν γὰρ ἐπὶ τῶν ἑρπετῶν τάσσεται, κοίτη δὲ ἐπὶ ἀνθρώπων. — παραδόξῳ — χρησάμενος, *mirabili etiam, quum captus est, fortuna usus*. — ἢ ὡς, post Comparativum ex vulgari canone grammaticô solum Infinitivum admittit (v. M. §. 448. b.), rarius ut h. l. Accus. et Inf. vel Indicativum, ut Paus. I, 20. extr. ἀγριώτερα ἢ ὡς ἄνδρα εἰκὸς ἦν ἐργάσασθαι. comp. ad c. III, §. 2. ceterum ἐλπίζειν h. l. cum significatione *timendi*, ut nonnunquam *sperare*. — παραδοξοτέρα. B. §. 60. not. 4. mox προδηλότατα, quo προδηλοτάτη ne cui optatius videatur, v. supra c. IV, 4 init.

δέ ἐστι καὶ πάντων προδηλότατα οὐκ ἄνευ θεοῦ ἡ ἐκ τοῦ Καιάδα σωτηρία.

VI. Λακεδαιμονίοις δὲ παραυτίκα μὲν ὑπὸ ἀνδρῶν ἀπηγγέλ- 1
λετο αὐτομόλων, ὡς Ἀριστομένης ἐπανήκοι σῶς. νομιζομένου δὲ
ἀπίστου κατὰ ταὐτά, ἢ εἴ τινα τεθνεῶτα ἐλέγετο ἀναβιῶναι, παρ'
αὐτοῦ τοιόνδε Ἀριστομένους ὑπῆρξεν ἐς πίστιν. Κορίνθιοι Λακε-
δαιμονίοις δύναμιν ὡς συνεξαιρήσοντας τὴν Εἶραν ἀποστέλλουσι.
τούτους παρὰ τῶν κατασκόπων πυνθανόμενος ὁ Ἀριστομένης τῇ
πορείᾳ τε ἀτακτότερον χρῆσθαι καὶ ταῖς στρατοπεδείαις ἀφυλάκτως,
ἐπιτίθεται νύκτωρ σφίσι· καὶ τῶν τε ἄλλων καθευδόντων ἔτι ἐφό-
νευσε τοὺς πολλούς, καὶ τοὺς ἡγεμόνας Ὑπερμενίδη καὶ Ἀχλαδαῖον
καὶ Λυσίστρατον καὶ Εὔδεκτον ἀποκτείνουσι. διαρπάσας δὲ καὶ τὴν
σκηνὴν τὴν στρατηγίδα παρέστησεν εὖ εἰδέναι Σπαρτιάταις, ὡς Ἀρι-
στομένης καὶ οὐκ ἄλλος Μεσσηνίων ἐστὶν ὁ ταῦτα εἰργασμένος. ἔθυσε 2
δὲ καὶ τῷ Διὶ τῷ Ἰθωμάτᾳ τὴν θυσίαν, ἣν Ἑκατομφόνια ὀνομά-
ζουσιν. αὕτη δὲ καθεστήκει μὲν ἐκ παλαιοτάτου, θύειν δὲ αὐτὴν
Μεσσηνίων ἐνομίζετο ὁπόσοι πολεμίους ἄνδρας κατεργάσαιντο ἑκα-
τόν. Ἀριστομένει δέ, ὅτε ἐπὶ Κάπρου σήματι ἐμαχέσατο, θύσαντι
Ἑκατομφόνια πρῶτον, δεύτερα ἤδη θῦσαι καὶ ὁ ἐν τῇ νυκτὶ τῶν
Κορινθίων παρέσχε φόνος. τοῦτον μὲν δὴ λέγουσι καὶ ἐπὶ ταῖς ὕστε-
ρον θῦσαι καταδρομαῖς θυσίαν τρίτην. Λακεδαιμόνιοι δέ, ἐπήει 3
γὰρ Τακίνθια, πρὸς τοὺς ἐν τῇ Εἴρᾳ τεσσαράκοντα ἐποιήσαντο ἡμε-
ρῶν σπονδὰς καὶ αὐτοὶ μὲν ἀναχωρήσαντες οἴκαδε ἐώρταζον. Κρῆ-
τες δὲ τοξόται (μετεπέμψαντο γὰρ ἔκ τε Λύκτου καὶ ἑτέρων πόλεων
μισθωτούς) οὗτοι σφισιν ἀνὰ τὴν Μεσσηνίαν ἐπλανῶντο. Ἀριστο-
μένην οὖν, ἅτε ἐν σπονδαῖς ἀπωτέρω τῆς Εἴρας γενόμενον καὶ
προϊόντα ἀδεέστερον, ἑπτὰ ἄνδρες ἀπὸ τῶν τοξοτῶν τούτων ἐλόχη-
σαν, συλλαβόντες δὲ τοῖς ἱμᾶσιν οἷς εἶχον ἐπὶ ταῖς φαρέτραις δέου-
σιν· ἑσπέρα γὰρ ἐπῆει. δύο μὲν οὖν ἐς Σπάρτην ἀπ' αὐτῶν ἐλθόν-
τες Λακεδαιμονίοις Ἀριστομένην εὐηγγελίζοντο ἡλωκέναι· οἱ λοιποὶ

VI. Corinthii, opem laturi Lacedaemoniis, opprimuntur. Aristomenes sacra facit Iovi Ithomatae. quas ineunt induciis quadraginta dierum Cretenses rumpunt. Aristomenes tertio captus vinculis liberatur.

1. κατὰ ταὐτά, ἢ ctt. *pariter ac si*, quam locutionem Pausanias alio loco ita exhibet: περιεδεῖτο χορδὴν κατὰ ταὐτὰ δὴ καὶ εἰ ταινίαν περιθεῖτο. VI, 14, 7. pervulgatum etiam magis est κατὰ ταὐτά τινι. — ὑπῆρξεν εἰς π.' *auctor fuit, cur crederetur*, cui formulae subiectum accedit τοιόνδε. quod superest παρ' αὐτοῦ Ἀ. notandum τοῦ Articulum in nominibus propriis abesse posse. v. Krüg. ad Xen. Anab. I, 2, 20. Ed. 1826. — δύναμιν συνεξαιρήσοντας, de qua numeri generisque Enallage v. ad Lucian. dial. mort. IV, 3. — πορείᾳ. h. l. id quod στόλος, nec solum ἡ διὰ τῆς γῆς πορεία ut nostro loco, sed etiam ἡ διὰ τῆς θαλάσσης. — νύκτωρ. Thom. M. ait: Ἀττικοὶ λέγουσι νυκτός. Adverbium certe plus semel apud Xenophontem. — ἀποκτείνουσι vulg., ἀποκτίννυσι Siebel. Bekk. — παρέστησεν. cf. supra Pausan. II, 2.

2. ἐνομίζετο, *solenne fuit*. — ὁπόσοι — κατεργάσαιντο. de Optat. v. B. §. 139, 2. M. §. 527, 1. — παρέσχε, cum Infin. imitantur Latii poetae graecissantes: *praebet tibi vellere barbam Iuppiter*. Pers. Sat. 2, 28.

3. Τακίνθια. v. Ovid. Metam. X, 217—19. Manso Sparta I, 2. p. 203. — ἐώρταζον. B. §. 84. not. 9. — Λύκτου. Lyctus, antiquissima omnium urbium Cretae insulae, Lacedaemoniorum colonia. — ἅτε. ad c. V. §. 1. — οἷς εἶχον, Attractio. v. ad Aelian. XXVIII extr. —

4 δὲ ἀποχωροῦσιν ἐς ἀγρὸν τὸν ἐν τῇ Μεσσηνίᾳ. ἐνταῦθα ᾤκει κόρη σὺν μητρὶ παρθένος, πατρὸς ὀρφανή. τῇ δὲ προτέρᾳ νυκτὶ εἶδεν ὄψιν ἡ παῖς, ὡς λέοντα ἐς τὸν ἀγρὸν λύκοι σφίσιν ἤγαγον δεδεμένον καὶ οὐκ ἔχοντα ὄνυχας, αὐτὴ δὲ τοῦ δεσμοῦ τὸν λέοντα ἀπέλυσε καὶ ἀνευροῦσα ἔδωκε τοὺς ὄνυχας, οὕτω τε διασπασθῆναι τοὺς λύκους ἔδοξεν ὑπὸ τοῦ λέοντος. τότε δὲ ὡς τὸν Ἀριστομένην ἐσάγουσιν οἱ Κρῆτες, συνεφρόνησεν ἡ παρθένος ὕπαρ ἥκειν τὸ ἐν τῇ νυκτί οἱ πεφηνός, καὶ ἀνηρώτα τὴν μητέρα ὅστις εἴη· μαθοῦσα δὲ ἐπερρώσθη τε καὶ ἀπιδοῦσα ἐς αὐτὸν τὸ προσταχθὲν συνῆκεν. οἶνον οὖν τοῖς Κρησὶν ἐγχέουσα ἀνέδην, καὶ ὡς σφᾶς ἡ μέθη κατελάμβανεν, ὑφαιρεῖται τοῦ μάλιστα ὑπνωμένου τὸ ἐγχειρίδιον. τὰ μὲν οὖν δεσμὰ τοῦ Ἀριστομένους ἔτεμεν ἡ παρθένος· ὁ δὲ παραλαβὼν τὸ ξίφος διειργάσατο. ταύτην τὴν παρθένον λαμβάνει γυναῖκα Γόργος Ἀριστομένους· ἐδίδου δὲ Ἀριστομένης τῇ παιδὶ ἐκτίνων σῶστρα, ἐπεὶ Γόργῳ οὐκ ἦν πω δέκατον καὶ ὄγδοον ἔτος ὅτε ἔγημεν.

1 VII. Ἐνδεκάτῳ δὲ ἔτει τῆς πολιορκίας τήν τε Εἶραν ἐπέπρωτο ἁλῶναι καὶ ἀναστάτους γενέσθαι Μεσσηνίους, καὶ δή σφισιν ἐπετέλεσεν ὁ θεὸς Ἀριστομένει καὶ Θεόκλῳ χρησθέντι. τούτοις γὰρ ἐλθοῦσιν ἐς Δελφοὺς μετὰ τὴν ἐπὶ τῇ Τάφρῳ πληγὴν καὶ ἐπερομένοις ὑπὲρ σωτηρίας τοσόνδε εἶπεν ἡ Πυθία·

ἔστε τράγος πίνῃσι Νέδης ἑλικόρροον ὕδωρ,
οὐκέτι Μεσσήνην ῥύσεται· σχεδόθεν γὰρ ὄλεθρος.

2 εἰσὶ δὲ αἱ πηγαὶ τῆς Νέδας ἐν ὄρει τῷ Λυκαίῳ· προελθὼν δὲ ὁ ποταμὸς διὰ τῆς Ἀρκάδων, καὶ ἐπιστρέψας αὖθις ἐς τὴν Μεσσηνίαν ὁρίζει τὰ ἐπὶ θαλάσσῃ Μεσσηνίοις καὶ Ἠλείοις τὴν γῆν. τότε

ἐς ἀγρόν, quid h. l. significet incerti sunt viri docti. Siebelis dedit ἐς ἀγρόν τινα ἐν τ. Μ. et vertit *praedium rusticum*, einen Meierhof. comp. supra Long. I, 1. ubi ἀγρός i. q. *fundus*, *ager*.

4. πατρὸς ὀρφ. quamquam ὀρφανὸς per se is etiam est, cui matre viva mortuus est pater, tamen latius patet et privatum significat omnibus rebus caris. — ἡ παῖς. recte Hesych. παῖς, καὶ ἀντὶ παρθένου, nec solum de serva, ut ait Ammonius (παιδίσκη ἡ ἐλευθέρα, παῖς δὲ ἡ δούλη), sed de quavis puella s. virgine. — ἔδοξεν, h. l. cum Accus. et Infin., quae structura etiam melioris notae scriptoribus comprobatur. Romanorum quamquam sunt qui in his quoque Graecam syntaxin imitentur, tu tibi noli indulgere, Gell. N. A. 19, 8. *videturne tibi Caesarem — satis aperte pronuntiasse?*, cf. Zumpt, Gramm. c. 70. §. 380. — ὕπαρ ἥκειν ctt. *intellexit quod nocte sibi oblatum esset exploratam veritatem advenisse.* auctori obversatur ipse Aristomenes, quod ni esset, pro ἥκειν haud dubie γενέσθαι dicendum fuisset. — δεσμά. B. §. 56, 6. M. §. 96. s. v. — διειργάσατο, supplendum ἐκείνους. — οὐκ ἦν πω, i. e. οὔπω ἦν, Xen. Anab. 7, 3, 35. οὐκ ἴσασί πω, et multis aliis locis Xenoph.

VII. Apollo oraculo ediderat Iram undecimo post obsessionem anno expugnatum iri, quod effatum iam non irritum fore intelligunt Messenii. Aristomenes, ne in posterum omne tempus salutis spes concidat, prohibet.

1. ἐπέπρωτο. supra ad c. V. §. 3. — ἐπετέλεσεν, *ipso rei eventu iis satisfecit.* — χρησθέντι, cui vocabulo τῷ θεῷ, τῷ μαντείῳ, alia a Nostro fere omisse adplicari possunt, *oraculum consulenti*, vel potius *consulentibus.* sed liberiores sunt quum alii, tum Pausanias in admittendo numero singulari. Paus. 3, 19, 5. Ἀμύκλαι ἀνάστατος γενομένη παρείχετο ctt. 8, 33, 1. Μυκῆναι τοῖς Ἕλλησιν ἡγησαμένη. cf. M. §. 293. — ἔστε, cum Coniunct. v. ad Long. II, 6. πίνῃσι, B. §. 103. V. not. 13. — Νέδης ἑλικ. Pausanias alio loco Nedam (hodie Bousi) flumen vocat Maeandro excepto flexuosissimum.

2. ὁρίζει τὰ ἐπὶ θ. — τὴν γῆν, *terram Messeniorum et Eleorum in*

δὲ οἱ μὲν τοὺς αἶγας τοὺς ἄῤῥενας ἐδεδοίκεσαν, μὴ πίνωσιν ἀπὸ τῆς Νέδας· τοῖς δὲ ἄρα ὁ δαίμων προεσήμαινε τοιόνδε. τὸ δένδρον τὸν ἐρινεόν εἰσιν Ἑλλήνων οἱ καλοῦσιν ὀλύνθην, Μεσσήνιοι δὲ αὐτοὶ τράγον. τότε οὖν πρὸς τῇ Νέδᾳ πεφυκὼς ἐρινεὸς οὐκ ἐς εὐθὺ ηὔξητο, ἀλλὰ ἔς τε τὸ ῥεῦμα ἐπέστρεφε καὶ τοῦ ὕδατος ἄκροις τοῖς φύλλοις ἐπέψαυε. θεασάμενος δὲ ὁ μάντις Θέοκλος συνεβάλλετο, ὡς τὸν τράγον τὸν πίνοντα ἐκ τῆς Νέδας προεῖπεν ἡ Πυθία τὸν ἐρινεὸν τοῦτον καὶ ὡς ἤδη Μεσσηνίοις ἥκει τὸ χρεών· καὶ ἐς μὲν τοὺς ἄλλους εἶχεν ἐν ἀπορῥήτῳ, Ἀριστομένην δὲ πρός τε τὸν ἐρινεὸν ἤγαγε καὶ ἀνεδίδασκεν, ὡς τῆς σωτηρίας ἐξήκοι σφίσιν ὁ χρόνος. Ἀριστομένης δὲ ἔχειν οὕτω πείθεται καὶ ἀναβολὴν οὐκέτι εἶναί σφισι, προενοήσατο δὲ καὶ ἐκ τῶν παρόντων. καὶ (ἦν γάρ τι ἐν 3
ἀπορῥήτῳ τοῖς Μεσσηνίοις· ἔμελλε δὲ ἀφανισθὲν ὑποβρύχιον τὴν Μεσσήνην κρύψειν τὸν πάντα αἰῶνα, φυλαχθὲν δὲ οἱ Λύκου τοῦ Πανδίονος χρησμοὶ Μεσσηνίους ἔλεγον χρόνῳ ποτὲ ἀνασώσεσθαι τὴν χώραν) τοῦτο δὴ ὁ Ἀριστομένης, ἅτε ἐπιστάμενος τοὺς χρησμούς, ἐπεὶ νὺξ ἐγίγνετο, ἐκόμιζε. παραγενόμενος δὲ ἔνθα τῆς Ἰθώμης ἦν τὸ ἐρημότατον, κατώρυξεν ἐς Ἰθώμην τὸ ὄρος καὶ Δία Ἰθώμην ἔχοντα καὶ θεούς, οἳ Μεσσηνίους ἐς ἐκεῖνο ἔσωζον, φύλακας μεῖναι τῆς παρακαταθήκης ἡγούμενος, μηδὲ ἐπὶ Λακεδαιμονίους ποιῆσαι τὴν μόνην καθόδου Μεσσηνίοις ἐλπίδα. . . . . .

VIII. Οἱ Σπαρτιᾶται, ὡς κατὰ τὴν ἀκρόπολιν τῆς Εἴρας ἐγί- 1
νοντο, ὑπερέβαινον κλίμακάς τε προστιθέντες καὶ ὅτῳ τις ἐδύνατο ἄλλῳ τρόπῳ. τοῖς δὲ Μεσσηνίοις παρείχετο μὲν τοῦ παρόντος κακοῦ καὶ ἄλλα αἴσθησιν, μάλιστα δὲ οἱ κύνες οὐ κατὰ τὰ εἰωθότα ὑλακτοῦντες, ἀλλὰ συνεχεστέρᾳ καὶ βιαιοτέρᾳ τῇ κραυγῇ χρώμενοι. γνόντες οὖν τὸν ὕστατον ὁμοῦ καὶ ἀναγκαιότατον σφᾶς ἀγῶνα ἐπει-

---

ora maritima sitam dividit, ubi Accusativus priore loco positus continere videtur adpositionem partis ad totum. cf. Plut. vit. Agid. c. 1. οἱ πρωρεῖς τὰ ἔμπροσθεν ἀφορῶσι πρός τι, i. e. *proretae anteriore navis parte in aliquid prospiciunt.* — οἱ μὲν — τοῖς δὲ ἄρα, utrumque spectat Messenios. Herod. I, 66. Λακεδαιμόνιοι Ἀρκάδων μὲν τῶν ἄλλων ἀπείχοντο, οἱ δὲ (Lacedaemonii) ἐπὶ Τεγεήτας ἐστρατεύοντο. similia praebet Bernhardy w. Synt. p. 310. comp. M. §. 616, 3. — τὸ δένδρον τὸν ἐρ. de hac adiectione vocabuli alicuius abundantis Pausaniae familiari vid. ad c. V. §. 3. — εἰσὶν Ἑλλ. οἵ, et quod etiam magis in usu est ἔστιν οἵ, v. B. §. 150. p. 448. M. §. 482. — ὀλύνθην, sic dedimus ex uno Codice cum Edit. Bekk., alii ὄλυνθον, quod de fructu atque immatura ficu, non de ipsa arbore dicebant. — ὁ μάντις Θ. sic infra c. VIII. §. 7. Herod. II, 106. ὁ Αἰγύπτου βασιλεὺς Σέσωστρις. add. ad B. §. 124, 3. — προενοήσατο δὲ καὶ ἐκ τ. π. *praemeditabatur tamen etiam salutem suorum quantum ex praesenti rerum discrimine fieri poterat.*

3. ὑποβρύχιον, Suidas: ὑπὸ τὸ ὕδωρ ποντισθέν, ut haec sit totius loci sententia: illud ἀπόῤῥητον si aboleretur Messeniam quasi sub aqua submersam absconditurum esse in aeternum, sin vero conservaretur ctt. — ἔχοντα, *obtinentem, tuentem*, vox de diis tutelaribus inde ab Homero satis vulgaris. Etym. M. ἔχω· φυλάσσω. — ἐς ἐκεῖνο, *ad eum diem.* comprehendit simul et remotiora et quae tempore sunt proxima.

VIII. Enarratur Irae expugnatio.

1. ἀκρόπολιν. constat arcem Athenarum prae ceteris sic vocari, sed etiam in plerisque aliis oppidis Graeciae, nec non in barbaris aliquot ἀκρόπολιν fuisse sive ἄκραν ex historicis et oratoribus Atticis videre licet. —

ληφότα, οὐδὲ τὰ ὅπλα ἅπαντα ἀνελάμβανον, ἀλλ' ὅτῳ προχείρῳ μάλιστα ἐντύχοι τις ἁρπάζοντες ἤμυνον τῇ πατρίδι, ἢ μόνη σφίσιν ἐλείπετο ἐκ τῆς Μεσσηνίας πάσης. πρῶτοι δὲ ἤσθοντο ἔνδον τῶν πολεμίων ὄντων καὶ ἐβοήθουν ἐπ' αὐτοὺς πρῶτοι, Γόργος τε ὁ Ἀριστομένους καὶ Ἀριστομένης αὐτός, Θέοκλός τε ὁ μάντις καὶ Μάντικλος ὁ Θεόκλου· σὺν δὲ αὐτοῖς Εὐεργετίδας ἀνὴρ καὶ ἄλλως ἐν Μεσσήνῃ τιμώμενος καὶ διὰ τὴν γυναῖκα ἐπὶ πλέον ἀξιώματος ἥκων· ἀδελφὴν γὰρ εἶχεν Ἀριστομένους Ἀγναγόραν. τότε δὲ οἱ μὲν ἄλλοι συνιέντες, ὡς ἐν δικτύοις εἰσὶν ἐσχημένοι, ὅμως καὶ ἐκ τῶν
2 παρόντων εἶχόν τινα ἐλπίδα. Ἀριστομένης δὲ καὶ ὁ μάντις ἠπίστουν μὲν οὐδεμίαν ἔτι ἀναβολὴν ὀλέθρου Μεσσηνίοις οὖσαν, ἅτε εἰδότες καὶ τὸν χρησμόν, ὃν ἠνίξατο ἐς τὸν τράγον ἡ Πυθία· ἐπέκρυπτον δὲ οὐδὲν ἧσσον καὶ ἦν σφίσιν ἐς τοὺς ἄλλους ἀπόῤῥητον. ἐπιόντες δὲ τὴν πόλιν σπουδῇ καὶ ἐπὶ πάντας ἐρχόμενοι τοῖς τε ἐντυγχάνουσιν, ὁπότε αἰσθάνοιντο ὄντας Μεσσηνίους, παρεκελεύοντο ἄνδρας ἀγαθοὺς εἶναι καὶ ἐκ τῶν οἰκιῶν ἀνεκάλουν τοὺς ἔτι ὑπο-
3 λειπομένους. ἐν μὲν δὴ νυκτὶ οὐδὲν ἄξιον ἐπράχθη λόγου παρ' οὐδετέρων. τοῖς μὲν γὰρ ἡ ἀπειρία τῶν τόπων καὶ ἡ τόλμα Ἀριστομένους παρεῖχε μελλησμόν, τοῖς δὲ Μεσσηνίοις οὔτε παρὰ τῶν στρατηγῶν σύνθημα ἐγεγόνει φθάνοντας εἰληφέναι, τάς τε δᾷδας, ἢ εἴ τινα λαμπτῆρα ἀλλοῖον ἅψαιτό τις, ὕων ἂν ἐσβέννυεν ὁ θεός. ἐπειδὴ δὲ ἡμέρα τε ἦν καὶ ἀλλήλους καθορᾶν ἐδύναντο, ἐνταῦθα Ἀριστομένης καὶ Θέοκλος ἐπειρῶντο ἐς πᾶσαν ἀπόνοιαν προάγειν τοὺς Μεσσηνίους, ἄλλα τε, ὁπόσα εἰκὸς ἦν, διδάσκοντες καὶ Σμυρναίων τὰ τολμήματα ἀναμιμνήσκοντες, ὡς Ἰάονας μοῖρα ὄντες Γύγην τὸν Δασκύλου καὶ Λυδοὺς ἔχοντας σφῶν τὴν πόλιν ὑπὸ ἀρετῆς καὶ προ-

---

ἀνελάμβανον, *sibi induebant*, veluti ὅπλα, σκεύη, quocum confundi non debet quod infra §. 4 legimus λαβεῖν ὅπλα, *capere, sumere quidquid armorum est.* οὐδὲ ἅπαντα non otiose h. l. adiecta sunt, sed quo minus plenior armatura s. πανοπλία (v. ad Athen. II, 7.) intelligatur prohibent. — προχείρῳ. Hesychius interpretatur ἕτοιμος, εὔχερής. — ἁρπάζοντες. Xenoph. Anab. V, 9, 8. ἁρπάσας τὰ ὅπλα μάχεται πρὸ τοῦ ζεύγους. comp. ad Aelian. XI extr. ἤμυνον, cum Dat. vel rei vel personae, cui auxilior opitulorque. *quid* vero arceam ab aliquo nonnunquam explendum, exemplis probat ex Homero et Herodoto petitis Lex. Passovii. cf. infra §. 4 extr. — ἀδελφὴν γ. εἶχεν. ἔχειν, ut saepius i. q. γαμεῖν, unde ὁ ἔχων *maritus.* Xenoph. Cyrop. I, 5, 4. Anab. III, 4, 13. secus Romani, qui *habere* sensu, quod sciam, impuro in simili compositione adhibent. cf. Virg. Eclog. 3, 107. Tibull. 4, 76 ibique Heyn. Ter. Andr. I, 1, 58.

2. ἠνίξατο ἐς τ. τράγον, interdum etiam πρὸς Praepositione adhibita, *per aliquam rem aliquid occulte significare.* Aeschines: τὴν τάξιν τοῦ πρῶτος λέγειν οὐκ ἂν ἔφη ἐπιτρέψειν τινί, αἰνιττόμενος εἰς ἐμέ. Achill. Tat. εἰς τὴν ἐλαίαν αἰνίττεσθαί τι καὶ τὸ πῦρ. — οὐδὲν ἧσσον, *nihilo minus*, quod ne confundas cum altero illo οἶμαι οὐδενὸς ἂν ἧττον φανῆναι δίκαιος (Xen. memorab. 4, 2, 12.), i. e. *neminem me iustiorem esse censeo.* — ἐρχόμενοι. ctt. Siebelis comparat Hom. Il. 4, 231 sq.

3. μελλησμόν. Lobeck ad Phryn. p. 512. — σύνθημα. Thom. M. τὸ ἐπιφώνημα, ὃ λέγουσι τὰ στρατόπεδα ἐν ταῖς μάχαις γνώρισμα τῶν ὁμοφύλων. nos: Signal, Losungswort. comp. συντίθεσθαι ad Aesop. fab. VIII. — φθάνοντας εἰληφ. de quo Acc. c. Inf. pro Dativo, quem legitima structura exigeret, vid. infra ad IX, 2 extr. — ἀπόνοιαν, h. l. de summa ac paene caeca pugnantium fortitudine. sic Athenienses contra Syracusanos pugnantes ἐς ἀπόνοιαν κεκθεστήκασιν. Thucyd. 7, 67. — Γύγην ctt. ad rem comp. Herod. I, 14.

θυμίας ἐκβάλοιεν. οἱ Μεσσήνιοι δὲ ἀκούοντες ἀπονοίας τε ἐνεπίμ- 4
πλαντο καὶ συνιστάμενοι καθ' ὁπόσους ἕκαστοι τύχοιεν ἐφέροντο ἐς
τοὺς Λακεδαιμονίους. ὥρμησαν δὲ καὶ γυναῖκες τῷ κεράμῳ καὶ ὅτῳ
δύναιτο ἑκάστη τοὺς πολεμίους βάλλειν. τρῦτο μὲν δὴ μὴ δρᾶσαι
σφᾶς, μηδὲ ἐπιβῆναι τῶν τεγῶν, τοῦ ὄμβρου τὸ βίαιον ἐπεκάλυε-
λαβεῖν δὲ ὅπλα ἐτόλμησαν, καὶ τοῖς ἀνδράσιν ἐπὶ πλέον αὗται τὴν
τόλμαν ἐξῆψαν, ὁπότε καὶ τὰς γυναῖκας ἑώρων προτιμώσας συναπο-
λέσθαι τῇ πατρίδι, ἢ ἀχθῆναι δούλας ἐς Λακεδαίμονα, ὥστε κἂν
παρελθεῖν ἡδυνήθησαν τὸ πεπρωμένον. ἀλλὰ ὁ θεὸς τὸ ὕδωρ ἐπήγα-
γεν ἀθρόον μᾶλλον μετὰ ἰσχυροῦ τῶν βροντῶν τοῦ ψόφου καὶ τοὺς
ὀφθαλμοὺς αὐτῶν ἐναντίαις ταῖς ἀστραπαῖς ἐξέπληττε. τοῖς δὲ Λακε-
δαιμονίοις ταῦτα πάντα παρίστη φρόνημα καὶ αὐτὸν ἀμύνειν σφίσιν
ἔφασαν τὸν θεόν. καὶ (ἤστραπτε γὰρ τούτοις κατὰ δεξιά) ἀπέφαινεν
Ἕκας ὁ μάντις, ὡς αἴσιον εἴη τὸ σημεῖον. οὗτος δὲ καὶ στρατήγημα 5
ἐξεῦρε τοιόνδε. ἀριθμῷ καὶ πολὺ οἱ Λακεδαιμόνιοι περιῆσαν. ἅτε δὲ
οὐκ ἐν εὐρυχωρίᾳ σφίσιν οὐδὲ κατὰ σύνταγμα ἐγγινομένης τῆς μάχης,
ἄλλων δὲ ἐν ἄλλῳ τῆς πόλεως ποιουμένων τὸν ἀγῶνα, ἀχρείους ἀπὸ
ἑκάστης τάξεως συνέβαινεν εἶναι τοὺς τελευταίους. τούτους ἐκέλευεν
ἀποχωρήσαντας ἐς τὸ στρατόπεδον σιτίων μεταλαβεῖν καὶ ὕπνου, καὶ
αὖθις πρὸ ἑσπέρας ἥκειν τοῖς ὑπομείνασιν αὐτῶν διαδεξομένους τὸν
πόνον. καὶ οἱ μὲν ἀναπαυόμενοί τε καὶ ἀνὰ μέρος μαχόμενοι μᾶλλον 6
ἀντήρκουν, τοῖς δὲ Μεσσηνίοις πανταχόθεν παρίστατο ἀπορία: μεθ'
ἡμέραν γὰρ ἀεὶ καὶ νύκτα συνεχῶς οἱ αὐτοὶ τρίτην ἠμύνοντο. ἤδη τε
ἡμέρα ἦν, καὶ ἥ τε ἀϋπνία καὶ ἐκ τοῦ οὐρανοῦ τὸ ὕδωρ τε καὶ ῥῖγος
ἐπίεζε σφᾶς, ὅ τε λιμὸς καὶ ἡ δίψα ἐπέκειτο. μάλιστα δὲ αἱ γυναῖκες
ἀληθείᾳ τε πολέμου καὶ τῇ συνεχείᾳ τῆς ταλαιπωρίας ἀπειρήκεσαν.
παραστὰς οὖν ὁ μάντις Θέοκλος πρὸς Ἀριστομένην εἶπε· „Τί μάτην 7
τόνδε ἔχεις τὸν πόνον; ἅλῶναι Μεσσήνην πάντως ἐστὶ πεπρωμένον,
συμφορὰν δὲ τὴν ἐν ὀφθαλμοῖς πάλαι τε ἡμῖν προεσήμαινεν ἡ Πυθία

4. ἐνεπίμπλαντο, praetuli ex vulgari canone grammatico lectioni Siebelisii Bekkerique ἐνεπίπλαντο. v. B. et M. verbb. anom. s. v., πίμπλημι. Lobeck ad Phryn. p. 95. — βάλλειν. comp. ad IX, 4. — ἐπὶ πλέον, Bernhardy w. Synt. p. 253. — ἐξῆψαι, *incendebant, inflammabant*, ut ἐξάπτειν saepius (cf. ad Aelian. XXVIII.) apud scriptores supparis aetatis. Aelianus: εἰς τὸν ἀγῶνα ἐξάπτειν ἑαυτούς. Dion. Hal. ὑπ' ὀργῆς καὶ φιλονεικίας ἐξαφθέντες. — μετὰ ἰσχυροῦ — ψόφου. de hac verborum positura vid. M. §. 278. not. 1. — φρόνημα, ad I, 4.

5. καὶ πολύ, copula intendendi vi instructa est, ut sexcenties in his formulis καὶ πάνυ, κ. μάλα, κ. μᾶλλον, κ. μάλιστα. Paus. IV, 5, 2. περιόντες γὰρ ἀριθμῷ καὶ πολὺ οἱ σὺν Ἀντιόχῳ. — κατὰ σύντ. *instructo agmine*. — ἐγγινομένης, compositum h. l. figuram et Graecis et Latinis litteris notissimam sapit, quae Zeugma Grammaticis vocatur (M. §. 634, 3.). recte enim ad ea sola accommodes, quae loco remotiora sunt, ἐν εὐρυχωρίᾳ. — μεταλαβεῖν. sic Latini: cibi quietisque sumere tempus. Liv.

6. μεθ' ἡμέραν — τρίτην. adpositissima est ratio Latinorum. Liv. hist. VI, 1 extr. *post diem tertium obiectus hosti exercitus Romanus est*. nos: schon seit dem dritten Tag und der dritten Nacht unausgesetzt ctt. ἀεὶ συνεχῶς et id genus alia (vid. ad Aelian. XV. XVI.) apud Homerum Herodotumque saepe coniuncta leges. quod superest verborum comprehensio mirifice interrupta atque perplexa pronuntiando adiuvari debet, quod si feceris, certa ratio erit, cur singula quaeque sedem commutare denegent. cf. Bernhardy w. Synt. p. 459. — ἀπειρήκεσαν (ἀπειρεῖν), *confecti, defatigati erant*.

7. τὴν ἐν ὀφθαλμοῖς, *quam ante oculos iam haberent calamitatem*.

καὶ ἔναγχος ὁ ἐρινεὸς ἔδειξεν. ἐμοὶ μὲν οὖν ὁ θεὸς αὐτῷ καινὴν πρὸς τὴν πατρίδα ἐπάγει τὴν τελευτήν· σὺ δὲ σώζειν μέν, ὡς δυνάμεως ἥκεις, Μεσσηνίους, σώζειν δὲ καὶ σαυτόν." ἐπεὶ δὲ εἶπε πρὸς τοῦτον, ἐπὶ τοὺς πολεμίους ἔθει· καί οἱ καὶ ἐς τοὺς Λακεδαιμονίους ἔπεισιν ἐκβοῆσαι τοσόνδε· „Ἀλλ' οὔ τοι τὸν πάντα γε χρόνον χαίροντες καρπώσεσθε τὰ Μεσσηνίων." μετὰ τοῦτο τοῖς καθ' αὑτὸν ἀνθεστηκόσιν ἐμπεσὼν ἐκείνους τε ἔκτεινε καὶ αὐτὸς ἐτιτρώσκετο, προεμ-
8 πλήσας δὲ τὸν θυμὸν τῷ φόνῳ τῶν ἐχθρῶν ἀφίησι τὴν ψυχήν. Ἀριστομένης δὲ ἀπὸ τῆς μάχης ὀπίσω τοὺς Μεσσηνίους ἀνεκάλει, πλὴν ὅσοι κατὰ ἀνδραγαθίαν αὐτοῦ προεμάχοντο· τούτους δὲ εἴα κατὰ χώραν μένειν, τοῖς δὲ λοιποῖς προσέταξε τὰς γυναῖκας καὶ τὰ τέκνα ἐντὸς τῆς τάξεως ἔχοντας ἐπακολουθεῖν, ᾗπερ ἂν αὐτὸς παρέχηται διέξοδον. καὶ τούτων μὲν τοῖς τελευταίοις Γόργον καὶ Μάντικλον ἐπέστησεν ἄρχοντας· αὐτὸς δὲ ἀναδραμὼν ἐς τοὺς προτεταγμένους, τῆς τε κεφαλῆς τῷ νεύματι καὶ τοῦ δόρατος τῇ κινήσει δῆλος ἦν διέξοδόν τε αἰτούμενος καὶ ἀποχωρεῖν ἤδη βεβουλευμένος, τῷ τε οὖν Ἐμπεράμῳ καὶ Σπαρτιατῶν τοῖς παροῦσι διεῖναι τοὺς Μεσσηνίους ἤρεσκε, μηδὲ λυσσῶντας ἀνθρώπους καὶ ἐς τὸ ἔσχατον ἀπονοίας ἥκοντας ἐξαγριᾶναι πέρα, καὶ ἅμα οὕτω σφᾶς ποιεῖν Ἕκας ὁ μάντις ἐκέλευεν.

1 IX. Οἱ δὲ Ἀρκάδες παραυτίκα τε τὴν κατάληψιν ἐπυνθάνοντο τῆς Εἴρας, καὶ αὐτίκα τὸν Ἀριστοκράτην ἐκέλευον σφᾶς ἄγειν ὡς ἢ σώσοντας Μεσσηνίους, ἢ σὺν αὐτοῖς ἀπολουμένους. ὁ δὲ ἅτε ἐκ τῆς Λακεδαίμονος δεδεγμένος δῶρα οὔτε ἄγειν ἤθελεν, εἰδέναι τε ἔφασκεν οὐδένα ἔτι Μεσσηνίων, ὅτῳ καὶ ἀμυνοῦσιν, ὄντα ὑπόλοι-

---

sic etiam Lat. urbs *in oculis* alicuius capta. Liv. 26, 12. virgo *in oculis* populi R. ab complexu patris abrepta. ibid. 3, 57. — ἔναγχος, i. e. Timaeo Lex. Plat. interprete *ἐν τῷ ἔγγιστα παρελθόντι χρόνῳ*. alii Grammatici latiorem temporis definitionem admittunt, ut recte compares cum Lat. *nuper*. — κοινὴν πρὸς τ. πατρ. ne praeferendum tibi videatur κ. τῇ πατρίδι, vid. quae disputata sunt ad c. IV. §. 3. — σώζειν. vid. B. §. 142., 4. not. 5. M. §. 546. — ὡς δυνάμεως ἥκ. Genitivus part. sic in aliis quibusdam formulis, velut ὡς ἔτυχον τῆς χώρας. ὡς εἶχον τάχους. Thuc. 7, 2. μικρὸς ὡς τοσούτων ἐτῶν. Athen. 13. p. 584. b. cf. Bernh. w. Synt. p. 158. — οὔ τοι χαίροντες, *male mulcati*, *non impune*. v. Herm. ad Viger. p. 767. — προεμπλήσας ctt. Siebelis comparat Cic. p. Milone 25, 63. *quum sanguine inimici explesset odium suum.*

8. αὐτοῦ προεμάχοντο, recepi pro vulg. αὐτῷ προσεμάχοντο, quae lectio, quamquam novissimis Editoribus probata, quid sibi velit ego quidem exputare non possum. illud sic capiendum: Aristomenes signum dedit receptui et eos tantum reliquit proeliantes, qui in prima acie pro ipso fortiter propugnabant. — δῆλος ἦν. v. B. §. 151, 7. — λυσσῶντας, i. e. μαινομένους, *furibundos*. — πέρα. vid. Buttm. Lexilog. II. pag. 25.

IX. Messenii Ira expulsi hospitaliter ab Arcadibus excipiuntur. Aristomenes pertinaci Spartae odio flagrans pro patriae salute mori statuit. Aristocrates proditionis coarguitur, lapidibus obruitur.

1. ὡς cum Part. Fut. v. ad Aesop. fabb. XII. — οὔτε —, τε — οὐδένα, ita solent Graeci ubi oratio a minore transit ad maius, et extrema negatio in clariore luce collocatur. exempla congessit M. §. 609. p. 1226. Cic. de off. 3, 1. Scipio Africanus in otio de negotiis cogitabat, ut *neque* cessaret *unquam*, *et* interdum colloquio alterius *non* egeret. — ἔφασκεν. B. §. 109. not. 2. — ὅτῳ. B. §. 77, 3. de vi intendendi voculae καὶ post relativa saepius dictam est. Aelian. XIX. Aesop. fabb. VII. cf. M. §. 620, 2.

πον. τότε δὲ ὡς σαφέστερον ᾐσθάνοντο περιόντας καὶ ἐκλείπειν τὴν Εἶραν βεβιασμένους, αὐτοὶ μὲν περὶ τὸ ὄρος σφᾶς τὸ Λύκαιον ἔμελλον ὑποδέξασθαι, προετοιμασάμενοι καὶ ἐσθῆτα καὶ σιτία, ἄνδρας δὲ τῶν ἐν τέλει πέμπουσι παραμυθεῖσθαί τε τοὺς Μεσσηνίους καὶ ἡγεμόνας τῆς πορείας ἅμα γενέσθαι. καὶ τοὺς μέν, ὡς ἐς τὸ Λύκαιον ἀνεσώθησαν, ἐξένιζον καὶ τὰ ἄλλα εὐνοϊκῶς περιεῖπον οἱ Ἀρκάδες, κατανέμειν τε ἐς τὰς πόλεις ἤθελον καὶ ἀναδάσασθαι δι' ἐκείνους τὴν γῆν. Ἀριστομένει δὲ ὅ τε οἶκτος διαρπαζομένης τῆς 2
Εἴρας καὶ τὸ μῖσος τὸ ἐς τοὺς Λακεδαιμονίους βούλευμα παρίστησι τοιόνδε. πεντακοσίους τῶν Μεσσηνίων, οὓς μάλιστα ἠπίστατο αὐτῶν ἀφειδῶς ἔχοντας, ἀποκρίνας ἀπὸ τοῦ πλήθους, ἤρετο σφᾶς ἐν ἐπηκόῳ τῶν τε ἄλλων Ἀρκάδων καὶ Ἀριστοκράτους, ἅτε ὄντα προδότην οὐκ εἰδώς· ἀνανδρίᾳ γὰρ καὶ ὑπὸ δειλίας φυγεῖν τότε ἤδη Ἀριστοκράτην τῆς μάχης καὶ οὐ διὰ κακίαν οὐδεμίαν ἐδόξαζεν αὐτόν, ὥστε ἐναντίον καὶ τούτου τοὺς πεντακοσίους ἤρετο, εἰ τιμωροῦντες τῇ πατρίδι ἀποθνήσκειν σὺν αὐτῷ ἐθελήσουσι. φαμένων δὲ ἐθέλειν ἀπεγύμνου τὸ πᾶν, ὡς πάντως τῆς ἐπιούσης ἑσπέρας ἐπὶ τὴν Σπάρτην ἄγειν μέλλοι. Λακεδαιμονίων γὰρ τότε δὴ μάλιστα ἐς τὴν Εἶραν ἀπῆσαν οἱ πολλοί, καὶ ἄλλοι τε ἐπεφοίτων φέροντες καὶ ἄγοντες τὰ Μεσσηνίων. „καὶ ἦν μὲν ἑλεῖν τὴν Σπάρτην καὶ κατασχεῖν δυνηθῶμεν," ἔφασκεν ὁ Ἀριστομένης, „ἔστιν ἡμῖν ἀποδόντας Λακεδαιμονίοις τὰ ἐκείνων κομίσασθαι τὰ οἰκεῖα· ἁμαρτάνοντες δὲ ὁμοῦ ἀποθανούμεθά γε, μνήμης καὶ τοῖς ἔπειτα ἄξια ἐργασάμενοι." ταῦτα εἰπόντος, τῶν Ἀρκάδων ὅσον τριακόσιοι μετέχειν καὶ αὐτοὶ τοῦ τολμήματος ἤθελον. καὶ τότε μὲν ἐπεῖχον τῆς ἐξόδου· τὰ γὰρ ἱερὰ ἐγίγνετο αὐτοῖς οὐ κατὰ γνώμην· τῇ δὲ ἐπιούσῃ τό τε ἀπόῤῥητον 3
ἔγνωσαν σφῶν τοὺς Λακεδαιμονίους προπεπυσμένους καὶ αὐτοὶ δεύτερον ὑπὸ Ἀριστοκράτους προδεδομένοι. τὰ γὰρ τοῦ Ἀριστομένους βουλεύματα αὐτίκα ὁ Ἀριστοκράτης ἐγγράψας βιβλίῳ, καὶ τὸ βιβλίον

— ὑποδέξασθαι, maluerunt quidam Infinitivum Futuri. sed recte μέλλειν h. l. cum Aoristi Inf., quum scriptor exprimere velit rem iam coeptam, quin etiam mente vel cogitatione perfectam. comp. Herm. ad Viger. p. 754. — εὐνοϊκῶς περιεῖπον (ἕπω), sic prorsus Latini: *benevolentia prosequebantur.*

2. ἀφειδῶς ἔχ. cum Genit. ut ἀφειδεῖν. de Adv. v. ad Aelian. XXV. XXVII. al. — ἐν ἐπηκόῳ, proprie *loco quodam, unde vox alterius ab altero audiri potest*, cum Genitivo vel rei vel personae, sive quis audit, sive quid auditur. — τῆς μάχης, Genitivus pendet a φυγεῖν. sic Paus. II, 2, 1. οὐδεμία ἐστὶν οἱ μηχανὴ διαφυγεῖν τοῦ ὅρκου. de his aliisque verbis, quibus subest significatio *recedendi* vel *exeundi*, cum Genit. coniunctis v. Bernh. w. Synt. p. 179. — αὐτόν, tantum abest ut cum aliis Interpp. abundare dicamus, ut orationis vim egregie nobis excitare videatur. vertas: und nicht aus irgend einer Niederträchtigkeit meinte Aristomenes sei er grade geflohen, i. e. Aristocratem omnium minime. — ἀπεγύμνου, Hesych. φανερὸν ἐποίει. — ἐς τὴν Ε. ἀπῆσαν. ἐς cum verbo quiescendi iam nihil habet offensionis. de similibus brachylogice dictis monitum est ad Athenaeum I. §. 6. al. — ἔστιν ἡμῖν ctt. Xenoph. Cyrop. 2, 1, 15. ἔξεστι δ' ὑμῖν λαβόντας ὅπλα εἰς κίνδυνον ἐμβαίνειν. et sic saepissime apud Nostrum, veluti II, 2. cf. B. §. 142, 4. not. 2. M. §. 536. comp. Zumpt. Gramm. Lat. §. 601. — ὅσον τριακ. *ad trecentos.* comp. περί, ὡς, εἰς ad Athen. I. §. 4. — ἐπεῖχον, c. Genit. intell. ἑαυτούς, *excursione (se) abstinebant.*

3. τῇ ἐπιούσῃ. Lobeck ad Phryn. p. 464. — βιβλίον, latiore sensu de *quovis scripto* dici satis notum. comp. *liber*, Bremi ad Nepot. Lys. IV, 2.

ἐπιθεὶς τῶν οἰκετῶν ὃν ἠπίστατο ὄντα εὐνούστατον, παρὰ Ἀνάξανδρον ἀπέστελλεν ἐς Σπάρτην. ἐπανιόντα δὲ τὸν οἰκέτην λοχῶσιν ἄνδρες τῶν Ἀρκάδων διάφοροι καὶ πρότερον τῷ Ἀριστοκράτει, σχόντες δέ τι καὶ ὕποπτον τότε ἐς αὐτόν, λοχήσαντες δὲ τὸν οἰκέτην ἐπανάγουσιν ἐς τοὺς Ἀρκάδας καὶ ἐπεδείκνυον ἐς τὸν δῆμον τὰ ἀντεπεσταλμένα ἐκ Λακεδαίμονος. ἐπέστελλέν τε ὁ Ἀνάξανδρος, φυγήν τε αὐτῷ τὴν πρότερον ἀπὸ τῆς Μεγάλης Τάφρου φάμενος οὐκ ἀνόνητον ἐκ Λακεδαιμονίων γενέσθαι, προσέσεσθαι δέ οἱ χάριν
4 καὶ τῶν ἐν τῷ παρόντι μηνυμάτων. ὡς δὲ ἀπηγγέλθη ταῦτα ἐς ἅπαντας, αὐτοί τε τὸν Ἀριστοκράτην ἔβαλλον οἱ Ἀρκάδες καὶ τοῖς Μεσσηνίοις διεκελεύοντο· οἱ δὲ ἐς τὸν Ἀριστομένην ἀπέβλεπον· καὶ ὁ μὲν ἐς τὴν γῆν ἀφορῶν ἔκλαιε, τὸν δὲ Ἀριστοκράτην οἱ Ἀρκάδες καταλιθώσαντες τὸν μὲν τῶν ὅρων ἐκτὸς ἐκβάλλουσιν ἄταφον, στήλην δὲ ἀνέθεσαν ἐς τὸ τέμενος τοῦ Λυκαίου λέγουσαν·

Πάντως ὁ χρόνος εὗρε δίκην ἀδίκῳ βασιλῆϊ,
εὗρε δὲ Μεσσήνης σὺν Διΐ τὸν προδότην
ῥηϊδίως. χαλεπὸν δὲ λαθεῖν θεὸν ἄνδρ' ἐπίορκον.
χαῖρε Ζεῦ βασιλεῦ, καὶ σάου Ἀρκαδίαν.

1 X. Τῶν δὲ Μεσσηνίων ὁπόσοι περὶ τὴν Εἶραν ἢ καὶ ἑτέρωθί που τῆς Μεσσηνίας ἐγκατελείφθησαν, τούτους μὲν οἱ Λακεδαιμόνιοι προσένειμαν ἐς τὸ Εἱλωτικόν· Πύλιοι δὲ καὶ Μοθωναῖοι καὶ ὅσοι τὰ παραθαλάσσια ᾤκουν, ναυσὶν ὑπὸ τὴν ἅλωσιν τῆς Εἴρας ἀπαίρουσιν ἐς Κυλλήνην τὸ ἐπίνειον τὸ Ἠλείων. ἐκεῖθεν δὲ παρὰ τοὺς ἐν Ἀρκαδίᾳ Μεσσηνίους ἀπέστελλον, ἐθέλοντες κοινῷ στόλῳ χώραν ἔνθα οἰκήσουσιν ἀναζητεῖν, καὶ Ἀριστομένην ἐκέλευον ἡγεῖσθαί σφισιν ἐς ἀποικίαν. ὁ δὲ αὐτὸς μὲν ἕως ἂν περιῇ πολεμήσειν Λακεδαιμονίοις ἔφασκεν, ἐπίστασθαι δὲ ἀκριβῶς, ὡς ἀεί τι ἀναφύσεται τῇ Σπάρτῃ δι'

— ἐπιθεὶς τ. οἰκετῶν ὃν ctt. de quo genere Attractionis v. B. §. 151, 4. — ἐπέστελλεν. vid. ad Athen. I. §. 4. quocum comp. infra X, 1. ἀπέστελλον. — οὐκ ἀνόνητον. vid. supra c. IV. §. 2.

4. ἔβαλλον, *lapidibus petebant*, qua significatione τοῖς λίθος — Articulum enim addere solent — non raro reticetur. — διεκελεύοντο, supplere potest τὸ αὐτὸ ποιεῖν vel simile quid, quod vicarium est τοῦ βάλλειν. — ἀνέθεσαν ctt. Polybio teste (IV, 33.) οἱ Μεσσήνιοι παρὰ τὸν τοῦ Διὸς τοῦ Λυκαίου βωμὸν ἀνέθεσαν στήλην. — λέγουσαν. simili modo γράμματα λέγοντα τάδε, *epistolarum haec est sententia.* comp. Latinorum *loqui.* v. Interpp. ad Cic. de fin. b. et m. II, 9, 26. — λαθεῖν θεόν, *latere deum, non animadverti.* B. §. 131, 1. M. §. 412. — σάου. v. B. et M. verb. anom. s. v. σώζω, σαόω.

X. Messeniorum alii in numerum τῶν Εἰλώτων adscribuntur, alii Cyllenen Eliacam se recipiunt. Euergetidas frustra tentat amissam Iram recuperare, Aristomenes quotquot superstites sunt suorum in tuto collocat. bellum finitur.

1. ἐς τ. Εἰλωτικόν, *in numerum Helotarum.* non alienum videtur h. l. usum pronominum possess. commemorare, τὸ ὑμέτερον pro ὑμεῖς, τὸ ἐμὸν pro ἐγώ, ctt. vid. M. §. 466, 3. — Πύλιοι — Μοθωναῖοι. v. cap. V. §. 1. — ἐπίνειον. bene explicat Schol. Thuc. I, 30. πόλισμα παραθαλάσσιον, ἔνθα τὰ νεώρια τῶν πόλεων, ὥσπερ ὁ Πειραιεὺς τῶν Ἀθηναίων καὶ ἡ Νίσαια τῆς Μεγαρίδος. — στόλῳ, comp. supra c. VI. §. 1. πορεία et quod ibi monitum est. — πολεμήσειν, cum Dat. si quem mihi infestum bello peto. de altera structura σύν τινι, μετά τινος idem valet, quod de μάχεσθαι et συμμαχεῖν dictum est ad Aesop. fab. VIII. — ἀναφύσεται

αὐτοῦ κακόν· ἐκείνοις δὲ Γόργον καὶ Μάντικλον ἔδωκεν ἡγεμόνας.
ὁ δὲ Εὐεργετίδας ἐς μὲν τὸ Λύκαιον σὺν τοῖς ἄλλοις Μεσσηνίοις καὶ 2
αὐτὸς ἀπεχώρησεν· ἐκεῖθεν δέ, ὡς ἑώρα τὸ βούλευμα διαπεπτωκὸς
τῷ Ἀριστομένει τὸ ἐς τὴν κατάληψιν τῆς Σπάρτης, ἀναπείσας τῶν
Μεσσηνίων ὡς πεντήκοντα ἐπάνεισιν ἐπὶ τοὺς Λακεδαιμονίους ἐς τὴν
Εἶραν, καὶ ἐντυχὼν διαρπάζουσιν ἔτι τὰ ἐπινίκια πένθος σφίσιν
ἐποίησεν· καὶ τὸν μὲν ἐνταῦθα ἐπιλαμβάνει τὸ χρεών, Ἀριστομένης
δὲ ὡς τοὺς ἡγεμόνας τοῖς Μεσσηνίοις ἐπέταξεν ἐς Κυλλήνην, ὅστις
ἐθέλοι μετέχειν τῆς ἀποικίας. καὶ μετέσχον ἅπαντες, πλὴν εἰ γῆράς
τινα ἀπεῖργεν ἢ μηδὲ εὐπορῶν ἔτυχεν ἐς τὴν ἀποδημίαν· οὗτοι δὲ
αὐτοῦ κατέμειναν παρὰ τοῖς Ἀρκάσιν. Ἑάλω δὲ ἡ Εἶρα καὶ ὁ πόλε- 3
μος ὁ δεύτερος Λακεδαιμονίων καὶ Μεσσηνίων τέλος ἔσχεν Ἀθηναίοις
ἄρχοντος Αὐτοσθένους, ἔτει πρώτῳ τῆς ὀγδόης τε καὶ εἰκοστῆς ὀλυμ-
πιάδος.

---

ctt. es werde durch ihn noch immer ein Unheil *erwachsen* können fur Sparta. at vero fefellit Aristomenem spes illa. mox enim bello finito legimus apud Pausaniam ἀποθανεῖν αὐτὸν νοσήσαντα. οὐ γὰρ ἔδει συμφορὰν οὐδεμίαν Λακεδαιμονίοις ἔτι ἐξ Ἀριστομένους γενέσθαι.

2. Εὐεργετίδας. c. VIII. §. 1. — διαπεπτωκός. sic Aeschines orator: τὸ συκοφάντημα διέπιπτεν αὐτῷ. Polybius: διέπεσεν αὐτῷ ἡ ἐπιβολή. comp. Lat. *dilabi*. — ἐς τ. κατάληψιν, consilium *ad occupationem* pronum. comp. Hom. Il. 2, 379. εἰ δέ ποτ' ἔς γε μίαν (intell. βουλήν) βουλεύσομεν. — ὡς πεντήκοντα. v. supra ad c. IX, 2 extr. — ὡς τοὺς ἡγεμ. i. q. πρὸς τοὺς ἡγ., de cuius particulae usu v. ad. Aelian. XX. — εὐπορῶν, quod plenius dicunt scriptores τροφῆς — σίτων εὐπορεῖν.

3. ἔτει πρώτῳ ctt. „belli finis in Ol. XXVIII, 1, initium in Ol. XXIII, 4 (684 — 667 a. C. n.) incidit, ergo decem fere septem annos huic bello Pausanias dedit." Siebelis.

ΠΛΟΥΤΑΡΧΟΥ ΧΑΙΡΩΝΕΩΣ.

I.

1. *Τῶν Σπαρτιατῶν παῖδας οὐκ ἐπ' ὠνητοῖς οὐδὲ μισθίοις ἐποιήσατο παιδαγωγοῖς ὁ Λυκοῦργος, οὐδ' ἐξῆν ἑκάστῳ τρέφειν οὐδὲ παιδεύειν ὡς ἐβούλετο τὸν υἱόν, ἀλλὰ πάντας εὐθὺς ἑπταετεῖς γενομένους παραλαμβάνων αὐτὸς εἰς ἀγέλας κατελόχιζε; καὶ συννόμους ποιῶν καὶ συντρόφους μετ' ἀλλήλων εἴθιζε συμπαίζειν καὶ συσχολάζειν. ἄρχοντα δ' αὐτοῖς παρίστατο τῆς ἀγέλης τὸν τῷ φρονεῖν διαφέροντα καὶ θυμοειδέστατον ἐν τῷ μάχεσθαι· καὶ πρὸς τοῦτον ἀφεώρων καὶ*

Plvtarchvs Chaeroneus. floruit inde a Neronis temporibus usque ad Hadrianum (50—120 p. C.) et consulatu defunctus procurationem Graeciae susceptam habuit. imbutus philosophiae doctrina solidiore, maxime Platonis Aristotelisque admiratione, Stoicorum rigore pariter se abstinuit atque Epicureorum luxuriis, ut Hadrianus princeps, cuius praeceptor fuit, de eo sibi exemplum sumsisse luculentissimum videri possit. sedulo enim excerpsit Noster quae vel sibi vel aliis praeciperet, et earum quas animo conceperat doctrinarum ubique exstitit etiam in scriptis praeco atque enarrator disertus. iam vero quas dicit *vitas parallelas* (*Παράλληλα ἢ βίων παραλλήλων βιβλία μδ'.*) si *moralibus* ut diurna nocturnaque cura lectitentur digniores praedico et usui nostro magis adpositas, nihil quod a vero abhorreat edixisse utique existimo. etenim sunt illae quasi imagines clarorum virorum puro pectore conceptae, lucidis coloribus distinctae, ad sapientiam iustitiamque et verbis te instituentes et exemplis, ut ipse Plutarchus confiteri nihil dubitet, candidissimas se antiquorum temporum animas nutrices habuisse et in illustribus viris contemplandis ut in speculo naturam dispexisse divinam. in his igitur Parallelis proferendis id nos consilium duxit, ut ratione habita rerum notabiliorum maxime eligeremus ex iis vitis, quarum alia quam selecta quaedam capita commodare scholis religio erit peritis. — Edd. Io. Iac. Reiske. Lips. 1774—79. XII Voll. 8. G. H. Schaefer. Lips. 1826. V Voll. 8.

I. Vit. Lycurg. c. 16—25. De severa disciplina, Spartanorum liberis domi militiaeque a Lycurgo adhibita.

1. (cap. 16 med.) *οὐκ ἐπ' ὠνητοῖς — ἐποιήσατο*, *pueros neque emticiorum arbitrio permisit*, *neque* ctt. quo sensu etiam activa huius verbi forma cum *ἐπὶ* Praepositione et dandi casu iuncta satis frequens. comp. *εἶναι*, *γίγνεσθαι*, *ὑπάρχειν ἐπί τινι*. Viger. p. 617. Bernhardy w. Synt. p. 250. — *εἰς ἀγέλας*. *ἀγέλη* proprie de quavis congregatione pecorum vel hominum. *ὅίων τε καὶ βοῶν καὶ αἰγῶν ἀγέλη*. Xenoph. Mem. 3, 11, 5. sic *παρθένων*, *μειρακιδίων ἀγέλη*. hoc vero loco i. q. *ἴλαι*, *classes* (Cic. Tuscul. 5, 27. greges adolescentium Laced.), *in quas Spartae distributi erant pueri*. — *συσχολάζειν*, i. q. alias apud Atticos *συμφοιτᾶν*, *συμμανθάνειν*, de iis qui discendi causa cum aliis discipulis aliquo veniunt vel commoran-

προστάττοντος ἠκροῶντο καὶ κολάζοντος ἐκαρτέρουν, ὥστε τὴν παιδείαν εἶναι μελέτην εὐπειθείας. ἐπεσκόπουν δὲ οἱ πρεσβύτεροι παίζοντας αὐτοὺς καὶ τὰ πολλὰ μάχας τινὰς ἐμβάλλοντες ἀεὶ καὶ φιλονεικίας οὐ παρέργως κατεμάνθανον, ὁποῖός ἐστι τὴν φύσιν ἕκαστος αὐτῶν πρὸς τὸ τολμᾶν καὶ μὴ φυγομαχεῖν ἐν ταῖς ἁμίλλαις. γράμματα μὲν οὖν ἕνεκα τῆς χρείας ἐμάνθανον· ἡ δ' ἄλλη πᾶσα παιδεία πρὸς τὸ ἄρχεσθαι καλῶς ἐγίνετο καὶ κάρτερεῖν πονοῦντα καὶ νικᾶν μαχόμενον. δι' ὃ καὶ τῆς ἡλικίας προερχομένης ἐπέτεινον αὐτῶν τὴν ἄσκησιν ἐν χρῷ τε κείροντες καὶ βαδίζειν ἀνυποδήτους παίζειν τε γυμνοὺς ὡς τὰ πολλὰ συνεθίζοντες. γενόμενοι δὲ δωδεκαετεῖς ἄνευ χιτῶνος ἤδη διετέλουν, ἓν ἱμάτιον εἰς τὸν ἐνιαυτὸν λαμβάνοντες, αὐχμηροὶ τὰ σώματα καὶ λουτρῶν καὶ ἀλειμμάτων ἄπειροι· πλὴν ὀλίγας ἡμέρας τινὰς τοῦ ἐνιαυτοῦ τῆς τοιαύτης φιλανθρωπίας μετεῖχον. ἐκάθευδον δὲ ὁμοῦ κατ' ἴλην καὶ ἀγέλην ἐπὶ στιβάδων, ἃς αὐτοὶ συνεφόρουν τοῦ παρὰ τὸν Εὐρώτᾶν πεφυκότος καλάμου τὰ ἄκρα ταῖς χερσὶν ἄνευ σιδήρου κατακλάσαντες. ἐν δὲ τῷ χειμῶνι τοὺς λεγομένους λυκοφάνους ὑπεβάλλοντο καὶ κατεμίγνυσαν ταῖς στιβάσι θερμαντικὸν ἔχειν τι τῆς ὕλης δοκούσης.

2. Ἤδη δὲ τοῖς τηλικούτοις ἐρασταὶ τῶν εὐδοκίμων νέων συνανεστρέφοντο καὶ προσεῖχον οἱ πρεσβύτεροι καὶ μᾶλλον, ἐπιφοιτῶντες εἰς τὰ γυμνάσια καὶ μαχομένοις καὶ σκώπτουσιν ἀλλήλους παρατυγχάνοντες οὐ παρέργως, ἀλλὰ τρόπον τινὰ πάντες οἰόμενοι πάντων καὶ πατέρες εἶναι καὶ παιδαγωγοὶ καὶ ἄρχοντες, ὥστε μήτε καιρὸν ἀπολείπεσθαι, μήτε χωρίον ἔρημον τοῦ νουθετοῦντος τὸν ἁμαρτάνοντα καὶ κολάζοντος. οὐ μὴν ἀλλὰ καὶ παιδονόμος ἐκ τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν ἐτάττετο, καὶ κατ' ἀγέλας αὐτοὶ προΐσταντο τῶν λεγομένων εἰρένων ἀεὶ τὸν σωφρονέστατον καὶ μαχιμώτατον. εἴρενας δὲ

---

tur. — ἠκροῶντο, sic Thuc. 3, 27. ἐπειδὴ ἔλαβον ὅπλα, οὐκ ἠκροῶντο ἔτι τῶν ἀρχόντων, ubi recte Schol. ὑπήκουον τοῖς ἄρχουσιν. — ἐκαρτέρουν, cum Genit. idem fere valet quod ἀνέχεσθαι c. Acc. vel Genit. *tolerare*, *patienter ferre*. — τὰ πολλὰ — *dsi*, Schaefer cum hac formula comparari iubet πολλὰ πάντα. cf. praeter alios locos Herod. 1, 203. τὰ πολλὰ πάντα (ἔθνεα) ἀπ' ὕλης ἀγρίης ζώοντα. sic etiam οἱ πολλοὶ πάντες, *plerique omnes* (plerique — ne dicam omnes). — γράμματα ctt. hinc παιδευτοὶ et ἄμουσοι vocantur Lacones. nam a musica etsi non prorsus alieni erant, tamen et ea inserviebat legibus moribusque civitatis, poesin vero (cf. tamen Wolf. Proleg. ad Hom. p. 139. Plat. Legg. III. p. 680. c.), facultatem dicendi (vid. c. 4.) aliasque artes in exsilio fuisse res nota. — καρτερεῖν, c. Part. vid. M. §. 550. b. — αὐτῶν τὴν ἄσκ. de Pronomine sic rite collocando dictum est ad Lucian. dial. mort. VI, 1. — ἐν χρῷ κείροντες, i. e. *strictim adtondentes*, *cute tenus*. qui mos quo spectet h. l. per se patet (v. Manso. Sparta I, 2. 197 s.), seriore quidem tempore philosophorum quorundam est et aliorum avaritiae sordibus inquinatorum, tonsoris opera quam rarissime indigere capientium. — ὡς τὰ πολλά. sic ὡς ἐπὶ τὸ πολύ, *fere*, *ut plurimum*, ubi ὡς eandem, qua numeralibus adiungitur, temperandi et mitigandi vim accipit. — διετέλουν, Participium verbi substantivi etsi rarius omissum testimonio optimorum scriptorum comprobatur. v. Lobeck ad Phryn. p. 277. — συνεφόρουν. v. ad Aesop. fab. IV. — λυκοφάνους, teste Hesychio i. q. Messeniis dicitur ἐχινόπους, *cardui* genus echipi pedibus simile.

2. (c. 17.) καὶ μᾶλλον, *vel maiorem in modum*, quod nihil fere aliud est quam μᾶλλον δὲ s. μᾶλλον δὲ καὶ προσεῖχον ctt., formulae in correctionibus frequentes. — ὥστε μήτε καιρὸν ctt. *ut neque tempus*, *neque locus correctore atque castigatore peccantis alicuius vacuus iisdem egeret*. — εἰρένων. εἴρην i. q. supra ἄρχων (comp. Herod. 9, 85.), praefectus ado-

καλοῦσι τοὺς ἔτος ἤδη δεύτερον ἐκ παίδων γεγονότας, μελλείρενας δὲ τῶν παίδων τοὺς πρεσβυτάτους. οὗτος οὖν ὁ εἴρην εἴκοσιν ἔτη γεγονὼς ἄρχει τε τῶν ὑποτεταγμένων ἐν ταῖς μάχαις καὶ κατ' οἶκον ὑπηρέταις χρῆται πρὸς τὸ δεῖπνον. ἐπιτάσσει δὲ τοῖς μὲν ἁδροῖς ξύλα φέρειν, τοῖς δὲ μικροτέροις λάχανα. καὶ φέρουσι κλέπτοντες, οἱ μὲν ἐπὶ τοὺς κήπους βαδίζοντες, οἱ δὲ εἰς τὰ τῶν ἀνδρῶν συσσίτια παρεισρέοντες εὖ μάλα πανούργως καὶ πεφυλαγμένως· ἂν δ' ἁλῷ, πολλὰς λαμβάνει πληγὰς τῇ μάστιγι ῥαθύμως δοκῶν κλέπτειν καὶ ἀτέχνως. κλέπτουσι δὲ καὶ τῶν σιτίων ὅ τι ἂν δύνωνται μανθάνοντες εὐφυῶς ἐπιτίθεσθαι τοῖς καθεύδουσιν ἢ ῥαθύμως φυλάσσουσι. τῷ δὲ ἁλόντι ζημία πληγαὶ καὶ τὸ πεινῆν. γλίσχρον γὰρ αὐτοῖς ἐστι δεῖπνον, ὅπως δι' αὐτῶν ἀμυνόμενοι τὴν ἔνδειαν ἀναγκάζωνται τολμᾶν καὶ πανουργεῖν. καὶ τοῦτο μὲν ἔργον τῆς ὀλιγοσιτίας· πάρεργον δέ φασι τὴν τῶν σωμάτων αὔξησιν. φέρεται γὰρ εἰς μῆκος, ὅταν τὸ πνεῦμα μὴ πολλὴν σχῇ διατριβὴν καὶ ἀσχολίαν ὑπὸ πλήθους τροφῆς εἰς βάθος καὶ πλάτος πιεζόμενον, ἀλλ' ἄνω βαδίζῃ διὰ κουφότητα τοῦ σώματος ἐκλύτως καὶ ῥαδίως ἐπιδιδόντος. τὸ δ' αὐτὸ καὶ καλοὺς δοκεῖ ποιεῖν· αἱ γὰρ ἰσχναὶ καὶ διάκενοι μᾶλλον ἕξεις ὑπακούουσι πρὸς τὴν διάρθρωσιν· αἱ δ' ὀγκώδεις καὶ πολύτροφοι διὰ βάρος ἀντιβαίνουσιν....

3. Οὕτω δὲ κλέπτουσι πεφροντισμένως οἱ παῖδες, ὥστε λέγεταί τις ἤδη σκύμνον ἀλώπεκος κεκλοφὼς καὶ τῷ τριβωνίῳ περιστέλλων, σπαρασσόμενος ὑπὸ τοῦ θηρίου τὴν γαστέρα τοῖς ὄνυξι καὶ τοῖς ὀδοῦσιν, ὑπὲρ τοῦ λαθεῖν ἐγκαρτερῶν ἀποθανεῖν. καὶ τοῦτο μὲν οὐδ' ἀπὸ τῶν νῦν ἐφήβων ἄπιστόν ἐστιν, ὧν πολλοὺς ἐπὶ τοῦ βωμοῦ τῆς Ὀρθίας ἑωράκαμεν ἐναποθνήσκοντας ταῖς πλη-

---

lescentium in singulas classes distributorum, ita tamen ut ratio semper habenda esset absentis magistri pueritiae (παιδονόμος). cf. Xenoph. de rep. Laced. II, 10. — κλέπτοντες. pertinuit flagitiosa ista ratio ad instituta bellica Lacedaemoniorum, neque solum condonabatur furandi crimen, sed necessarium etiam iniungebatur pueris famem expleturis. de quo more adde Xenoph. Anab. IV, 6, 14. de rep. Laced. II, 6 sq. — συσσίτια, quae alias vocantur φειδίτια, caenae parsimonia atque frugalitate conditae, quarum viros tantum atque cives socios participesque fieri legitimum erat. hinc adolescentes mox παρεισρέοντες, *furtim irrepentes in caenationem.* — ἂν δ' ἁλῷ. ἂν h. l. dicas an ἢν nihil differt. utraque particula et unde exortae sunt ἐὰν non dicuntur Hermanno docente ad Vig. p. 834, nisi de re futura, quae possit, non debeat necessario fieri. verte igitur *si quis sit deprehensus.* — εὐφυῶς. εὐφυής, ὁ εἰς πάντα δεξιός. Thom. Mag., hinc Etym. Gudian. ὁ πανοῦργος καὶ σκάπτης. — γλίσχρον ctt. nota sunt ζωμεύματα Spartanorum s. μέλας ζωμός, egregia potandi abstinentia et id genus alia. — φέρεται γ. εἰς μῆκος, repete τὰ σώματα. sententia totius loci videtur haec esse: *corpora in longum producuntur, quum spiritus levitate corporis expedite facileque crescentis ductus sursum fertur, neque vero ciborum copia in profundum latumque suppressus multum commoratur et occupatur.*

3. (c. 18.) ἐγκαρτερῶν, ut coniungatur cum σπαρασσόμενος, Schaef. comma tolli iubet post ὀδοῦσιν. — ἀπὸ τῶν ν. ἐφ. ἄπιστον, tacite supplendum γίγνεσθαι, quum Praepositio id indicet, unde aliquid proficiscatur vel peti possit. — τῆς Ὀρθίας. fuit hoc signum *Dianae Orthiae*, quod olim e Taurica Orestes et Iphigenia sustulerant, in Limnaeo i. e. suburbio Spartae. Cic. Tuscul. II, 14, 34. eandem illam διαμαστίγωσιν tetigit: *Spartae pueri ad aram sic verberibus accipiuntur, ut multus e visceribus sanguis exeat, nonnunquam etiam, ut quum ibi essem audiebam, ad ne-*

γαῖς. δειπνήσας δὲ ὁ εἴρην κατακείμενος τῷ μὲν ᾆσαι προσέταξε τῶν παίδων, τῷ δὲ ἐρώτημά τι προὔβαλε πεφροντισμένης δεόμενον ἀποκρίσεως· οἷον Ὅστις ἄριστος ἐν τοῖς ἀνδράσιν, ἢ Ποία τις ἡ τοῦδε πρᾶξις. ἐκ τούτου δὲ καὶ κρίνειν τὰ καλὰ καὶ πολυπραγμονεῖν εὐθὺς ἐξ ἀρχῆς εἰθίζοντο περὶ τῶν πολιτῶν. τὸ γὰρ ἐρωτηθέντα, Τίς πολίτης ἀγαθὸς ἢ Τίς οὐκ εὐδόκιμος, ἀπορεῖν τοῦ ἀποκρίνασθαι νωθρᾶς ἐποιοῦντο καὶ πρὸς ἀρετὴν ἀφιλοτίμου ψυχῆς σημεῖον. ἔδει δὲ τὴν ἀπόκρισιν καὶ μετ' αἰτίας εἶναι καὶ ἀποδείξεως εἰς βραχύν τινα συνηγμένης λόγον καὶ σύντομον· ὁ δὲ πλημμελῶς ἀποκρινάμενος ἐκολάζετο, δῆγμα λαμβάνων ὑπὸ τοῦ εἴρενος εἰς τὸν ἀντίχειρα. πολλάκις δὲ καὶ πρεσβυτέρων παρόντων καὶ ἀρχόντων ὁ εἴρην ἐκόλαζε τοὺς παῖδας ἀπόδειξιν διδούς, εἰ μετὰ λόγου καὶ ὡς δεῖ κολάζει. καὶ κολάζων μὲν οὐκ ἐκωλύετο· τῶν δὲ παίδων ἀπελθόντων εὐθύνας ὑπεῖχεν, εἰ τραχύτερον τοῦ δέοντος ἐπετίμησεν, ἢ τοὐναντίον ἐκλελυμένως καὶ ἀτόνως. ἐκοινώνουν δ' οἱ ἐρασταὶ τοῖς παισὶ τῆς δόξης ἐπ' ἀμφότερα· καὶ λέγεταί ποτε παιδὸς ἐν τῷ μάχεσθαι φωνὴν ἀγεννῆ προεμένου ζημιωθῆναι τὸν ἐραστὴν ὑπὸ τῶν ἀρχόντων.....

4. Ἐδίδασκον δὲ τοὺς παῖδας καὶ λόγῳ χρῆσθαι πικρίαν ἔχοντι μεμιγμένην χάριτι καὶ πολλὴν ἀπὸ βραχείας λέξεως ἀναθεώρησιν. τὸ μὲν γὰρ σιδηροῦν νόμισμα μικρὰν ἔχειν ἐποίησεν ἀπὸ πολλοῦ σταθμοῦ δύναμιν ὁ Λυκοῦργος, ὡς εἴρηται· τὸ δὲ τοῦ λόγου νόμισμα τοὐναντίον ἀπ' εὐτελοῦς καὶ ὀλίγης λέξεως εἰς πολλὴν καὶ περιττὴν κατεσκεύασε διάνοιαν τῇ πολλῇ σιωπῇ τοὺς παῖδας ἀποφθεγματικοὺς καὶ πεπαιδευμένους πρὸς τὰς ἀποκρίσεις μηχανώμενος..... Ἄγις μὲν οὖν ὁ βασιλεὺς σκώπτοντος Ἀττικοῦ τινος

---

cem. comp. ibidem II, 20, 46. V, 27, 77. — *δειπνήσας ... κατακείμενος.* Participia verborum diversae inter se significationis sine coniunctionis vinculo ponuntur ita ut alterum atque prius quidem, quod separatim enuntiata sententia verbum finitum esse deberet (Herm. ad Soph. Oed. C. 172.), nomini suo sit proximum atque principale, alterum vero vel novi aliquid vel latiorem nominis definitionem adiungat. exempla praebet Krüg. Xen. Anab. I, 1, 7. — *οἷον, veluti, ut exemplo utar.* — *πολυπραγμονεῖν ... περὶ πολιτῶν, diligenter inquirere de civibus s. de rebus civium.* comp. supra Aelian. XXX. — *εὐθὺς ἐξ ἀρχ.*, ut alias *εὐθὺς ἐκ παιδίου*, formulae apud Plutarchum frequentissimae. v. infra c. 5 init. — *τὸ γὰρ ἐρωτηθέντα* ctt. de vi Articuli Infinitivo adpositi v. ad Aelian. IV. — *ἐποιοῦντο*, cum duplici Accusativo significationem *putandi* vel *existimandi* adsciscit et certis quibusdam formulis adstrictum per periphrasin dici censent pro simplici verbo: *σημεῖον, θαῦμα, λείαν ποιεῖσθαί τι* pro *σημαίνειν, θαυμάζειν, ληλατεῖν τι.* cf. M. §. 421. not. 4. — *αἰτίας ... ἀποδείξεως.* utrumque ex scholis philosophorum depromptum. *ἀπόδειξις*, ut Cicero Acad. II, 8, 26 interpretatur, *argumenti conclusio* s. *ratio quae ex rebus perceptis ad id, quod non percipiebatur, adducit; αἰτία ratio*, vernünftige Ueberlegung. — *εὐθύνας ὑπεῖχ. poenam sustinuit.* — *ἐπ' ἀμφότερα*, i. e. amatores omnia cum pueris communia habebant, sive quid laudi sive vituperationi erat erudiendis.

4. (c. 19.) *ἀπὸ βρ. λέξεως.* cf. ad c. 3 init. *ἀναθεώρησιν*, proprie *consideratio, quae examinandi causa denuo aliquid spectat*, hinc nostro loco *promptum atque argutum ingenii acumen.* — *ἐποίησεν*, cum Infinitivo quid sit v. apud Herm. ad Viger. p. 761. — *νόμισμα*, ut nostrates tropice das Gepräge, den Stempel der Rede. — *τῇ π. σιωπῇ*, Articulus indicat rem cognitam, quae fuit in ore hominum, quamquam ex supra dictis iam colligis taciturnitatem quandam fuisse puerorum. — *σκώπτοντος ... εἰς τὴν*

τὰς Λακωνικὰς μαχαίρας εἰς τὴν μικρότητα καὶ λέγοντες, ὅτι ῥᾳδίως αὐτὰς οἱ θαυματοποιοὶ καταπίνουσιν ἐν τοῖς θεάτροις. Καὶ μὴν μάλιστα, εἶπεν, ἡμεῖς ἐφικνούμεθα τοῖς ἐγχειριδίοις τῶν πολεμίων. ἐγὼ δὲ καὶ τὸν λόγον ὁρῶ τὸν Λακωνικὸν βραχὺν μὲν εἶναι δοκοῦντα, μάλιστα δὲ τῶν πραγμάτων ἐφικνούμενον καὶ τῆς διανοίας ἁπτόμενον τῶν ἀκροωμένων. καὶ γὰρ ὁ Λυκοῦργος αὐτὸς βραχυλόγος τις ἔοικε γενέσθαι καὶ ἀποφθεγματικός, εἰ δεῖ τεκμαίρεσθαι τοῖς ἀπομνημονεύμασιν· οἷόν ἐστι τὸ περὶ τῆς πολιτείας πρὸς τὸν ἀξιοῦντα ποιεῖν δημοκρατίαν ἐν τῇ πόλει· Σὺ γάρ, ἔφη, πρῶτος ἐν τῇ οἰκίᾳ σου ποίησον δημοκρατίαν. καὶ τὸ περὶ τῶν θυσιῶν πρὸς τὸν πυθόμενον, διὰ τί μικρὰς οὕτω καὶ εὐτελεῖς ἔταξεν· Ἵνα μή ποτε, ἔφη, τιμῶντες τὸ θεῖον διαλίπωμεν. καὶ τὸ περὶ τῶν ἀθλημάτων, ταῦτα μόνα μὴ κωλύσαντος ἀγωνίζεσθαι τοὺς πολίτας, ἐν οἷς χεὶρ οὐκ ἀνατείνεται. φέρονται δ' αὐτοῦ καὶ δι' ἐπιστολῶν ἀποκρίσεις τοιαῦται πρὸς τοὺς πολίτας· Πῶς ἂν πολεμίων ἔφοδον ἀλεξοίμεθα; Ἂν πτωχοὶ μένητε καὶ μὴ μέσδω ἕτερος θατέρῳ κρατέητε. καὶ πάλιν περὶ τῶν τειχῶν· Οὐκ ἂν εἴη ἀτείχιστος πόλις, ἅτις ἀνδράσι καὶ οὐ πλίνθοις ἐστεφάνωται. περὶ μὲν οὖν τούτων καὶ τῶν τοιούτων ἐπιστολῶν οὔτε ἀπιστῆσαι ῥᾴδιον οὔτε πιστεῦσαι.....

5. Ἐν δὲ ταῖς μάχαις καὶ τοῖς νέοις τὰ σκληρότατα τῆς ἀγωγῆς ἐπανιέντες οὐκ ἐκώλυον καλλωπίζεσθαι περὶ κόμην καὶ κόσμον ὅπλων καὶ ἱματίων, χαίροντες ὥσπερ ἵπποις γαυριῶσι καὶ ῥρυαττομένοις πρὸς τοὺς ἀγῶνας. διὸ κομῶντες εὐθὺς ἐκ τῆς τῶν ἐφήβων ἡλικίας μάλιστα περὶ τοὺς κινδύνους ἐθεράπευον τὴν κόμην λιπαράν τε φαίνεσθαι καὶ διακεκριμένην· ἀπομνημονεύοντές τινα καὶ Λυκούργου λόγον περὶ τῆς κόμης ὅτι Τοὺς μὲν καλοὺς εὐπρεπεστέρους ποιεῖ, τοὺς δ' αἰσχροὺς φοβερωτέρους. ἐχρῶντο δὲ καὶ γυμνασίοις μαλακωτέροις παρὰ τὰς στρατείας, καὶ τὴν ἄλλην δίαιταν οὐχ οὕτω κεκολασμένην οὐδ' ὑπεύθυνον τοῖς νέοις παρεῖχον,

---

μικρότητα. cf. ad Lucian. dial. mort. IV, 7. — καταπίνουσιν. sic Lucianus: λίθον ἔδωκέ σοι καταπιεῖν, et de rebus comedendis μάζας ὅλας καταπίνειν; quo usu in deliciis est Aristophani comico. Nubb. v. 337. add. Lex. Passov. s. v. — τεκμαίρεσθαι, cum Dat. coniecturam capere ex aliqua re. cf. M. §. 396, 2. — τὸ θεῖον, comp. τὸ κρεῖττον supra Aelian. XXXII, 8. — κωλύσαντος, Genit. absol. omisso Subiecto, quod hoc quidem loco sponte tibi succurrit. similia praebet M. §. 563. ἀγωνίζεσθαι, cum Accus. Obiecti, ταῦτα μόνα (ea sola certamina obire), uti solemnius istud, quod te legere memineris, στάδιον ἀγωνίζεσθαι. — ἐν οἷς χεὶρ οὐκ ἀνατ. in quibus cives manus non dant vel tollunt, i. e. a nemine se superatos fatentur. quippe gloriabantur Spartiatae occidi se posse, non vinci. huc pertinent quae legimus apud Senecam benef. V, 3. Lacedaemonii vetant suos pancratio aut cestu decernere, ubi inferiorem ostendit victi confessio. unde manifestum fit, has exercitationes aeque fuisse caucellis circumscriptas atque artes litterasque. v. ad cap. 1. — ἂν π. μένητε. vid. ad c. 2. — μέσδω, pro μείζω, μείζονα, forma ex rarioribus; de altero illo Dorismo, θατέρῳ v. B. §. 36. not. 4. b. ad rem comp. Iustin. III, 3, 3. fundos omnium aequaliter inter omnes divisit (Lycurgus), ut aequata patrimonia neminem potentiorem altero redderent.

5. (c. 22.) ἀγωγῆς. Suidas s. v. ἀγωγὴ λέγεται καὶ ἡ διὰ τῶν ἠθῶν τοῦ τρόπου κατακόσμησις, ὡς λέγεται παίδων ἀγωγή. — ὥσπερ, i. q. saepius legimus οἷον, velut. — ἐθεράπευον, cum Infin. quam structuram frequentius apud scriptores commutatam deprehendes cum altera illa: ὅπως

ὥστε μόνοις ἀνθρώπων ἐκείνοις τῆς εἰς τὸν πόλεμον ἀσκήσεως ἀνάπαυδιν εἶναι τὸν πόλεμον. ἤδη δὲ συντεταγμένης ἅμα τῆς φάλαγγος αὐτῶν καὶ τῶν πολεμίων παρόντων ὁ βασιλεὺς ἅμα τήν τε χίμαιραν ἐσφαγιάζετο καὶ στεφανοῦσθαι παρήγγελλε πᾶσι καὶ τοὺς αὐλητὰς αὐλεῖν ἐκέλευε τὸ Καστόρειον μέλος· ἅμα δ' ἐξῆρχεν ἐμβατηρίου παιᾶνος, ὥστε σεμνὴν ἅμα καὶ καταπληκτικὴν τὴν ὄψιν εἶναι, ῥυθμῷ τε πρὸς τὸν αὐλὸν ἐμβαινόντων καὶ μήτε διάσπασμα ποιούντων ἐν τῇ φάλαγγι, μήτε ταῖς ψυχαῖς θορυβουμένων, ἀλλὰ πράως καὶ ἱλαρῶς ὑπὸ τοῦ μέλους ἀγομένων ἐπὶ τὸν κίνδυνον. οὔτε γὰρ φόβον οὔτε θυμὸν ἐγγίνεσθαι πλεονάζοντα τοῖς οὕτω διακειμένοις εἰκός ἐστιν, ἀλλ' εὐσταθὲς φρόνημα μετ' ἐλπίδος καὶ θάρσους ὡς τοῦ θεοῦ συμπαρόντος. ἐχώρει δὲ ὁ βασιλεὺς ἐπὶ τοὺς πολεμίους ἔχων μεθ' ἑαυτοῦ στεφανίτην ἀγῶνα νενικηκότα. καί φασί γέ τινα χρημάτων πολλῶν ἐν Ὀλυμπίοις διδομένων αὐτῷ μὴ δεξάμενον, ἀλλὰ πολλῷ πόνῳ καταπαλαίσαντα τὸν ἀνταγωνιστήν, ὥς τις εἶπεν αὐτῷ· Τί σοι πλέον, ὦ Λάκων, γέγονεν ἀπὸ τῆς νίκης; φάναι μειδιάσαντα· Πρὸ τοῦ βασιλέως τεταγμένος μαχοῦμαι τοῖς πολεμίοις. τρεψάμενοι δὲ καὶ νικήσαντες ἐδίωκον ὅσον ἐκβεβαιώσασθαι τὸ νίκημα τῇ φυγῇ τῶν πολεμίων, εἶτ' εὐθὺς ἀνεχώρουν οὔτε γενναῖον οὔτε Ἑλληνικὸν ἡγούμενοι κόπτειν καὶ φονεύειν ἀπολελυμένους καὶ παρακεχωρηκότας. ἦν δ' οὐ μόνον καλὸν τοῦτο καὶ μεγαλόψυχον, ἀλλὰ καὶ χρήσιμον. εἰδότες γὰρ οἱ μαχόμενοι πρὸς αὐτούς, ὅτι τοὺς ὑφισταμένους ἀναιροῦσι, φείδονται δὲ τῶν ἐνδιδόντων, τοῦ μένειν τὸ φεύγειν ἡγοῦντο λυσιτελέστερον.

6. Αὐτὸν δὲ τὸν Λυκοῦργον Ἱππίας μὲν ὁ σοφιστὴς πολεμικώτατόν φησι γενέσθαι καὶ πολλῶν ἔμπειρον στρατηγιῶν. Φιλοστέφανος δὲ καὶ τὴν κατ' οὐλαμοὺς τῶν ἱππέων διανομὴν Λυκούργῳ προστίθησιν· εἶναι δὲ τὸν οὐλαμόν, ὡς ἐκεῖνος συνέστησεν,

---

λιπαρὰ φαίνηται, vel ὥστε φαίνεσθαι. — ἅμα, notandum quater repetitum in eadem periodo. Hom. Od. XI, 372. ἅμ' αὐτῷ Ἴλιον εἰς ἅμ' ἕποντο. — Καστόρειον μέλος. carmen fuit sive νόμος a Castore equite et auriga celeberrimo dictus, qui rhythmo anapaestico ad animos inflammandos aptissimo compositus (vid. ad Pausan. II. §. 3.) a Spartiatarum mora ad tibiam cantabatur. cf. Cic. Tuscul. II, 16, 37. ibique Interpp. — πρὸς τ. αὐλόν. Lacedaemonios in aciem procedentes *tibiis* usos esse non tubis multi testantur. Λακεδαιμόνιοι βραδέως ἐχώρουν καὶ ὑπὸ αὐλητῶν πολλῶν νόμῳ ἐγκαθεστώτων. Thuc. V, 70. — μήτε διάσπασμα π. tibiarum concentu pugnabant teste Thucydide l. c., ἵνα ὁμαλῶς μετὰ ῥυθμοῦ βαίνοντες προέλθοιεν καὶ μὴ διασπασθείη αὐτοῖς ἡ τάξις. — στεφανίτην ἀγ. Thomas Mag. interpretatur: ἀγών, ἐν ᾧ ἐδίδοντο οἱ στέφανοι, οἷον πάλη, δρόμος καὶ τὰ τοιαῦτα. — τί σοι πλέον ctt. intellige: *quam argentum istud, quod delatum accipere noluisti.* — ὅσον, cum Infinitivo Herm. ad Viger. p. 726 positum censet pro τοσοῦτον ὥστε. cf. B. §. 150. p. 445. M. §. 479. not. 2. b. — νίκημα, vox genuino Atticismo ignota, Plutarcho, Diodoro, aliisque supparis aetatis familiarior. — Ἑλληνικόν, *Graecis dignum.* sic unaquaeque fere gens suos mores ceteris puriores et candidiores aestimat, unde *Romano more* i. q. candide, sincere; *Latine*, *Teutonice loqui* i. q. simpliciter, non figurate.

6. (c. 23.) Ἱππίας. Hippias Eleus 438 a. C. n. gloriabatur nihil esse ulla in arte rerum omnium, quod ipse nesciret. Cic. de orat. 3, 32. — στρατηγιῶν. στρατηγίαι h. l. *artes imperatoriae*, ut alias legimus στρατηγήματα, μηχανήματα. — Φιλοστέφανος. Philostephanus Cyrenaeus, historiarum scriptor, tempore Ptolemaei Philadelphi floruit.

ἱππέων πεντήκοντα τὸ πλῆθος ἐν τετραγώνῳ σχήματι νεταγμένων. ὁ δὲ Φαληρεὺς Δημήτριος, οὐδεμιᾶς ἀψάμενον πολεμικῆς πράξεως ἐν εἰρήνῃ καταστήσασθαι τὴν πολιτείαν....

7. Ἡ δὲ παιδεία μέχρι τῶν ἐνηλίκων διέτεινεν· οὐδεὶς γὰρ ἦν ἀφειμένος ὡς ἐβούλετο ζῆν, ἀλλ' οἷον ἐν στρατοπέδῳ τῇ πόλει καὶ δίαιταν ἔχοντες ὡρισμένην καὶ διατριβὴν περὶ τὰ κοινὰ καὶ ὅλως νομίζοντες οὐχ αὑτῶν, ἀλλὰ τῆς πατρίδος εἶναι, διετέλουν· εἰ μή τι πράττειν ἕτερον εἴη προστεταγμένον, ἐπισκοποῦντες τοὺς παῖδας καὶ διδάσκοντές τι τῶν χρησίμων, ἢ μανθάνοντες αὐτοὶ παρὰ τῶν πρεσβυτέρων. καὶ γὰρ ἕν τι τοῦτο τῶν καλῶν ἦν καὶ μακαρίων, ἃ παρεσκεύακε τοῖς ἑαυτοῦ πολίταις ὁ Λυκοῦργος, ἀφθονία σχολῆς, οἷς τέχνης μὲν ἅψασθαι βαναύσου τὸ παράπαν οὐκ ἐφίετο· χρηματισμοῦ δὲ συναγωγὴν ἔχοντος ἐργώδη καὶ πραγματείαν οὐδ' ὁτιοῦν ἔδει διὰ τὸ κομιδῇ τὸν πλοῦτον ἄζηλον γεγονέναι καὶ ἄτιμον. οἱ δὲ Εἵλωτες αὐτοῖς εἰργάζοντο τὴν γῆν ἀποφορὰν τὴν εἰρημένην τελοῦντες. ἐπιδημῶν δέ τις Ἀθήνησι δικαστηρίων ὄντων καὶ πυθόμενός τινα δίκην ἀργίας ὠφληκότα βαδίζειν ἀθυμοῦντα καὶ προπεμπόμενον ὑπὸ τῶν φίλων συναχθομένων καὶ βαρέως φερόντων, ἐδεῖτο δεῖξαι τοὺς συμπαρόντας αὐτῷ, τίς ἐστιν ὁ τὴν ἐλευθερίας ἐαλωκὼς δίκην. οὕτω δουλοπρεπὲς ἡγοῦντο τὴν περὶ τὰς τέχνας καὶ τὸν χρηματισμὸν ἀσχολίαν. δίκαι δέ, ὡς εἰπός, ἐξέλιπον ἅμα τῷ νομίσματι μήτε πλεονεξίας μήτ' ἀπορίας αὐτοῖς παρούσης, ἰσότητος δ' ἐν εὐπορίᾳ καὶ ῥᾳστώνης δι' εὐτέλειαν γεγενημένης. χοροὶ δὲ καὶ θαλίαι καὶ εὐωχίαι καὶ διατριβαὶ περί τε θήρας καὶ γυμνάσια καὶ λέσχας τὸν ἅπαντα χρόνον ἐπεχωρίαζον, ὅτε μὴ στρατευόμενοι τύχοιεν.

---

7. (c. 24.) εἶναι, cum Genit. v. B. §. 132. not. 8. M. §. 316. — διετέλουν. v. B. §. 144. not. 8. M. §. 552. α. — εἰ μή τι ... εἴη πρ. nisi forte quid esset iniunctum, sequente Imperfecto de re, quae usu recepta est saepiusque fieri solet: ad ea enim, quae mox inter se colligantur, Participia repete διετέλουν. — ἕν τι ... τῶν καλῶν. τί sic Adiectivis et Pronominibus additum rem indicat ex universo aliquo genere esse, cui similia quaedam mente subiungas necesse erit. v. M. §. 487, 4. verte: *inter multa alia bona unum fuit.* — ἀφθονία σχολῆς, quid sit ex sequentibus adparet: vetuit Lycurgus ea adtingere, quae ad pecuniam quaerendam pertinebant; quae libertatem patriae parabant exercere. hinc τέχναι βάναυσοι interdictae, ὅσαι, Aristotele Polit. 8, 2 interprete, πρὸς τὰς χρήσεις καὶ τὰς πράξεις τὰς τῆς ἀρετῆς ἄχρηστον ἀπεργάζονται τὸ σῶμα τῶν ἐλευθέρων ἢ τὴν ψυχὴν ἢ τὴν διάνοιαν. — ἀποφοράν. vectigalia pendebant septuaginta medimnos hordei, largam copiam olei vinique. — δίκην ἀργίας ὠφλ. vox minus honesta, ἀργία, h. l. videtur sensu molliori convertenda. nihil enim aliud est quam quod supra σχολή. ceterum Draconem extrema supplicia (ὥστε καὶ τοὺς ἀργίας ἁλόντας ἀποθνήσκειν) de civibus sumsisse docet Plut. Solon. c. 17. de v. ὀφλισκάνειν vid. ad Lucian. IV, 4. — δίκαι ... ἅμα τῷ νομίσματι, *iudicia una defecerant cum nummis, id quod fieri solet.* constat Lacedaemonios patriam monetam recepisse ferream, et magnum fuisse eius numerum et admodum exigui pretii. Plut. Lysand. c. 17. quid, quod etiam ex corio confectam perhibent? Seneca de benef. V, 14. — λέσχας. Suidas s. v. τὸ δὲ παλαιὸν αἱ καθέδραι καὶ οἱ τόποι, ἐν οἷς εἰώθεσαν ἀθροιζόμενοι φιλοσοφεῖν, λέσχαι ἐκαλοῦντο. quorum aedificiorum quamvis plurima in omni Graecia atque unis Athenis trecenta sexaginta essent, duo tantum fuisse Spartae dicuntur. — ἐπεχωρίαζον, h. l. ut saepius ἐπιχωριάζει impers. s. ἐπιχωριάζεται, *waren landesüblich.* sic Polyb. ὁ τρόπος οὕτως ἐπιχωριάζει παρ' αὐτοῖς. Aelian. δάκρυα ἐπιχωριάζει αὐτοῖς. — ὅτε .. τύχοιεν. vid. B. §. 139, 12. not. 6. Herm. ad Viger. p. 909.

8. Οἱ μέν γε νεώτεροι τριάκοντα ἐτῶν τὸ παράπαν οὐ κατέβαινον εἰς ἀγοράν, ἀλλὰ διὰ τῶν συγγενῶν καὶ τῶν ἐραστῶν ἐποιοῦντο τὰς ἀναγκαίας οἰκονομίας. τοῖς δὲ πρεσβυτέροις αἰσχρὸν ἦν συνεχῶς ὁρᾶσθαι περὶ ταῦτα διατρίβουσιν, ἀλλὰ μὴ τὸ πλεῖστον τῆς ἡμέρας περὶ τὰ γυμνάσια καὶ τὰς καλουμένας λέσχας ἀναστρέφεσθαι. καὶ γὰρ εἰς ταύτας συνιόντες ἐπιεικῶς ἐσχόλαζον μετ' ἀλλήλων οὐδενὸς μεμνημένοι τῶν πρὸς χρηματισμὸν ἢ χρείαν ἀγοραῖον συντελούντων· ἀλλὰ τὸ πλεῖστον ἦν τῆς τοιαύτης διατριβῆς ἔργον ἐπαινεῖν τι τῶν καλῶν ἢ τῶν αἰσχρῶν ψέγειν μετὰ παιδιᾶς καὶ γέλωτος ἐλαφρῶς ὑποφέροντος εἰς νουθεσίαν καὶ διόρθωσιν.

II.

1. Οἱ ἐν ἄστει πάντες ἐστασίαζον ἀποδημοῦντος τοῦ Σόλωνος· καὶ προειστήκει τῶν μὲν Πεδιέων Λυκοῦργος, τῶν δὲ Παράλων Μεγακλῆς ὁ Ἀλκμαίωνος, Πεισίστρατος δὲ τῶν Διακρίων· ἐφ' οἷς ἦν ὁ θητικὸς ὄχλος καὶ μάλιστα τοῖς πλουσίοις ἀχθόμενος, ὥστε χρῆσθαι μὲν ἔτι τοῖς νόμοις τὴν πάλιν, ἤδη δὲ πράγματα νεώτερα προσδοκᾶν καὶ ποθεῖν ἅπαντας ἑτέραν κατάστασιν οὐκ ἴσον ἐλπίζοντας, ἀλλὰ πλέον ἕξειν ἐν τῇ μεταβολῇ καὶ κρατήσειν παντάπασι τῶν διαφερομένων. οὕτω δὲ τῶν πραγμάτων ἐχόντων ὁ Σόλων παραγενόμενος εἰς τὰς Ἀθήνας αἰδῶ μὲν εἶχε καὶ τιμὴν παρὰ πᾶσιν, ἐν δὲ κοινῷ λέγειν καὶ πράσσειν ὁμοίως οὐκ ἔτ' ἦν δυνατός, οὐδὲ πρόθυμος ὑπὸ γήρως, ἀλλ' ἐντυγχάνων ἰδίᾳ τοῖς προεστῶσι τῶν στάσεων ἀνδράσιν ἐπειρᾶτο διαλύειν καὶ συναρμόττειν, μάλιστα τοῦ Πεισιστράτου προσέχειν δοκοῦντος αὐτῷ. καὶ γὰρ αἱμύλον τι καὶ προσφιλὲς εἶχεν ἐν τῷ διαλέγεσθαι, καὶ βοηθητικὸς ἦν τοῖς πένησι καὶ πρὸς τὰς ἔχθρας ἐπιεικὴς καὶ μέτριος. ἃ δὲ φύσει μὴ προσῆν αὐτῷ, καὶ ταῦτα μιμούμενος ἐπιστεύετο μᾶλλον τῶν ἐχόντων, ὡς εὐλαβὴς καὶ κόσμιος ἀνὴρ καὶ μάλιστα δὴ τὸ ἴσον ἀγαπῶν καὶ δυσχεραίνων, εἴ τις τὰ παρόντα κινοῖ ἢ νεωτέρων ὀρέγοιτο· τούτοις γὰρ ἐξηπάτα τοὺς πολλούς. ὁ δὲ

---

8. (c. 25.) διατρίβουσιν, prorsus ut infra IV, 1 Accus. Part. κατάγουσαν, ubi v. not. sed Grammatici (B. §. 145, 5. M. §. 562, 2.) cur Dativum dicant *absolutum*, ipsi viderint. — οὐδενὸς μεμνημένοι ctt. *nihil reputantes eorum, quae ad quaestum faciendum vel ad negotia in foro suscipienda aliquid conferebant.* — ὑποφέροντος εἰς ν. h. l. de *ioco* et *risu* dictum idem videtur significare, quod λάθρα φέρειν τι εἰς s. πρός τι.

II. Plut. Solon. c. 29—32. De rebus Atheniensium Solonis aetate iam paene exacta. Solon et Pisistratus. comp. supra Aelian. XXII.

1. (c. 29.) Πεδιέων . . Παράλων . . Διακρίων. fuerunt tres ordines regionis Atticae. atque *Pediaei* (οἱ ἐκ τοῦ πεδίου. Herod.) quibus praefuit Lycurgus, filius Aristoclaidae, favebant dominationi paucorum, *Parali* adcolae maris spem capiebant de media quadam mistaque reipublicae administratione, *Diacrii* homines montani (οἱ ὑπεράκριοι Herod.) de imperio populari. — καὶ μάλιστα. cf. ad Pausan. VIII. §. 5. — χρῆσθαι ctt. requiseres in oratione recta ἐχρῆτο, προσεδόκων, ἐπόθουν, de qua vi Infinitivi temporis praes. v. M. §. 499. — παραγενόμενος εἰς τ. Ἀ. cf. ad Aesop. f. VII. — ἐν κοινῷ, *publice, in concione populi*, cui h. l. opponitur ἰδίᾳ. — αἱμύλον. Etym. M. ἐκ τοῦ αἷμων, ὃ σημαίνει εἰδήμονα καὶ ἔμπειρον. comp. Lex. Passov. — τῶν ἐχόντων, i. e. ἢ οἱ φύσει ἔχοντες ἅπερ ἐμιμεῖτο

Σόλων ταχὺ τὸ ἦθος ἐφώρασεν αὐτοῦ καὶ τὴν ἐπιβουλὴν πρῶτος ἐγκατεῖδεν· οὐ μὴν ἐμίσησεν, ἀλλ' ἐπειρᾶτο πρᾴνειν καὶ νουθετεῖν, καὶ πρὸς αὐτὸν ἔλεγε καὶ πρὸς ἑτέρους, ὡς εἴ τις ἐξέλοι τὸ φιλόπρωτον αὐτοῦ τῆς ψυχῆς καὶ τὴν ἐπιθυμίαν ἰάσαιτο τῆς τυραννίδος, οὐκ ἔστιν ἄλλος εὐφυέστερος πρὸς ἀρετὴν οὐδὲ βελτίων πολίτης. ἀρχομένων δὲ τῶν περὶ Θέσπιν ἤδη τὴν τραγῳδίαν κινεῖν καὶ διὰ τὴν καινότητα τοὺς πολλοὺς ἄγοντος τοῦ πράγματος, οὔπω δὲ εἰς ἅμιλλαν ἐναγώνιον ἐξηγμένου, φύσει φιλήκροος ὢν καὶ φιλομαθὴς ὁ Σόλων, ἔτι δὲ μᾶλλον ἐν γήρᾳ σχολῇ καὶ παιδιᾷ καὶ νῇ Δία πότοις καὶ μουσικῇ παραπέμπων ἑαυτὸν ἐθεάσατο τὸν Θέσπιν αὐτὸν ὑποκρινόμενον, ὥσπερ ἔθος ἦν τοῖς παλαιοῖς. μετὰ δὲ τὴν θέαν προσαγορεύσας αὐτὸν ἠρώτησεν, εἰ τοσούτων ἐναντίον οὐκ αἰσχύνεται τηλικαῦτα ψευδόμενος. φήσαντος δὲ τοῦ Θέσπιδος, μὴ δεινὸν εἶναι τὸ μετὰ παιδιᾶς λέγειν τὰ τοιαῦτα καὶ πράσσειν, σφόδρα τῇ βακτηρίᾳ τὴν γῆν ὁ Σόλων πατάξας· Ταχὺ μέντοι τὴν παιδιάν, ἔφη, ταύτην ἐπαινοῦντες καὶ τιμῶντες εὑρήσομεν ἐν τοῖς συμβολαίοις.

2. Ἐπεὶ δὲ κατατρῶσας αὐτὸς ἑαυτὸν ὁ Πεισίστρατος ἦκεν εἰς ἀγορὰν ἐπὶ ζεύγους κομιζόμενος καὶ παρώξυνε τὸν δῆμον ὡς διὰ τὴν πολιτείαν ὑπὸ τῶν ἐχθρῶν ἐπιβεβουλευμένος καὶ πολλοὺς εἶχεν ἀγανακτοῦντας καὶ βοῶντας, προσελθὼν ἐγγὺς ὁ Σόλων καὶ παραστάς· Οὐ καλῶς, εἶπεν, ὦ παῖ Ἱπποκράτους, ὑποκρίνῃ τὸν Ὁμηρικὸν Ὀδυσσέα· ταῦτα γὰρ ποιεῖς τοὺς πολίτας παρακρουόμενος, οἷς ἐκεῖνος τοὺς πολεμίους ἐξηπάτησεν αἰκισάμενος ἑαυτόν. ἐκ τούτου τὸ μὲν πλῆθος ἦν ἕτοιμον ὑπερμαχεῖν τοῦ Πεισιστράτου, καὶ συνῆλθεν εἰς ἐκκλησίαν ὁ δῆμος· Ἀρίστωνος δὲ γράψαντος ὅπως δοθῶσι πεντή-

---

ὁ Πεισίστρατος. — ἐφώρασεν. φωρᾶν h. l. pro ἐλέγχειν, ὑποπτεύειν, quamquam consulto utitur illa voce, ut furtivum atque occultum Pisistrati ingenium castiget. — τῶν περὶ Θέσπιν, respiciunt haec non solum Thespin, ad quem tragoediae inventio refertur, sed etiam Phrynichum illius discipulum omnesque, qui antiquissimo illo tempore aliquid susceperant officii in agenda fabula, et praeter unum quidem, quem Thespis adhibuit, actorem necessaria tragoediae pars habebatur chorus. vid. de illa dictione ad Aelian. I. extr. add. Bernh. w. Synt. p. 263. — ἅμιλλαν ἐναγ. notantur certamina tragica eo demum tempore, quo Aeschylus floruit, crebrius commissa atque adeo tumultuose, ut tabulata theatri (τὰ ἰκρία) semel corruisse dicantur. — παραπέμπων ἑαυτόν, i. e. *oblectans* Schaefero interprete. — ἔθος ἦν. paulo superius Σόλων τὸ ἦθος ἐφώρασεν, quo verbo omnes habitus mentis continentur; *mores*, *morum quaedam proprietas*, cf. Quintil. inst. VI, 2, 8 sq. ἔθος vero *consuetudo*, *lex*, neque ijs accedendum, qui nihil interesse docent. — ἐναντίον, i. q. ἀντικρὺ c. Genit. *coram tanta multitudine*. — ἐν τ. συμβολαίοις. συμβόλαια sunt pacta non solum de ratione pecuniarum, dandop et accipiendo iure inter civitates privatosque, sed etiam de quacunque re cum alio quodam. nos: Welt- u. Lebensverkehr, Handel u. Wandel.

2. (c. 30.) βοῶντας, ut saepius *in subito terrore clamantes*, *vociferantes*. — παρακρουόμενος, Med. i. q. mox ἐξαπατῶν, qua significatione, ut ait Harpocration, πολύ ἐστι παρὰ τοῖς ἄλλοις Ἀττικοῖς καὶ παρὰ Δημοσθένει. — αἰκισάμενος ἑαυτ. respicit haud dubie Homer. Od. IV, 240 — 258. comp. tamen Odyss. XXII ab init. — γράψαντος, *quum ediceret*, *legem ferret*. sic fere de diis, de legislatore; cives vero quippe legibus obnoxii a se ipsis latis rectius dicerentur νόμον γράφεσθαι, comp. θεῖναι et θέσθαι νόμον. M. §. 492. b. Aristonem quod adtinet, videtur illo tempore

κοντα κορυνηφόροι τῷ Πεισιστράτῳ φυλακὴ τοῦ σώματος, ἀνεῖπεν ὁ Σόλων ἀναστὰς καὶ πολλὰ διεξῆλθεν ὅμοια τούτοις, οἷς διὰ τῶν ποιημάτων γέγραφεν·

εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπη αἰμύλου ἀνδρός.
ὑμῶν δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
σύμπασιν δ' ὑμῖν χαῦνος ἔνεστι νόος.

Ὁρῶν δὲ τοὺς μὲν πένητας ὁρμωμένους χαρίζεσθαι Πεισιστράτῳ καὶ θορυβοῦντας, τοὺς δὲ πλουσίους ἀποδιδράσκοντας καὶ ἀποδειλιῶντας, ἀπῆλθεν εἰπών, ὅτι τῶν μέν ἐστι σοφώτερος, τῶν δὲ ἀνδρειότερος· σοφώτερος μὲν τῶν μὴ συνιέντων τὸ πραττόμενον, ἀνδρειότερος δὲ τῶν συνιέντων μέν, ἐναντιοῦσθαι δὲ τῇ τυραννίδι φοβουμένων. τὸ δὲ ψήφισμα κυρώσας ὁ δῆμος οὐδὲ περὶ τοῦ πλήθους ἔτι τῶν κορυνηφόρων διεμικρολογεῖτο πρὸς τὸν Πεισίστρατον, ἀλλ' ὅσους ἐβούλετο τρέφοντα καὶ συνάγοντα φανερῶς περιεώρα, μέχρι τὴν ἀκρόπολιν κατέσχε. γενομένου δὲ τούτου καὶ τῆς πόλεως συνταραχθείσης ὁ μὲν Μεγακλῆς εὐθὺς ἔφυγε μετὰ τῶν ἄλλων Ἀλκμαιωνιδῶν. ὁ δὲ Σόλων ἤδη μὲν ἦν σφόδρα γέρων καὶ τοὺς βοηθοῦντας οὐκ εἶχεν, ὅμως δὲ προῆλθεν εἰς ἀγορὰν καὶ διελέχθη πρὸς τοὺς πολίτας, τὰ μὲν κακίζων τὴν ἀβουλίαν αὐτῶν καὶ μαλακίαν, τὰ δὲ παροξύνων ἔτι καὶ παρακαλῶν μὴ προέσθαι τὴν ἐλευθερίαν· ὅτε καὶ τὸ μνημονευόμενον εἶπεν, ὡς πρώην μὲν ἦν εὐμαρέστερον αὐτοῖς τὸ κωλῦσαι τὴν τυραννίδα συνισταμένην, νῦν δὲ μεῖζόν ἐστι καὶ λαμπρότερον ἐκκόψαι καὶ ἀνελεῖν συνεστῶσαν ἤδη καὶ πεφυκυῖαν. οὐδενὸς δὲ προσέχοντος αὐτῷ διὰ τὸν φόβον ἀπῆλθεν εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ, καὶ λαβὼν τὰ ὅπλα καὶ πρὸ τῶν θυρῶν θέμενος εἰς τὸν στενωπόν, ἐμοί μέν, εἶπεν, ὡς δυνατὸν ἦν, βεβοήθηται τῇ πατρίδι καὶ τοῖς νόμοις. καὶ τὸ λοιπὸν ἡσυχίαν ἦγε· καὶ τῶν φίλων φεύγειν παραινούντων οὐ προσεῖχεν, ἀλλὰ ποιήματα γράφων ὠνείδιζε τοῖς Ἀθηναίοις·

εἰ δὲ πεπόνθατε λυγρὰ δι' ὑμετέρην κακότητα,
μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε.

---

fuisse Ἄρχων ἐπώνυμος, quem cave cum Aristone philosopho, discipulo Zenonis, confundas. — ὅπως δοθῶσι. cf. B. §. 139, 4. — εἰς γὰρ γλῶσσαν ctt. hunc versum excipit in collectione fragmentorum Solonis pentameter: εἰς ἔργον δ' οὐδὲν γιγνόμενον βλέπετε. — ἀλώπεκος ἴχνεσι β. i. q. Aristophanes uno verbo ἀλωπεκίζειν, *vulpinari*. — κυρώσας. κυροῦν ut βεβαιοῦν de eo, qui lege aliquid vel edicto confirmat et sancit. — τρέφοντα, vox propria de servis, militibus aliisque, quos dominus aliquis *alendos habet* quibusque victum praebet. eodem sensu βόσκειν υἱκέτας ap. Aristoph. — κατέσχε, notetur h. l. commutatio Subiecti. nam qui *arcem occupavit* Pisistratus, idem ille, qui modo ἐβούλετο, περιεώρα vero ὁ δῆμος. — τοὺς βοηθοῦντας, i. e. *eos qui succurrebant Soloni*. de qua vi Articuli Participiis additi v. M. §. 270. — τὸ μνημονευόμενον, *memorabile illud dictum*. — εὐμαρέστερον. εὐμαρὴς i. q. εὔκολος, εὐχερής, vox poetis quam scriptoribus pedestris orationis usitatior. — λαβὼν . . . θέμενος. plane similia simili modo narrantur supra Aelian. XXII, ubi minus oculatus in interpretanda voce ἐξώπλισται insolitum consectabar pro solito. sensus enim est: *dixit Solon clypeo iuxta se posito iam se armis esse instructum et patriae, quantum quidem posset, succurrere*. — βεβοήθηται, cum duobus Dat., *a quo* et *cui* auxilium fertur. B. §. 134, 4. M. §. 391. — ἡσυχίαν ἦγε. ἄγειν dicas an ἔχειν in his similibusque formulis, ad sententiam plerumque nihil interesse docet Sintenis ad Plut. Them. c. 31. — ἐπαμφέρετε, poetice pro

αὐτοὶ γὰρ τούτους ηὐξήσατε ῥύσια δόντες
καὶ διὰ ταῦτα κακὴν ἔσχετε δουλοσύνην.

3. Ἐπὶ τούτοις δὲ πολλῶν νουθετούντων αὐτὸν ὡς ἀποθανούμενον ὑπὸ τοῦ τυράννου καὶ πυνθανομένων, τίνι πιστεύων οὕτως ἀπονοεῖται; Τῷ γήρᾳ, εἶπεν. οὐ μὴν ἀλλ' ὁ Πεισίστρατος ἐγκρατὴς γενόμενος τῶν πραγμάτων οὕτως ἐξεθεράπευσε τὸν Σόλωνα, τιμῶν καὶ φιλοφρονούμενος καὶ μεταπεμπόμενος, ὥστε καὶ σύμβουλον εἶναι καὶ πολλὰ τῶν πρασσομένων ἐπαινεῖν. καὶ γὰρ ἐφύλαττε τοὺς πλείστους νόμους τοῦ Σόλωνος, ἐμμένων πρῶτος αὐτὸς καὶ τοὺς φίλους ἀναγκάζων· ὅς γε καὶ φόνου προσκληθεὶς εἰς Ἄρειον πάγον, ἤδη τυραννῶν, ἀπήντησε κοσμίως ἀπολογησόμενος· ὁ δὲ κατήγορος οὐχ ὑπήκουσε. καὶ νόμους αὐτὸς ἑτέρους ἔγραψεν, ὧν ἐστι καὶ ὁ τοὺς πηρωθέντας ἐν πολέμῳ δημοσίᾳ τρέφεσθαι κελεύων. τοῦτο δέ φησιν Ἡρακλείδης καὶ πρότερον ἐπὶ Θερσίππῳ πηρωθέντι τοῦ Σόλωνος ψηφισαμένου, μιμήσασθαι τὸν Πεισίστρατον. ὡς δὲ Θεόφραστος ἱστόρηκε, καὶ τὸν τῆς ἀργίας νόμον οὐ Σόλων ἔθηκεν, ἀλλὰ Πεισίστρατος, ᾧ τήν τε χώραν ἐνεργεστέραν καὶ τὴν πόλιν ἡρεμαιοτέραν ἐποίησεν. ὁ δὲ Σόλων ἀψάμενος μεγάλης τῆς περὶ τὸν Ἀτλαντικὸν λόγον ἢ μῦθον πραγματείας, ὃν διήκουσε τῶν περὶ Σάϊν λογίων προσήκοντα τοῖς Ἀθηναίοις, ἐξέκαμεν οὐ δι' ἀσχολίαν, ὡς Πλάτων φησίν, ἀλλὰ μᾶλλον ὑπὸ γήρως φοβηθεὶς τὸ μέγεθος τῆς γραφῆς. ἐπεὶ σχολῆς γε περιουσίαν αὐτοῦ μηνύουσιν αἱ τοιαῦται φωναί·

γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος·

καί·

ἔργα δὲ Κυπρογενοῦς νῦν μοι φίλα καὶ Διονύσου
καὶ Μουσέων, ἃ τίθησ' ἀνδράσιν εὐφροσύνας.

ἐπαναφέρετε. vid. B. §. 117, 2. not. 2. — τούτους ηὐξήσατε, i. e. Pisistratum Pisistratidasque. — ῥύσια δ. i. e. ἐνέχυρα, quasi *pignora offerentes* tyrannidis stipatores istos.

3. (c. 31.) ἀπονοεῖται, comp. ἀπόνοια supra Pausan. III, 2, de ed, qui talia et dicit et facit, ut ratione carere videatur. — ἐξεθεράπευσεν. cf. supra ad Lucian. dial. mort. III, 2, ubi similiter verbum simplex. — ἐμμένων, repete τοῖς νόμοις. sic Latini *manere in conditione, in pactione* etc., ubi constanter et religiose pacta ab aliquo servantur. — φόνου προσκληθεὶς εἰς Ἄ. *ob caedem ad Areopagitas citatus.* προσκαλεῖσθαι Passiv. et Med. ut reliqua verba accusandi (cf. ad Lucian. II, 3.) cum Genit. rei. τραύματος εἰς Ἄρειον πάγον με προσεκαλέσατο. Demosth. — τρέφεσθαι κελεύων, plerumque cum Dat. vel Accus. et Infin. Act., rarius κελεύειν ut h. l. cum Acc. et Infin. Pass. cf. Long. II, 28. ἐκέλευσε ἀναζητεῖσθαι Χλόην. IV, 34. κελεύσας λαμπρὰν ἑστίασιν παρασκευασθῆναι. comp. Lat. *iubere.* — Ἡρακλείδης. Heraclides Ponticus, auditor Speusippi Aristotelisque. scripsit teste Diogene Laertio duo de vitis illustrium virorum libros. — Ἀτλαντικὸν .. μῦθον. maximam olim terrae continentis partem et in Asia et in Europa obtinuerunt, si fides est fabulis sacerdotum Saiticorum, reges Atlantidis insulae, quam auctores ipsis dominantibus virtute bellica Atheniensium postremo expugnatis in vasto gurgite demersam fingunt. — πραγματείας. plenius Diodorus Lib. XX init. ἱστορικὴ πραγματεία; et alii serioris aevi. ceterum περὶ λόγον ἢ μῦθον, ut saepius, periphrasin Genitivi facit. cf. infr. ad Plut. III, 2. — ὡς Πλάτων φ. vid. Plat. Tim. p. 23 extr. — ἐπεί, non raro causam subiungit, ut Latine reddere liceat per *nam.* v. M. §. 618. B. §. 149 s. v. — Μουσέων, dissyllabum. v. B. §. 34. III. not. 5.

III.

1. Ἐπεὶ Δᾶτις ὑπὸ Δαρείου πεμφθεὶς, λόγῳ μὲν ἐπιθεῖναι δίκην Ἀθηναίοις, ὅτι Σάρδεις ἐνέπρησαν, ἔργῳ δὲ καταστρέψασθαι τοὺς Ἕλληνας, εἰς Μαραθῶνα παντὶ τῷ στόλῳ κατέσχε καὶ τὴν χώραν ἐπόρθει, τῶν δέκα καθεστώτων τοῖς Ἀθηναίοις ἐπὶ τὸν πόλεμον στρατηγῶν μέγιστον μὲν εἶχεν ἀξίωμα Μιλτιάδης, δόξῃ δὲ καὶ δυνάμει δεύτερος ἦν Ἀριστείδης. καὶ τότε περὶ τῆς μάχης γνώμῃ τῇ Μιλτιάδου προσθέμενος οὐ μικρὰν ἐποίησε ῥοπήν· καὶ παρ' ἡμέραν ἑκάστου στρατηγοῦ τὸ κράτος ἔχοντος, ὡς περιῆλθεν εἰς αὐτὸν ἡ ἀρχή, παρέδωκε Μιλτιάδῃ διδάσκων τοὺς συνάρχοντας, ὅτι τὸ πείθεσθαι καὶ ἀκολουθεῖν τοῖς εὖ φρονοῦσιν οὐκ αἰσχρόν, ἀλλὰ σεμνόν ἐστι καὶ σωτήριον. οὕτω δὲ πρᾶυνας τὴν φιλονεικίαν καὶ προτρεψάμενος αὐτοὺς ἀγαπᾶν μιᾷ γνώμῃ τῇ κρατίστῃ χρωμένους ἔῤῥωσε τὸν Μιλτιάδην τῷ ἀπερισπάστῳ τῆς ἐξουσίας ἰσχυρὸν γενόμενον· χαίρειν γὰρ ἐῶν ἕκαστος ἤδη τὸ παρ' ἡμέραν ἄρχειν ἐκείνῳ προσεῖχεν. ἐν δὲ τῇ μάχῃ μάλιστα τῶν Ἀθηναίων τοῦ μέσου πονήσαντος καὶ πλεῖστον ἐνταῦθα χρόνον τῶν βαρβάρων ἀντερεισάντων κατὰ Λεοντίδα καὶ Ἀντιοχίδα φυλὴν ἠγωνίσαντο λαμπρῶς τεταγμένοι παρ' ἀλλήλους ὅ τε Θεμιστοκλῆς καὶ ὁ Ἀριστείδης. ὁ μὲν γὰρ Λεοντίδης ἦν, ὁ δ' Ἀντιοχίδης. ἐπεὶ δὲ τρεψάμενοι τοὺς βαρβάρους ἐνέβαλον εἰς τὰς ναῦς καὶ πλέοντας οὐκ ἐπὶ νήσων ἐώρων, ἀλλ' ὑπὸ τοῦ πνεύματος καὶ τῆς θαλάσσης εἴσω πρὸς τὴν Ἀττικὴν ἀποβιαζομένους, φοβηθέντες μὴ τὴν πόλιν ἔρημον λάβωσι τῶν ἀμυνομένων, ταῖς μὲν ἐννέα φυλαῖς ἠπείγοντο πρὸς τὸ ἄστυ καὶ κατήνυσαν αὐθημερόν. ἐν δὲ Μαραθῶνι μετὰ

III. Plut. Aristid. c. 5—6. Athenienses duce Miltiade a. 490 a. C. n. pugnam Marathoniam cum Persis committunt. Aristides parendi sciens. Archon anno 489 a. C. n. Iustus vocatur.

1. Δᾶτις. priorem syllabam producendam docet trimeter Aristophaneus: νῦν τοῦτ' ἐκεῖν' ἥκει τὸ Δάτιδος μέλος. Pax 288. — στόλῳ, h. l. de hostium exercitu *mari* transvecto. cf. ad Pausan. VI, 1. — προσθέμενος, *eo ut accederet sententiae Miltiadis.* quae dictio unde profecta sit, arguit locus Demosth. ἡμῖν ἂν προσθέμενοι τὴν ψῆφον εὐορκοίητε. similiter forma activa: ἢν πλείους ὦσιν αἱ μέλαιναι (ψῆφοι), σὺ προσθεῖσα κὴν σεαυτῆς σῶζε. Lucian. — παρ' ἡμέραν. v. ad Aelian. XXVIII extr. adde Bernhardy w. Synt. p. 258. — ἀκολουθεῖν, vox de iis frequens, qui imperio alicuius ducis in acie obtemperant. infr. V, 4 med. — ἀγαπᾶν, eodem sensu quo supra Lucian. dial. mort. VIII, 4, ubi vid. adnot. γνώμῃ igitur Dativum utrinque sustineri, et ab ἀγαπᾶν et a χρωμένους, in proclivi est videre. — μιᾷ ... τῇ κρατίστῃ, acquiescere *in uno consilio atque optimo quidem.* aequs esset Articulo exemto, ubi εἷς non *unus, solus*, sed *praecipuus.* Plut. Them. c. 21. Ἀριστείδαν ἐπαινέω ἄνδρ' ἱερᾶν ἀπ' Ἀθανᾶν ἐλθεῖν ἕνα λῷστον. Virg. Aen. II, 426. *Ripheus iustissimus unus, qui fuit in Teucris.* — τῷ ἀπερισπάστῳ, c. Genit. *summo imperio nihil distracto.* quam eandem vim Adiectivorum deprehendis apud Romanos Graecorum aemulos, maxime apud Tacitum. Hist. 4, 50. *obscuro adhuc coeptae lucis domum irrumpunt. incerta belli*, et id genus alia. — χαίρειν γὰρ ἐῶν, *missum faciens*, imperio quasi *valedicens.* similiter λέγω et κελεύω χαίρειν. cf. Herm. ad Vig. p. 766. Krüg. ad Xen. Anab. VII, 3, 23. comp. Cic. Epist. ad divv. 7, 33. *multam salutem et foro dicam et curiae.* — τοῦ μέσου πον. Herod. VI, 113. τὸ μὲν μέσον τοῦ στρατοπέδου ἐνίκων οἱ βάρβαροι, ... Πέρσαι τε αὐτοὶ καὶ Σάκαι. — ἐπὶ νήσων. vid. quod supra

τῆς ἑαυτοῦ φυλῆς Ἀριστείδης ἀπολειφθεὶς φύλαξ τῶν αἰχμαλώτων καὶ τῶν λαφύρων οὐκ ἐψεύσατο τὴν δόξαν, ἀλλὰ χύδην μὲν ἀργυρίου καὶ χρυσοῦ παρόντος, ἐσθῆτος δὲ παντοδαπῆς καὶ χρημάτων ἄλλων ἀμυθήτων ἐν ταῖς σκηναῖς καὶ τοῖς ἡλωκόσι σκάφεσιν ὑπαρχόντων, οὔτ' αὐτὸς ἐπεθύμησε θιγεῖν οὔτ' ἄλλον εἴασε, πλὴν εἴ τινες ἐκεῖνον λαθόντες ὠφελήθησαν.....

2. Ἀριστείδης τὴν ἐπώνυμον εὐθὺς ἀρχὴν ἦρξε. καίτοι φησὶν ὁ Φαληρεὺς Δημήτριος ἄρξαι τὸν ἄνδρα μικρὸν ἔμπροσθεν τοῦ θανάτου μετὰ τὴν ἐν Πλαταιαῖς μάχην. ἐν δὲ ταῖς ἀναγραφαῖς μετὰ μὲν Ξανθιππίδην, ἐφ' οὗ Μαρδόνιος ἡττήθη Πλαταιᾶσιν, οὐδ' ὁμώνυμον Ἀριστείδην ἐν πάνυ πολλοῖς λαβεῖν ἐστι, μετὰ δὲ Φάνιππον, ἐφ' οὗ τὴν ἐν Μαραθῶνι μάχην ἐνίκων, εὐθὺς Ἀριστείδης ἄρχων ἀναγέγραπται. πασῶν δὲ τῶν περὶ αὐτὸν ἀρετῶν ἡ δικαιοσύνη μάλιστα τοῖς πολλοῖς αἴσθησιν παρεῖχε διὰ τὸ τὴν χρείαν ἐνδελεχεστάτην αὐτῆς καὶ κοινοτάτην ὑπάρχειν. ὅθεν ἀνὴρ πένης καὶ δημοτικὸς ἐκτήσατο τὴν βασιλικωτάτην καὶ θειοτάτην προσηγορίαν τὸν Δίκαιον· ὃ τῶν βασιλέων καὶ τυράννων οὐδεὶς ἐξήλωσεν, ἀλλὰ Πολιορκηταὶ καὶ Κεραυνοὶ καὶ Νικάτορες, ἔνιοι δ' Ἀετοὶ καὶ Ἱέρακες ἔχαιρον προσαγορευόμενοι, τὴν ἀπὸ τῆς βίας καὶ τῆς δυνάμεως, ὡς ἔοικε, μᾶλλον ἢ τὴν ἀπὸ τῆς ἀρετῆς δόξαν ἀγαπῶντες.

IV.

1. Περὶ τοῦ πλήθους τῶν βαρβαρικῶν νεῶν Αἰσχύλος ὁ ποιητὴς ὡς ἂν εἰδὼς καὶ διαβεβαιούμενος ἐν τραγῳδίᾳ Πέρσαις λέγει ταῦτα·

---

citatur ad verba ἐπὶ σκοποῦ Lucian. IV, 2. — τῶν λαφύρων. Hesych. λάφυρα, τὰ ἐκ τῶν πολεμίων ἔτι ζώντων λαμβανόμενα, τὰ δὲ τεθνεώτων αὐτῶν σκῦλα. comp. λεία supra ad Pausan. III, 5. — ἐκεῖνον λαθόντες. v. supra ad Pausan. IX, 4. Lucian. dial. mort. II, 3.

2. εὐθύς, i. e. statim post pugnam Marathoniam. ceterum mirari licet, quid sit cur non verbo tetigerit Herodotus neque hunc magistratum Aristidi commissum, neque quae fuerint magna eiusdem in hoc proelio erga publicam salutem merita. — Δημήτριος ctt. saepius Plutarchus hunc Demetrii librum Σωκράτης inscriptum adlegare solet, in quo quum alia de vita Aristidis tum haec videntur exposita fuisse. — Πλαταιᾶσιν, de forma atque usu Dativi v. B. §. 116, 3. alii minus recte Πλαταίασιν. cf. Fischer ad Weller. III a. pag. 208. — τῶν περὶ αὐτὸν ἀρ. nihil aliud quam τ. ἀρετῶν αὐτοῦ. v. supra ad Plut. II, 3 extr. cf. Viger. p. 656. not. atque sunt sane exempla bene multa, ubi et περὶ et κατὰ (τῶν κατὰ τὴν πόλιν ἁρμάτων τὸ πρωτεῦον. infr. Plut. IV, 4.) sic quarto casui iunguntur. tamen subtilius, quam adhuc factum est, res Grammaticis erit excutienda, praesertim quum de Genitivo eadem illa iunctura cum περὶ posito etiam nunc ambigi possit. v. Valck. ad Phalar. Epp. XCIV. 79. D'Orvill. ad Char. p. 552. Schaef. ad Dion. Hal. p. 23. — ὃ ... ἐξήλωσεν. repete totam sententiam praegressam, non unum vocabulum προσηγορίαν. cf. ad Athen. II, 6. Lucian. I, 2. IV, 5. — δόξαν. inest h. l. sicut in Lat. *fama* media potestas, unde δόξα κακή, πονηρά, φαύλη.

IV. Plut. Themist. c. 14—17. Ed. C. Sintenis. Lips. 1832. Graeci ad Salamina pugnant ineunte autumno a. 480. Persae victi Asiam repetunt. praemia virtutis Themistocli duci tributa.

1. (c. 14.) ὡς ἂν εἰδώς, *tanquam qui cognitam habeat rem.* potuisset sane ὡς εἰδώς, nam et verba, quae mox adhibet Plutarchus, Persici nuntii ex acie redeuntis confidentius loquuntur, et nemo profecto Aeschylo

Ξέρξῃ δέ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν
νεῶν τὸ πλῆθος· οἱ δ' ὑπέρκομποι τάχει
ἑκατὸν δὶς ἦσαν ἑπτά θ'· ὧδ' ἔχει λόγος.

τῶν δ' Ἀττικῶν ἑκατὸν ὀγδοήκοντα τὸ πλῆθος οὐσῶν ἑκάστη τοὺς ἀπὸ τοῦ καταστρώματος μαχομένους ὀκτωκαίδεκα εἶχεν, ὧν τοξόται τέσσαρες ἦσαν, οἱ λοιποὶ δ' ὁπλῖται. δοκεῖ δ' οὐχ ἥττον εὖ τὸν καιρὸν ὁ Θεμιστοκλῆς, ἢ τὸν τόπον συνιδὼν καὶ φυλάξας μὴ πρότερον ἀντιπρώρους καταστῆσαι ταῖς βαρβαρικαῖς τὰς τριήρεις, ἢ τὴν εἰωθυῖαν ὥραν παραγενέσθαι τὸ πνεῦμα λαμπρὸν ἐκ πελάγους ἀεὶ καὶ νῦμα διὰ τῶν στενῶν κατάγουσαν· ὃ τὰς μὲν Ἑλληνικὰς οὐκ ἔβλαπτε ναῦς ἁλιτενεῖς οὔσας καὶ ταπεινοτέρας, τὰς δὲ βαρβαρικὰς ταῖς τε πρύμναις ἀνεστώσας καὶ τοῖς καταστρώμασιν ὑψορόφους καὶ βαρείας ἐπιφερομένας ἔσφαλλε προσπίπτον καὶ παρεδίδου πλαγίας τοῖς Ἕλλησιν ὀξέως προσφερομένοις καὶ τῷ Θεμιστοκλεῖ προσέχουσιν, ὡς ὁρῶντι μάλιστα τὸ συμφέρον, καὶ ὅτι κατ' ἐκεῖνον ὁ Ξέρξου ναύαρχος Ἀριαμένης ναῦν ἔχων μεγάλην ὥσπερ ἀπὸ τείχους ἐτόξευε καὶ ἠκόντιζεν, ἀνὴρ ἀγαθὸς ὢν καὶ τῶν βασιλέως ἀδελφῶν πολὺ κράτιστός τε καὶ δικαιότατος. τοῦτον μὲν οὖν Ἀμεινίας ὁ Δεκελεὺς καὶ Σωσικλῆς ὁ Πεδιεὺς ὁμοῦ πλέοντες, ὡς αἱ νῆες ἀντίπρωροι προσπεσοῦσαι καὶ συνερείσασαι τοῖς χαλκώμασιν ἐνεσχέθησαν, ἐπιβαίνοντα τῆς αὐτῶν τριήρους ὑποστάντες καὶ τοῖς δόρασι τύπτοντες εἰς τὴν θάλασσαν ἐνέβαλον· καὶ τὸ σῶμα μετ' ἄλλων φερόμενον ναυαγίων Ἀρτεμισία γνωρίσασα πρὸς Ξέρξην ἀνήνεγκεν.

2. Ἐν δὲ τούτῳ τοῦ ἀγῶνος ὄντος φῶς μὲν ἐκλάμψαι μέγα λέγουσιν Ἐλευσινόθεν, ἦχον δὲ καὶ φωνὴν τὸ Θριάσιον κατέχειν πεδίον ἄχρι τῆς θαλάττης, ὡς ἀνθρώπων ὁμοῦ πολλῶν τὸν μυστικὸν ἐξαγόντων Ἴακχον. ἐκ δὲ τοῦ πλήθους τῶν φθεγγομένων κατὰ μικρὸν

---

earum, quibus ipse interfuit, rerum peritior testis. — ὧδ' ἔχει λόγος, *sic se habet numerus p. numeri ratio.* Sintenis. — τοὺς .. μαχομένους. de Articulo v. ad Plut. II, 2. καταστρώματος. Hesych. τῆς νεὼς μέρος, ἐν ᾧ ἑστῶτες ναυμαχοῦσιν. cf. supra Athen. II, 7. — τὸ πνεῦμα ... κατάγουσαν, ubi cave τὸ Articulum frustra positum credas, quum indicet res certas et ipsis naturae legibus ratas. reprobandum igitur quod alii satis Grammaticae factori (cf. B. §. 125, 3.) corrigi iubent: τὴν πνεῦμα ctt., modo ne divellas quae secum maxime sunt copulata παραγενέσθαι κατάγουσαν. verte: *quam consueta*, qua quod iam dicturus est scriptor fieri solebat, *hora adfuit ventum fluctumque impellens.* quodsi resolveris, ut fieri licet, παραγενέσθαι καὶ καταγαγεῖν, iam intelliges τὴν — κατάγουσαν ne ferri quidem posse. — προσπίπτον. de ι producendo v. ad Pausan. V, 2. — καὶ ὅτι κατ' ἐκεῖνον ctt. in his altera causa continetur, cur milites maxime essent in Themistoclem intenti. recte igitur Sintenis κατ' ἐκεῖνον *e regione Themistocli*, (cf. Bernhardy w. Synt. p. 240.) pluribus docens usum Praepositionis imprimis Plutarcho familiarem. vit. Arist. c. 18. ἡ μάχη λέγεται μάλιστα κατὰ Θηβαίους γενέσθαι προθυμότατα. — Ἀριαμένης. Herodoto (7, 97. 8, 89.) vocatur Ἀριαβίγνης. atque simili modo mox dissidet Noster a patre historiarum, quippe *Aminiam* non ex Decelea, sed ex Pallenaeis oriundum testante. Lib. 8, 84. cf. ibid. 93. — χαλκώμασιν, h. l. de rostris navium aere tectis munitisque; χαλκώματα τῶν νεῶν. — ὑποστάντες, *impetum sustinentes.* supra I, 5 extr. — Ἀρτεμισία. Artemisia Halicarnassensium regina Xerxi quinque suppeditaverat naves omnium ornatissimas et optimas.

2. (c. 15.) ἐν δὲ τούτῳ, de genere Pronominis v. ad Long. II, 4. — ἐξαγόντων Ἴακχον. Strabo l. X. p. 322. Casaub. Ἴακχον τὸν Διόνυσον κα-

ἀπὸ γῆς ἀναφερόμενον νέφος ἔδοξεν αὖθις ὑπονοστεῖν καὶ κατασκήπτειν εἰς τὰς τριήρεις. ἕτεροι δὲ φάσματα καὶ εἴδωλα καθορᾶν ἔδοξαν ἐνόπλων ἀνδρῶν ἀπ' Αἰγίνης τὰς χεῖρας ἀνεχόντων πρὸ τῶν Ἑλληνικῶν τριηρῶν, οὓς εἴκαζον Αἰακίδας εἶναι παρακεκλημένους εὐχαῖς πρὸ τῆς μάχης ἐπὶ τὴν βοήθειαν. πρῶτος μὲν οὖν λαμβάνει ναῦν Λυκομήδης, ἀνὴρ Ἀθηναῖος τριηραρχῶν, ἧς τὰ παράσημα περικόψας ἀνέθηκεν Ἀπόλλωνι δαφνηφόρῳ. οἱ δ' ἄλλοι τοῖς βαρβάροις ἐξισούμενοι τὸ πλῆθος ἐν στενῷ κατὰ μέρος προσφερομένους καὶ περιπίπτοντας ἀλλήλοις ἐτρέψαντο μέχρι δείλης ἀντισχόντας, ὡς εἴρηκε Σιμωνίδης, τὴν καλὴν ἐκείνην καὶ περιβόητον ἀράμενοι νίκην, ἧς οὔθ' Ἕλλησιν οὔτε βαρβάροις ἐνάλιον ἔργον εἴργασται λαμπρότερον, ἀνδρεία μὲν καὶ προθυμία κοινῇ τῶν ναυμαχησάντων, γνώμῃ δὲ καὶ δεινότητι Θεμιστοκλέους.

3. Μετὰ δὲ τὴν ναυμαχίαν Ξέρξης μὲν ἔτι θυμομάχων πρὸς τὴν ἀπότευξιν ἐπεχείρει διὰ χωμάτων ἐπάγειν τὸ πεζὸν εἰς Σαλαμῖνα τοῖς Ἕλλησιν ἐμφράξας τὸν διὰ μέσου πόρον· Θεμιστοκλῆς δ' ἀποπειρώμενος Ἀριστείδου λόγῳ γνώμην ἐποιεῖτο λύειν τὰ ζεῦγμα ναῖς ναυσὶν ἐπιπλεύσαντας εἰς Ἑλλήσποντον· Ὅπως, ἔφη, τὴν Ἀσίαν ἐν τῇ Εὐρώπῃ λάβωμεν. δυσχεραίνοντος δὲ τοῦ Ἀριστείδου καὶ λέγοντος, ὅτι Νῦν μὲν τρυφῶντι τῷ βαρβάρῳ πεπολεμήκαμεν, ἂν δὲ κατακλείσωμεν εἰς τὴν Ἑλλάδα καὶ καταστήσωμεν εἰς ἀνάγκην ὑπὸ δέους ἄνδρα τηλικούτων δυνάμεων κύριον, οὐκέτι καθήμενος ὑπὸ σκιάδι

λοῦσι καὶ τὸν ἀρχηγέτην τῶν μυστηρίων (i. e. mysteriorum Eleusiniorum), τῆς Δήμητρος δαίμονα. quem Iacchum initiati Eleusin deducebant (ἐξάγειν), ingenti strepitu et saltantes et cantantes Ἴακχον vel hymnos sacros. Ἴακχος enim, ut recte Hesychius, καὶ ἡ ᾠδή, ἣν οἱ μεμυημένοι ᾄδουσι. — Αἰακίδας. Peleum dicit eiusque filium Achillem, Telamonem, Aiacem, alios ex Aeaco prognatos, Aeginetarum olim dominatore. — Λυκομήδης. eadem Herodotus 8, 11 de Lycomede quodam refert non in hac quidem pugna, sed in priori illa ad Artemisium, unde cum Sintenisio subverearis, ne Noster memoria sit falsus. — δαφνηφόρῳ. cf. supra Aelian. XXXII, 9. — ἐν στενῷ ... προσπίπτοντας ἀλλ. cum Plutarcho consentit Nep. Them. c. 4. *barbarus — adeo angusto mari conflixit, ut eius multitudo navium explicari non potuerit.* contra Herodotus 8, 86 stragem Persarum quantumvis fortiter pugnantium ex nimia quadam incuria atque acie minus ordinata pependisse narrat. — δείλης. δείλη ἡ περὶ δύσιν ἡλίου ὥρα. Hesych. — ἀράμενοι νίκην, sunt verba Simonidis, fortasse ex eiusdem carmine lyrico Ξέρξου ναυμαχία petita. comp. Homerica illa κλέος, ἀέθλια ἀρέσθαι. Herod. 6, 103. νίκην ἀναιρεῖσθαι, aliis locis. — γνώμῃ. h. l. idem valet ac φρόνησις, prudentia in imperio administrando. cf. Nep. Them. c. 4.

3. (c. 16.) θυμομαχῶν, nos: voll erbitterter Kampfbegierde, nam de solo *pugnandi ardore*, quo quis mente se vel ad moriendum vel ad vincendum dediderit, h. l. usurpari manifestum est, tametsi Lexica tacitam relinquunt significationem istam. comp. Klotz ad Tyrt. p. 14 — 15. — ἐπάγειν. v. ad Pausan. I, 3. διὰ χωμάτων, magis explicate de his Herodotus 8, 97. ἐς τὴν Σαλαμῖνα χῶμα ἐπειρᾶτο (Xerxes) διαχοῦν γαυλούς τε Φοινικηΐους συνέδεε, ἵνα ἀντί τε σχεδίης ἔωσι καὶ τείχεος. — γνώμην ἐπ. sic γνώμην ἀποδεικνυσθαι, γν. ἀποφαίνεσθαι Articulo omisso, nisi forte sententiarum nexus flagitaverit. v. Xen. memorab. IV, 7, 1. — τρυφῶντι, h. l. de Xerxe utpote qui delicias facit, hostem quamvis potiorem armis negligit et dedignatur. nos: hochfahrend, ekel thuend. Dem. de f. leg. p. 402 extr. οὐκ ἀνεκτὸν αἰχμάλωτον οὖσαν τρυφᾶν. cf. Xen. memorab. III, 11, 10. — ἂν δὲ κατακλ. v. ad Plut. I, 2 med. εἰς τὴν Ἑλλ. ut Lat. *includere in ali-*

χρυσῇ θεάσεται τὴν μάχην ἐφ' ἡσυχίας, ἀλλὰ πάντα τολμῶν καὶ πᾶσιν αὐτὸς παρὼν διὰ τὸν κίνδυνον ἐπανορθώσεται τὰ παρειμένα καὶ βουλεύσεται βέλτιον ὑπὲρ τῶν ὅλων. οὐ τὴν οὖσαν οὖν, ἔφη, δεῖ γέφυραν, ὦ Θεμιστόκλεις, ἡμᾶς ἀναιρεῖν, ἀλλ' ἑτέραν εἴπερ οἷόν τε προσκατασκευάσαντας ἐκβαλεῖν διὰ τάχους τὸν ἄνθρωπον ἐκ τῆς Εὐρώπης· Οὐκοῦν, εἶπεν ὁ Θεμιστοκλῆς, εἰ δοκεῖ ταῦτα συμφέρειν, ὥρα σκοπεῖν καὶ μηχανᾶσθαι πάντας ἡμᾶς, ὅπως ἀπαλλαγήσεται τὴν ταχίστην ἐκ τῆς Ἑλλάδος. ἐπεὶ δὲ ταῦτα ἔδοξε, πέμπει τινὰ τῶν βασιλικῶν εὐνούχων ἐν τοῖς αἰχμαλώτοις ἀνευρών, Ἀρνάκην ὄνομα, φράζειν βασιλεῖ κελεύσας, ὅτι τοῖς μὲν Ἕλλησι δέδοκται τῷ ναυτικῷ κεκρατηκότας ἀναπλεῖν εἰς τὸν Ἑλλήσποντον ἐπὶ τὸ ζεῦγμα καὶ λύειν τὴν γέφυραν, Θεμιστοκλῆς δὲ κηδόμενος βασιλέως παραινεῖ σπεύδειν ἐπὶ τὴν ἑαυτοῦ θάλασσαν καὶ περαιοῦσθαι, μέχρις αὐτὸς ἐμποιεῖ τινας διατριβὰς τοῖς συμμάχοις καὶ μελλήσεις πρὸς τὴν δίωξιν. ταῦθ' ὁ βάρβαρος ἀκούσας καὶ γενόμενος περίφοβος διὰ τάχους ἐποιεῖτο τὴν ἀναχώρησιν. καὶ πεῖραν ἡ Θεμιστοκλέους καὶ Ἀριστείδου φρόνησις ἐν Μαρδονίῳ παρέσχεν, εἴγε πολλοστημορίῳ τῆς Ξέρξου δυνάμεως διαγωνισάμενοι Πλαταιᾶσιν εἰς τὸν περὶ τῶν ὅλων κίνδυνον κατέστησαν.

4. Πόλεων μὲν οὖν τὴν Αἰγινητῶν ἀριστεῦσαί φησιν Ἡρόδοτος, Θεμιστοκλεῖ δέ, καίπερ ἄκοντες ὑπὸ φθόνου, τὸ πρωτεῖον ἀπέδοσαν ἅπαντες. ἐπεὶ γὰρ ὠναχωρήσαντες εἰς τὸν Ἰσθμὸν ἀπὸ τοῦ βωμοῦ τὴν ψῆφον ἔφερον οἱ στρατηγοί, πρῶτον μὲν ἕκαστος ἑαυτὸν ἀπέφαινεν ἀρετῇ, δεύτερον δὲ μεθ' ἑαυτὸν Θεμιστοκλέα. Λακεδαιμόνιοι δ' εἰς τὴν Σπάρτην αὐτὸν καταγαγόντες Εὐρυβιάδῃ μὲν ἀνδρείας, ἐκείνῳ δὲ σοφίας ἀριστεῖον ἔδοσαν θαλλοῦ στέφανον καὶ τῶν κατὰ τὴν πόλιν ἁρμάτων τὸ πρωτεῖον ἐδωρήσαντο καὶ τριακοσίους τῶν νέων πομποὺς ἄχρι τῶν ὅρων συνεξέπεμψαν. λέγεται δ' Ὀλυμπίων τῶν ἐφεξῆς ἀγομένων καὶ παρελθόντος εἰς τὸ στάδιον τοῦ Θεμιστο-

---

quid. — πάντα τολμῶν, formula de iis frequens, qui abrepti caeco ardore omnia sua in aleam dant, inde quidquid est salutis quaesituri. Soph. Oed. C. 765. Arist. Nubb. 375. — τῶν ὅλων. ad τὰ ὅλα suppleri potest πράγματα aut συμφέροντα. comp. τὸ ὅλον *omnino, in universum.* — οἷόν τε. v. B. §. 150. pag. 446. — τὸν ἄνθρωπον, contemptim. v. Xen. Anab. I, 7, 4. ibique Krüg. — ὥρα, cum mero Infin. τοῦ Articulo suppresso. v. Heind. ad Hor. Sat. II, 4, 1. Krüg. ad Xen. Anab. I, 3, 10. — ὄνομα. v. B. §. 131, 6. rarius hac iunctura ὀνόματι, ut Xen. Anab. I, 4, 11. — δέδοκται, cum Acc. et Infin. cf. ad Pausan. II, 2. VI, 4. — κηδόμενος β., i. e. φροντίζων περί τινος, ἐπιμελούμενός τινος, ut Suid. et Hesych. cf. M. §. 348. — πεῖραν ... παρέσχεν, *documentum sui dedit Themistoclis et Aristidis prudentia in Mardonio.* Reiske. — Πλαταιᾶσιν. v. ad Plut. III, 2.

4. (c. 17.) Ἡρόδοτος, Lib. VIII. c. 93. c. 122. — ἀπὸ τοῦ βωμοῦ. mos fuit, ut Graeci iurandi causa ad aras accederent. v. Cic. orat. p. Balbo §. 5. atque cuius h. l. dei aram indicet, legimus apud Herod. l. c. 123. οἱ στρατηγοὶ διενέμοντο τὰς ψήφους ἐπὶ τοῦ Ποσειδέωνος τῷ βωμῷ. quod superest ψῆφον ἔφερον verte: ab ara *suffragia tulerunt* s. *calculum demiserunt* singuli quique duces. cf. Schaef. ad Demosth. pag. 1317, 27. — τὸ πρωτεῖον. vid. supra ad Achill. Tat. §. 3 extr. Pausan. III, 2. — τῶν νέων πομποὺς ctt. ex iis quidem, qui Spartae ἱππεῖς *equites* dicebantur. Herod. l. c. 124. quo eodem loco quanti fuerit honor iste docemur: μοῦνον δὴ τοῦτον (Themistoclem) πάντων ἀνθρώπων, τῶν ἡμεῖς ἴδμεν, Σπαρτιῆται προέπεμψαν. — ἐφεξῆς ἀγ. „pugna Salaminia quum facta sit Olymp. 75, 1, — patet intelligendum esse Ol. 76." Sintenis. ἐφεξῆς igitur h. l. de tempore, *deinceps.* — θεᾶσθαι .. ἐπιδεικνύειν. de Infinitivis temporis imperfecti di-

κλέους ἀμελήσαντας τῶν ἀγωνιστῶν τοὺς παρόντας ὅλην τὴν ἡμέραν ἐκεῖνον θεᾶσθαι καὶ τοῖς ξένοις ἐπιδεικνύειν ἅμα θαυμάζοντας καὶ κροτοῦντας, ὥστε καὶ αὐτὸν ἡσθέντα πρὸς τοὺς φίλους ὁμολογῆσαι τὸν καρπὸν ἀπέχειν τῶν ὑπὲρ τῆς Ἑλλάδος αὐτῷ πονηθέντων.

V.

1. Κίμων ὁ Μιλτιάδου οὔτε τόλμῃ Μιλτιάδου λειπόμενος οὔτε συνέσει Θεμιστοκλέους δικαιότερος ἀμφοῖν ὁμολογεῖται γενέσθαι, καὶ ταῖς πολεμικαῖς οὐδὲ μικρὸν ἀποδέων ἀρεταῖς ἐκείνων ἀμήχανον ὅσον ἐν ταῖς πολιτικαῖς ὑπερβαλέσθαι νέος ὢν ἔτι καὶ πολέμων ἄπειρος. ὅτε γὰρ τὸν δῆμον ἐπιόντων Μήδων Θεμιστοκλῆς ἔπεισε προέμενον τὴν πόλιν καὶ τὴν χώραν ἐκλιπόντα πρὸ τῆς Σαλαμῖνος ἐν ταῖς ναυσὶ τὰ ὅπλα θέσθαι καὶ διαγωνίσασθαι κατὰ θάλατταν, ἐκπεπληγμένων τῶν πολλῶν τὸ τόλμημα πρῶτος Κίμων ὤφθη διὰ τοῦ Κεραμεικοῦ φαιδρὸς ἀνιὼν εἰς τὴν ἀκρόπολιν μετὰ τῶν ἑταίρων ἵππου τινὰ χαλινὸν ἀναθεῖναι τῇ θεῷ διὰ χειρῶν κομίζων, ὡς οὐδὲν ἱππικῆς ἀλκῆς, ἀλλὰ ναυμάχων ἀνδρῶν ἐν τῷ παρόντι τῆς πόλεως δεομένης. ἀναθεὶς δὲ τὸν χαλινὸν καὶ λαβὼν ἐκ τῶν περὶ τὸν ναὸν κρεμαμένων ἀσπίδων καὶ προσευξάμενος τῇ θεῷ κατέβαινεν ἐπὶ θάλατταν οὐκ ὀλίγοις ἀρχὴ τοῦ θαρρεῖν γενόμενος. ἦν δὲ καὶ τὴν ἰδέαν οὐ μεμπτός, ὡς Ἴων ὁ ποιητής φησιν, ἀλλὰ μέγας πολλῇ καὶ οὔλῃ τριχὶ κομῶν τὴν κεφαλήν. φανεὶς δὲ κατ' αὐτὸν τὸν ἀγῶνα λαμπρὸς καὶ ἀνδρώδης ταχὺ δόξαν ἐν τῇ πόλει μετ' εὐνοίας ἔσχεν ἀθροιζομένων πολλῶν πρὸς αὐτὸν καὶ παρακαλούντων ἄξια τοῦ Μαραθῶνος ἤδη διανοεῖ-

---

ctum est ad Plut. II, 1 init. — κροτοῦντας, de iis, qui adsensum plausu significant. ἐπαινεῖν ταῖς χερσίν. Suid. Hesych. — τὸν καρπὸν ἀπέχειν, suum sibi fructum habere. sic μισθόν, χάριν ἀπέχειν in Synesii Epp.

V. Plut. Cimon. c. 5—7. c. 12—13. Cimon, navibus adscendendis pugnaeque Salaminiae a civibus ineundae egregie fautor, Persis Graecia pulsis dux in Thraciam proficiscitur et Strymonis regiones subiicit, subiectas Atheniensibus incolendas tradit. — Hinc quasi vestigiis regis inhaerens Asiae partem liberat et barbarum vi cogit, ut calamitatem ad Eurymedontem excipiat deque pace constituat.

1. (c. 5.) ἀποδέων ... ὑπερβαλέσθαι, repete ὁμολογεῖται. — ἀμήχανον ὅσον. B. §. 150. s. v. ὅσος. M. §. 445. c. comp. οἷος simili modo adiectum. Bernhardy w. Synt. p. 435. — τὴν χώραν, i. e. Ἀττικήν, agros, fines ditionis suae, contra ea Articulo omisso i. q. χώραν τὴν προσήκουσαν, suo loco sibique convenienti cedere. sic κατὰ χώραν μένειν, ἐν χώρᾳ εἶναι, ἐς χώραν βαίνειν. — τὰ ὅπλα θ. h. l. idem esse quod ἐκτάττεσθαι, ἐν τάξει θέσθαι τὰ ὅπλα, etiam me non monente quivis facile videt. de reliqua potestate illius formulae consule Lexica et Viger. p. 297 sq. — Κεραμεικοῦ. Timaeus Lex. Plat. Κεραμεικοὶ δύο, ὁ μὲν ἔνδον τείχους (quae via fuit ad Acropolin accedentibus munitissima), ὁ δὲ ἐκτός, ἔνθα τοὺς ἐν πολέμῳ τελευτῶντας ἔθαπτον. — χαλινὸν ἀναθ. sic gladiatores vel poetae arma, lyram, alia ἀναθήματα, quibus uti posse iam desperabant, diis dedicabant et in templis aut postibus adfigenda curabant. — τῇ θεῷ, i. e. deae in arce Athenarum cultae, ut θεὸς Articulo addito fere de certo quodam vel iam commemorato deo. — διὰ χειρῶν κ. cf. ad Lucian. IV, 1 extr. — Ἴων. Ion Chius, poeta dithyrambicus, tragicus, melicus eadem qua Cimon aetate floruit. — οὔλῃ. de οὔλος voce satis erit te adlegasse ad Buttm. Lexil. II. p. 158 et Lex. Passov. — ἄξια τοῦ Μ. verba mirifica vi plena,

σθαι καὶ πράσσειν. ὁρμήσαντα δ' αὐτὸν ἐπὶ τὴν πολιτείαν ἄσμενος ὁ δῆμος ἐδέξατο, καὶ μεστὸς ὢν τοῦ Θεμιστοκλέους ἀνῆγε πρὸς τὰς μεγίστας ἐν τῇ πόλει τιμὰς καὶ ἀρχὰς εὐάρμοστον ὄντα καὶ προσφιλῆ τοῖς πολλοῖς διὰ πραότητα καὶ ἀφέλειαν. οὐχ ἥκιστα δ' αὐτὸν ηὔξησεν Ἀριστείδης ὁ Λυσιμάχου τὴν εὐφυΐαν ἐνορῶν τῷ ἤθει καὶ ποιούμενος οἷον ἀντίπαλον πρὸς τὴν Θεμιστοκλέους δεινότητα καὶ τόλμαν.

2. Ἐπεὶ δὲ Μήδων φυγόντων ἐκ τῆς Ἑλλάδος ἐπέμφθη στρατηγός, κατὰ θάλατταν οὔπω τὴν ἀρχὴν Ἀθηναίων ἐχόντων, ἔτι δὲ Παυσανίᾳ καὶ Λακεδαιμονίοις ἑπομένων, πρῶτον μὲν ἐν ταῖς στρατηγίαις ἀεὶ παρεῖχε τοὺς πολίτας κόσμῳ τε θαυμαστοὺς καὶ προθυμίᾳ πολὺ πάντων διαφέροντας· ἔπειτα Παυσανίου τοῖς μὲν βαρβάροις διαλεγομένου περὶ προδοσίας καὶ βασιλεῖ γράφοντος ἐπιστολάς, τοῖς δὲ συμμάχοις τραχέως καὶ αὐθαδῶς προσφερομένου καὶ πολλὰ δι' ἐξουσίαν καὶ ὄγκον ἀνόητον ὑβρίζοντος, ὑπολαμβάνων πράως τοὺς ἀδικουμένους καὶ φιλανθρώπως ἐξομιλῶν ἔλαθεν οὐ δι' ὅπλων τὴν Ἑλλάδος ἡγεμονίαν, ἀλλὰ λόγῳ καὶ ἤθει παρελόμενος. προσετίθεντο γὰρ οἱ πλεῖστοι τῶν συμμάχων ἐκείνῳ τε καὶ Ἀριστείδῃ τὴν χαλεπότητα τοῦ Παυσανίου καὶ ὑπεροψίαν μὴ φέροντες. οἱ δὲ καὶ τούτους ἅμα προσήγοντο καὶ τοῖς ἐφόροις πέμποντες ἔφραζον, ὡς ἀδοξούσης τῆς Σπάρτης καὶ ταραττομένης τῆς Ἑλλάδος ἀνακαλεῖν τὸν Παυσανίαν.....

3. Κίμων δὲ τῶν συμμάχων ἤδη προσκεχωρηκότων αὐτῷ στρατηγὸς εἰς Θράκην ἔπλευσεν, πυνθανόμενος Περσῶν ἄνδρας ἐνδόξους

---

quibus oblique simul populus in memoriam revocatur rerum a patre Cimonis olim gestarum. idque copiosius eloqui non opus erat, quod pugna praesertim Marathonia etiam ad Plutarchi aetatem quotannis die VI Boedromionis ab Atheniensibus celebrabatur. Plut. de gloria Athen. T. VII. p. 378. Reisk. — ὁρμήσαντα, non solum de corporis, sed etiam animi impetu et fervore, ut φέρεσθαι. Plut. Cic. c. 5. Κικέρων ἐλπίδων μεστὸς ἐπὶ τὴν πολιτείαν φερόμενος. cf. ad Aesop. fab. XVII. similiter φορὰ et ὁρμή. — μεστὸς ὢν τοῦ Θ. taedio Themistoclis captus. οἱ πολῖται — μεστοὶ τοῦ συνεχῶς λέγοντος. Dem. p. Cor. §. 308. et ita Latini quoque poetae scilicet. Hor. Ep. I, 20, 8, ubi Epistolarum librum priorem adloquitur: *et scis in breve te cogi, quum plenus languet amator.* — οἷον. cf. M. §. 445. b.

2. (c. 6.) ἀρχήν, *imperium Graeciae*, ἡγεμονίαν, quam Athenienses inde a pugna Plataeensi usque ad initium belli Peloponnesiaci (479—431) obtinuerunt. — κόσμῳ, vox de exercitu bene ornato et instructo frequens, unde κοσμεῖν, κοσμητής, ἄνδρες κόσμιοι *dicto audientes* vel interprete Xenophonte (Anab. VI, 4, 32.) ἱκανοὶ τῷ ἄρχοντι πείθεσθαι. — προσφερομένου, Med. *se gerere aliquo modo erga aliquem.* οὐ γὰρ ὡς φίλιοι προσεφέροντο ἡμῖν. Xen. Anab. V, 5, 19. cf. M. §. 402. b. atque usitata haec est structura, quamquam altera illa πρός τινα non minus apud optimos auctores occurrit. — ἐπιστολάς. leguntur exempla apud Thucyd. I, 128. 129. comp. Nepos, vit. Paus. c. 2. — αὐθαδῶς, vide num rectius forte cum aliis enunties αὐθάδως. cf. B. §. 115. not. 1. adde Gramm. uber. §. 115, 4. not. 2. — πολλὰ .. ὑβρίζ. v. ad Aesop. f. VIII. — οἱ πλεῖστοι. praecesserant Samii, Chii, Lesbii, mox reliqui acclamaverunt omnes, qui ex Peloponneso convenerant militibus exceptis. Thucyd. I, 95. — μὴ φέροντες, *quippe qui tolerare non possent.* etenim sentiendi verbo intercepto causam, cur socii Cimonis *partibus se adiunxerint* (προσετίθεντο), eamque ex mente et cogitatione indicari imperio Pausaniae se abdicantium, μὴ docet particula negativa. cf. Xen. Memorab. III, 7, 7. Sintenis praef. ad Plut. Them. p. 37 sq. — ὡς, c. Gen. abs. ut supra c. 1. ὡς οὐδὲν ἱππικῆς ἀλκῆς ... δεομένης. vid. ad Aelian. IV extr. comp. ἅτε ibid. XXXII. §. 8. al.

καὶ συγγενεῖς βασιλέως Ἠϊόνα πόλιν ἐπὶ τῷ Στρυμόνι κειμένην ποταμῷ κατέχοντας ἐνοχλεῖν τοῖς περὶ τὸν τόπον ἐκεῖνον Ἕλλησιν. πρῶτον μὲν οὖν μάχῃ τοὺς Πέρσας αὐτοὺς ἐνίκησε καὶ κατέκλεισεν εἰς τὴν πόλιν· ἔπειτα τοὺς ὑπὲρ Στρυμόνα Θρᾷκας, ὅθεν αὐτοῖς ἐφοίτα σῖτος, ἀναστάτους ποιῶν καὶ τὴν χώραν παραφυλάττων ἅπασαν εἰς τοσαύτην ἀπορίαν τοὺς πολιορκουμένους κατέστησεν, ὥστε Βούτην τὸν βασιλέως στρατηγὸν ἀπογνόντα τὰ πράγματα τῇ πόλει πῦρ ἐνεῖναι καὶ συνδιαφθεῖραι μετὰ τῶν φίλων καὶ τῶν χρημάτων ἑαυτόν. οὕτω δὲ λαβὼν τὴν πόλιν ἄλλο μὲν οὐδὲν ἄξιον λόγου ὠφελήθη τῶν πλείστων τοῖς βαρβάροις συγκατακαέντων, τὴν δὲ χώραν εὐφυεστάτην οὖσαν καὶ καλλίστην οἰκῆσαι παρέδωκε τοῖς Ἀθηναίοις.....

4. Αὐτοῦ δὲ τοῦ μεγάλου βασιλέως οὐδεὶς ἐταπείνωσε καὶ συνέστειλε τὸ φρόνημα μᾶλλον ἢ Κίμων. οὐ γὰρ ἀνῆκεν ἐκ τῆς Ἑλλάδος ἀπηλλαγμένον, ἀλλ' ὥσπερ ἐκ ποδὸς διώκων πρὶν διαπνεῦσαι καὶ στῆναι τοὺς βαρβάρους, τὰ μὲν ἐπόρθει καὶ κατεστρέφετο, τὰ δ' ἀφίστη καὶ προσήγετο τοῖς Ἕλλησιν, ὥστε τὴν ἀπ' Ἰωνίας Ἀσίαν ἄχρι Παμφυλίας παντάπασι Περσικῶν ὅπλων ἐρημῶσαι. πυθόμενος δὲ τοὺς βασιλέως στρατηγοὺς μεγάλῳ στρατῷ καὶ ναυσὶ πολλαῖς ἐφεδρεύειν περὶ Παμφυλίαν καὶ βουλόμενος αὐτοῖς ἅπλουν καὶ ἀνέμβατον ὅλως ὑπὸ φόβου τὴν ἐντὸς Χελιδονίων ποιήσασθαι θάλατταν ὥρμησεν ἄρας ἀπὸ Κνίδου καὶ Τριωπίου διακοσίαις τριήρεσι, πρὸς

---

3. (c. 7.) ὑπὲρ Στρυμόνα, *trans Strymonem incolentes*. v. Thucyd. I, 100. qua significatione multo sane frequentior usus ὑπὲρ Praepositionis cum Genit., neque tamen ita ut Accusativus suspicionem commoveat. v. Bernhardy w. Synt. p. 244 ibique not. Pausan. I, 14, 1. ναοὶ εἰσιν ὑπὲρ τὴν κρήνην. II, 32, 6. ναὸν ἴδοις Ἴσιδος καὶ ὑπὲρ αὐτὸν Ἀφροδίτης. Xen. Anab. I, 1, 9. πολεμεῖν τοῖς Θρᾳξὶ τοῖς ὑπὲρ Ἑλλήσποντον οἰκοῦσι, ubi Krüg. corrigit Ἑλλησπόντου. — ἐφοίτα, *comportabatur, redibat*, de commeatu, de exigendis vectigalibus vel conferendis tributis. exempla v. apud Valck. ad Herod. 7, 23. — ἀπογνόντα. ἀπογιγνώσκειν ut ἀελπτεῖν (num etiam ἀελπεῖν? v. Lobeck ad Phryn. p. 570.) apud Hom. Il. 7, 310 et Herod. 7, 168. Demostheni quibusque vox maxime in deliciis est Diodoro, Plutarcho, Arriano, Pausaniae promiscue adhibetur aut cum Accus. aut Genit. aut denique cum Infin., rarius absolute omissis iis, de quibus desperamus, ut Aelian. H. V. 10, 22. ὁ δὲ ἀπογνοὺς καὶ ἀθυμήσας ἀπέθανε.

4. (c. 12.) αὐτοῦ δὲ τοῦ μ. β. quamquam βασιλεύς, *rex Persarum*, μέγας β. sive β. μέγας quasi nomina sint propria Articulum aut omnium ubique Edd. consensu abiiciunt, aut accuratior quaedam librorum collatio (veluti Bekk. ad Thucyd. VIII, c. 47. c. 48.) constanter eximendum carat, h. l. cur verba magis efferantur ex superioribus colliges. vid. tamen infra c. 5 extr., unde coniicias negligentiam praecepti seriore Plutarchi aevo patientius ferendam. — φρόνημα. v. ad Pausan. I. §. 4 extr. — ἐκ ποδὸς δ. i. q. Latinorum *instare vestigiis*, *vestigiis aliquem consequi*. neque aliter interpretandum illud Ovid. Metam. III., 17. *subsequitur pressoque legit vestigia gressu*, quamquam *pede presso* alias ἐπὶ πόδα, de retrocedentibus. Krüg. ad Xen. Anab. V, 2, 32. — διαπνεῦσαι, vox haud scio an insolentior sit similiter concinnatis illis, Plateni, Luciano, Dionysio probatis διαπαύεσθαι s. διαναπαύεσθαι, et Lat. *interspirare*. Schaefer citat Philo. p. 48. ἀθλητοῦ τρόπον διαπνέοντος καὶ συλλεγομένου τὸ πνεῦμα. cl. Etym. M. s. v. σταδίη. — Χελιδονίων. tres insulae vel potius scopuli Asiae minoris in extremo sinu Pamphylio e regione ipsius, quod dicunt, Promontorii sacri. — ἄρας. Thucyd. II, 12. ὁ Ἀρχίδαμος ἄρας τῷ στρατῷ προυχώρει ἐς τὴν γῆν τῶν Ἀθηναίων. similiter στόλον αἴρειν Aesch. Pers. 800. Agam. 46. quo tamen sensu ἄρασθαι Medium multo usitatius, ceterum de Purt. illo

μὲν τάχος ἀπ' ἀρχῆς καὶ περιαγωγὴν ὑπὸ Θεμιστοκλέους ἄριστα κατεσκευασμέναις, ἐκεῖνος δὲ τότε καὶ πλατυτέρας ἐποίησεν αὐτὰς καὶ διάβασιν τοῖς καταστρώμασιν ἔδωκεν, ὡς ἂν ὑπὸ πολλῶν ὁπλιτῶν μαχιμώτεραι προσφέροιντο τοῖς πολεμίοις. ἐπιπλεύσας δὲ τῇ πόλει τῶν Φασηλιτῶν, Ἑλλήνων μὲν ὄντων, οὐ δεχομένων δὲ τὸν στόλον, οὐδὲ βουλομένων ἀφίστασθαι βασιλέως τήν τε χώραν κακῶς ἐποίει καὶ προσέβαλε τοῖς τείχεσιν. οἱ δὲ Χῖοι συμπλέοντες αὐτῷ, πρὸς δὲ τοὺς Φασηλίτας ἐκ παλαιοῦ φιλικῶς ἔχοντες ἅμα μὲν τὸν Κίμωνα κατεπράϋνον, ἅμα δὲ τοξεύοντες ὑπὲρ τὰ τείχη βιβλίδια προσκείμενα τοῖς ὀϊστοῖς ἐξήγγελλον τοῖς Φασηλίταις· τέλος δὲ διήλλαξαν αὐτούς, ὅπως δέκα τάλαντα δόντες ἀκολουθῶσι καὶ συστρατεύωσιν ἐπὶ τοὺς βαρβάρους. Ἔφορος μὲν οὖν Τιθραύστην φησὶ τῶν βασιλικῶν νεῶν ἄρχειν καὶ τοῦ πεζοῦ Φερενδάτην, Καλλισθένης δὲ Ἀριομάνδην τὸν Γωβρύου κυριώτατον ὄντα τῆς δυνάμεως παρὰ τὸν Εὐρυμέδοντα ταῖς ναυσὶ παρορμεῖν, οὐκ ὄντα μάχεσθαι τοῖς Ἕλλησι πρόθυμον, ἀλλὰ προσδεχόμενον ὀγδοήκοντα ναῦς Φοινίσσας ἀπὸ Κύπρου προσπλεούσας. ταύτας φθῆναι βουλόμενος ὁ Κίμων ἀνήχθη βιάζεσθαι παρεσκευασμένος, ἂν ἑκόντες μὴ ναυμαχῶσιν. οἱ δὲ πρῶτον μέν, ὡς μὴ βιασθεῖεν, εἰς τὸν ποταμὸν εἰσωρμίσαντο, προσφερομένων δὲ τῶν Ἀθηναίων ἀντεξέπλευσαν, ὡς ἱστορεῖ Φανόδημος, ἑξακοσίαις ναυσίν, ὡς δ' Ἔφορος, πεντήκοντα καὶ τριακοσίαις. ἔργον δὲ κατὰ γοῦν τὴν θάλατταν οὐδὲν ὑπ' αὐτῶν ἐπράχθη τῆς δυνάμεως ἄξιον, ἀλλ' εὐθὺς εἰς τὴν γῆν ἀποστρέφοντες ἐξέπιπτον οἱ πρῶτοι καὶ κατέφευγον εἰς τὸ πεζὸν ἐγγὺς παρατεταγμένον, οἱ δὲ καταλαμβανόμενοι διεφθείροντο μετὰ τῶν νεῶν. ᾧ καὶ δῆλόν ἐστιν, ὅτι πάμπολλαί τινες αἱ πεπληρωμέναι τοῖς βαρβάροις νῆες ἦσαν, ὅτε πολλῶν μέν, ὡς εἰκός, ἐκφυγουσῶν, πολλῶν δὲ συντριβεισῶν ὅμως διακοσίας αἰχμαλώτους ἔλαβον οἱ Ἀθηναῖοι.

5. Τῶν δὲ πεζῶν ἐπικαταβάντων πρὸς τὴν θάλασσαν, μέγα μὲν ἔργον ἐφαίνετο τῷ Κίμωνι τὸ βιάζεσθαι τὴν ἀπόβασιν καὶ κεκμηκότας ἀκμῆσι καὶ πολλαπλασίοις ἐπάγειν τοὺς Ἕλληνας, ὅμως δὲ

---

cum Aor. verbi finiti iuncto v. ad Athen. I, 5. — Φασηλιτῶν. Phaselis urbs Lyciae ad fines Pamphyliae a Doriensibus inculta. Herod. II, 178. — βιβλίδια, *epistolia*, *libellulos*, comp. βιβλίον supra Pausan. IX, 3. quae voculae quo sunt deminutiores res non raro denotant viliores et contemptiores, ut Dem. orat. c. Dionysod. init. ἐν γραμματιδίῳ καὶ βιβλιδίῳ μικρῷ πάνυ τὴν ὁμολογίαν καταλέλοιπε τοῦ ποιήσειν τὰ δίκαια. — ἀκολουθῶσι κ. συστρ. nos brevi complectimur: Heeresfolge zusagen. — Ἔφορος, Olymp. 107, 1. discipulus Isocratis, ex canone Alexandrinorum in numero VII praecipuorum vel classicorum historicorum habetur, quorum agmen is claudit, quo mox teste Plutarchus utitur, Callisthenes. — ἀνήχθη, *in altum provectus est*, ut alias ἀνελθεῖν, ἀναβῆναι, ἀναπλεῦσαι, apud Hom. ἀπᾶραι τοῦ λιμένος. — ὡς μὴ βιασθεῖεν. de Optat. v. B. §. 139. 4 ibique not. 2. — Φανόδημος, cuius historici aliunde minus noti fragmenta supersunt admodum pauca. — ἐξέπιπτον, de iis qui a proposito aberrant et ipsi inscii ad aliena deferuntur. hinc recte Schaef. interpretatur ἐξώκελλον. sunt tamen qui malint: *elapsi effugerunt*, ut sit idem quod διεξέπιπτον. Interpp. ad Arrian. III, 15, 6. — πάμπολλαί τινες. v. supra ad Lucian. dial. mort. II, 3. Plut. I, 7.

5. (c. 13.) βιάζεσθαι, cum Acc. rei aut εἰς Praepositione adiuncta, *vi aliquid acquirere*, *loci*, ut Tacitus ait, *difficultates eluctari*. de gemella vocis constructione v. Interpp. ad Arrian. II, 23, 4. — πολλαπλασίοις ctt.

ῥώμῃ καὶ φρονήματι τοῦ κρατεῖν ὁρῶν ἐπηρμένους καὶ προθύμους ὁμόσε χωρεῖν τοῖς βαρβάροις ἀπεβίβαζε τοὺς ὁπλίτας ἔτι θερμοὺς τῷ κατὰ τὴν ναυμαχίαν ἀγῶνι μετὰ κραυγῆς καὶ δρόμου προσφερομένους. ὑποστάντων δὲ τῶν Περσῶν καὶ δεξαμένων οὐκ ἀγεννῶς κρατερὰ μάχη συνέστη. καὶ τῶν Ἀθηναίων ἄνδρες ἀγαθοὶ καὶ τοῖς ἀξιώμασι πρῶτοι καὶ διαπρεπεῖς ἔπεσον· πολλῷ δ' ἀγῶνι τρεψάμενοι τοὺς βαρβάρους ἔκτεινον, εἶτα ᾖρουν αὐτούς τε καὶ σκηνὰς παντοδαπῶν χρημάτων γεμούσας. Κίμων δ' ὥσπερ ἀθλητὴς δεινὸς ἡμέρᾳ μιᾷ δύο καθῃρηκὼς ἀγωνίσματα, καὶ τὸ μὲν ἐν Σαλαμῖνι πέζομαχίᾳ, τὸ δ' ἐν Πλαταιαῖς ναυμαχίᾳ παρεληλυθὼς τρόπαιον ἐπηγωνίσατο ταῖς νίκαις· καὶ τὰς ὀγδοήκοντα Φοινίσσας τριήρεις, αἳ τῆς μάχης ἀπελείφθησαν, Ὕδρῳ προσβεβληκέναι πυθόμενος διὰ τάχους ἔπλευσεν οὐδὲν εἰδότων βέβαιον οὔπω περὶ τῆς μείζονος δυνάμεως τῶν στρατηγῶν, ἀλλὰ δυσπίστως ἤδη καὶ μετεώρως ἐχόντων· ᾗ καὶ μᾶλλον ἐκπλαγέντες ἀπώλεσαν τὰς ναῦς ἁπάσας καὶ τῶν ἀνδρῶν οἱ πλεῖστοι συνδιεφθάρησαν. τοῦτο τὸ ἔργον οὕτως ἐταπείνωσε τὴν γνώμην τοῦ βασιλέως, ὥστε συνθέσθαι τὴν περιβόητον εἰρήνην ἐκείνην, ἵππου μὲν δρόμον ἀεὶ τῆς Ἑλληνικῆς ἀπέχειν θαλάσσης, ἔνδον δὲ Κυανέων καὶ Χελιδονίων μακρᾷ νηῒ καὶ χαλκεμβόλῳ μὴ πλέειν.

Graecos in multo copiosiores incurrere, quam ipsi essent. inest enim vis comparandi. v. Bernhardy w. Synt. p. 139. — ὁμόσε χ. formula in re militari satis vulgaris, Timaeo Lexic. Plat. interprete εἰς ταὐτὸ ὑπὸ τῶν ἐναντίων εἰς μάχην φέρεσθαι. Latine diceres *in diversum tendere, congredi*, nam *in unum cogi* s. *compelli* iam minus accedit ad Graecum. — οὐκ ἀγεννῶς. Suid. οὐκ ἀνάνδρως. καὶ ἀγεννὲς ἐπὶ τοῦ ἀσθενοῦς καὶ ἐπὶ δυσγενοῦς. neque merito videtur differentia statui inter et hanc formam et alteram ἀγενής, quam ad res tantum natales respicere dicunt. — ἀξιώμασι πρῶτοι. vid. Bernh. w. Synt. p. 118. — ἔπεσον. πίπτειν non solum de iis, qui concidunt vulnerati, sed etiam exspirantes corruunt et de ipsis occisis, id quod frustra negatur a quibusdam. — ἐπηγωνίσατο ταῖς ν. Reiske interpretatur: *post victoriam iam partam certare perrexit.* — Ὕδρῳ. alii Σύρῃ, quae est urbs Ciliciae, alii aliud libris invitis. sed verendum, ut multum coniecturis proficiatur in oppido aliunde ignoto nec satis hic nobis notato. — ᾗ καὶ μᾶλλον, formula in adnectendis sententiis quum aliis tum Plutarcho quotidiana, ubi si quid opus videatur τύχῃ supplebis a. ξυμφορᾷ. Schol. ad Thucyd. I, 25 ait: ἀντὶ τοῦ διὸ καὶ μ. comp. ᾗ καὶ δῆλον, ᾗ κ. φανερόν, ᾗ κ. δῆλον. v. Sintenis ad Plut. Them. IV. 8. — ἵππου μ. δρόμον, voluit: ὅσον ἵππος διὰ μιᾶς ἡμέρας τρέχει, ut docet Demosth. de f. leg. p. 428 extr. quod spatium Plutarchus alio loco amplitudine stadiorum trecentorum metitur. paulo secus Diodorus XII. c. 4. τοὺς τῶν Περσῶν σατράπας μὴ καταβαίνειν ἐπὶ θάλατταν κατωτέρω τριῶν ἡμερῶν ὁδόν. ceterum quid statuendum videatur de hac pace, praeter alios docuit Krüger. Seebod. Archiv I, 2. p. 205 sq. — Κυανέων κ. Χ. insulae igitur Chelidoneae meridiem versus, Cyaneae in ipso limine Ponti Euxini ad septentrionem Persis fines erant navigandi. — πλέειν, librariorum an auctoris incuriae tribuas, incertus fores, nisi optimi interdum legis Atticae minus fuissent memores. vid. Lobeck ad Phryn. p. 220. comp. supra ad Pausan. I, 5.

ΔΙΟΔΩΡΟΥ ΣΙΚΕΛΙΩΤΟΥ.

I.

Ψηφίσματος ὄντος παρὰ τοῖς Ἀθηναίοις Μεγαρέας εἴργεσθαι 1
τῆς τε ἀγορᾶς καὶ τῶν λιμένων οἱ Μεγαρεῖς κατέφυγον ἐπὶ τοὺς
Σπαρτιάτας. οἱ δὲ Λακεδαιμόνιοι πεισθέντες τοῖς Μεγαρεῦσιν ἀπέ-
στειλαν πρέσβεις ἐκ τοῦ προφανεστάτου ἀπὸ τῆς τοῦ κοινοῦ συν-
εδρίου γνώμης προστάττοντες τοῖς Ἀθηναίοις ἀνελεῖν τὸ κατὰ τῶν
Μεγαρέων ψήφισμα· μὴ πειθομένων δὲ αὐτῶν ἀπειλοῦντες πολεμή-
σειν αὐτοῖς μετὰ τῶν συμμάχων. συναχθείσης οὖν περὶ τούτων ἐκ-

---

Diodorus Agyrii Siciliae oppido natus est D. Iulio Caesari incertum an Augusto Imperatori magis aequalis. utriusque linguae gnarus et concitatus adsiduo studio veterum historicorum magnam peragravit Europae Asiaeque, exiguam Africae partem, ut quae totò orbe terrarum vel acta essent vel agerentur quasi oculis lustraret et scriptis aliquando mandaret. itaque historiam, ut ipse tradit, omnium populorum omniumque temporum condendam in opere suo (*Βιβλιοθήκη ἱστορική.*) sibi sumit, quod licet mancum dimidio plus admirabili est rerum ipsarum varietate et amplitudine. Diodorus quidem quamvis a viris doctis satis male audiat, quod nunquam bene Atticeque scribendi laudem sibi peperit et operosam magis fere quam curiosam testium indagationem sectatur, quo minus prorsus recederet *ἀσύμβολος*, non solum res videbantur memorabiliores historiae Graecae vetare, sed dicendi quoque genus ad cito cursimque legendum peridoneum. igitur et his fruere optatis, dum licuerit et puriores fontes aperire et aditu reconditiores. — Edd. P. Wesseling. Amstelod. 1746. I. II. fol. L. Dindorf. Lips. 1828.

I. (Lib. XII, c. 39. p. 307 s.) Exponuntur res Graeciae susceptо bello, quod dicunt, Peloponnesiaco. Olymp. 87, 1. 431 a. C. n. cf. Plut. vit. Pericl. c. 29—33. Thucyd. I. c. 139—145.

1. *εἴργεσθαι*, cum Genit. rei, qua quem arceam, ut alia verba prohibendi et recedendi. v. supra ad Pausan. IX, 2. add. M. §. 353, 3. — *ἀπὸ τῆς .. γνώμης*, *ex sententia totius conventus*, ut saepius *ἀπὸ* adnotavimus de ea parte dictum, unde aliquid coeperit vel extiterit, interdum etiam de animatis, a quibus profectum aliquid perhibetur pro *ὑπό*. M. §. 573. — *μὴ πειθομένων* ctt. hoc decretum a Periole latum, quo Megarensibus interdictum erat foro et portubus Atticis, — portaverant enim eo praeter alias res venales allium, salem, porcos — praecipuam causam fuisse belli quamquam diu imminentis omnes testantur et poetae et historici, verissimam autem, quae ceteris siletur, brevi complectitur Thucydides I, 23. *τὴν μὲν γὰρ ἀληθεστάτην πρόφασιν, ἀφανεστάτην δὲ λόγῳ, τοὺς Ἀθηναίους ἡγοῦμαι μεγάλους γιγνομένους καὶ φόβον παρέχοντας τοῖς Λακεδαιμονίοις ἀναγκάσαι ἐς τὸ πολεμεῖν.*

κλησίας ὁ Περικλῆς δεινότητι λόγου πολὺ διαφέρων ἁπάντων τῶν πολιτῶν ἔπεισε τοὺς Ἀθηναίους μὴ ἀναιρεῖν τὸ ψήφισμα, λέγων ἀρχὴν δουλείας εἶναι τὸ πείθεσθαι παρὰ τὸ συμφέρον τοῖς Λακεδαιμονίων προστάγμασι. συνεβούλευεν οὖν τὰ ἀπὸ τῆς χώρας κατακομίζειν εἰς
2 τὴν πόλιν καὶ θαλαττοκρατοῦντας διαπολεμεῖν τοῖς Σπαρτιάταις. περὶ δὲ τοῦ πολέμου πεφροντισμένως ἀπολογησάμενος ἐξηριθμήσατο μὲν τὸ πλῆθος τῶν συμμάχων τῇ πόλει καὶ τὴν ὑπεροχὴν τῆς ναυτικῆς δυνάμεως, πρὸς δὲ τούτοις τὸ πλῆθος τῶν μετακεκομισμένων ἐκ Δήλου χρημάτων εἰς τὰς Ἀθήνας, ἃ συνέβαινεν ἐκ τῶν φόρων ταῖς πόλεσι κοινῇ συνηθροῖσθαι. κοινῶν δ' ὄντων τῶν μυρίων ταλάντων ἀπανήλωτο πρὸς τὴν κατασκευὴν τῶν προπυλαίων καὶ τὴν Ποτιδαίας πολιορκίαν τετρακισχίλια τάλαντα· καὶ καθ' ἕκαστον ἐνιαυτὸν ἐκ τοῦ φόρου τῶν συμμάχων ἀνεφέρετο τάλαντα τετρακόσια ἑξήκοντα. χωρὶς δὲ τούτων ἥ τε πομπία σκευὴ καὶ τὰ Μηδικὰ σκῦλα πεντακοσίων ἄξια ταλάντων ἀπεφήνατο· ἔν τε τοῖς ἔργοις ἀπεδείκνυεν ἀναθημάτων τε πλῆθος καὶ τὸ τῆς Ἀθηνᾶς ἄγαλμα ἔχειν χρυσίου πεντήκοντα τάλαντα, ὡς περιαιρετῆς οὔσης τῆς περὶ τὸν κόσμον κατασκευῆς· καὶ ταῦτα, ἀναγκαία εἰ καταλάβοι χρεία, χρησαμένους παρὰ τῶν θεῶν πάλιν ἀποκαταστήσειν ἐν εἰρήνῃ· τούς τε τῶν πολιτῶν βίους διὰ τὴν πολυχρόνιον εἰρήνην πολλὴν ἐπίδοσιν εἰληφέναι πρὸς
3 εὐδαιμονίαν. χωρὶς δὲ τῶν χρημάτων τούτων στρατιώτας ὑπεδείκνυεν ὑπάρχειν τῇ πόλει, χωρὶς συμμάχων καὶ τῶν ἐν τοῖς φρουρίοις ὄντων ὁπλίτας μὲν μυρίους καὶ δισχιλίους, τοὺς δ' ἐν τοῖς φρουρίοις ὄντας καὶ τοὺς μετοίκους ὑπάρχειν πλείους τῶν μυρίων ἑπτακισχιλίων, τριήρεις τε τὰς παρούσας τριακοσίας. τοὺς δὲ Λακεδαιμονίους χρημάτων τε σπανίζειν ἀπεδείκνυε καὶ ταῖς ναυτικαῖς δυνάμεσι

---

2. ὑπεροχήν, vocabulum recentiore nota signatum, quod inde ab hoc tempore ubique licentiam habet concessam etiam in libris sacris. profanis maioris fidei est δύναμις, ἰσχύς, vel ut Thucydides in iisdem his rebus proferendis, τὸ ναυτικόν, ᾧπερ ἰσχύουσιν οἱ Ἀθηναῖοι. — προπυλαίων, in haec vestibula arcis Athenarum, Palladis templo adiecta et quinque annorum spatio Mnesicle architecto exstructa insumebantur talentorum duo millia et duodecim. — τετρακόσια ἑξήκ. Thucyd. I, 96. ἦν δ' ὁ πρῶτος φόρος ταχθεὶς (intell. ab Aristide) τετρακόσια τάλαντα καὶ ἑξήκοντα. iam vero Pericles a sociis conferenda redegerat ad sexcenta talenta. id. II, 13. — πομπία σκευή, dicit signa deorum et alia donaria aurea vel argentea, quae in pompis solemnibus circumferebantur, etsi σκευὴ (ὅπλισις ἢ στολή, ut recte Suidas) haud scio an nusquam genuinis Atticis dicatur pro σκεύη. favent quum alii, tum Thuc. l. c. ἱερὰ σκεύη περὶ τὰς πομπάς. — τοῖς ἔργοις, videtur idem voluisse, quod paulo quidem accuratius Thuc. l. c. ἔτι δὲ καὶ τὰ ἐκ τῶν ἄλλων ἱερῶν προσετίθει χρήματα, nisi forte nostro quoque loco praestiterit cum Reiskio corrigere ἐν τοῖς ἱεροῖς. — ἄγαλμα, a Phidia formatum ex quadam parte praedae Medicae. — καταλάβοι. v. ad Pausan. I, 4. Aesop. fab. XI. XVI.

3. ὑπάρχειν, v. supra ad Athen. II, 8 extr. — μυρίους κ. δισχ. Thucydides, cuius cum ratione fere ubique in his congruit Diodorus, enumerat l. c. tredecim millia gravis armaturae militum, sexdecim in praesidiis. — τριήρεις .. τριακοσίας. Athenienses rebus florentibus trecentas triremes easque instructissimas habuisse cum historicis consentiunt oratores Attici. unus, quod sciam, Andocides orat. 3. §. 9 ait: ναῦς δὲ πλείους ἢ τετρακοσίας ἐκτησάμεθα. Olymp. 89, 3. cui id certe adstipulatur, quod legimus apud Strabonem l. IX init. navale Atheniensium sufficiens fuisse quadringentis na-

πολὺ λείπεσθαι τῶν Ἀθηναίων. ταῦτα διελθὼν καὶ παρορμήσας τοὺς πολίτας εἰς τὸν πόλεμον ἔπεισε τὸν δῆμον μὴ προσέχειν τοῖς Λακεδαιμονίοις. ταῦτα δὲ ῥᾳδίως συνετέλεσε διὰ τὴν δεινότητα τοῦ λόγου, δι' ἣν αἰτίαν ὠνομάσθη Ὀλύμπιος· μέμνηται δὲ τούτων καὶ Ἀριστοφάνης, ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητής, γεγονὼς κατὰ τὴν τοῦ Περικλέους ἡλικίαν, ἐν τοῖσδε τοῖς γεγραμμένοις·...

Περικλῆς Οὐλύμπιος
ἤστραπτεν, ἐβρόντα, ξυνεκύκα τὴν Ἑλλάδα.

καὶ πάλιν ἐν ἄλλοις Εὔπολις ὁ ποιητής·

πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσιν.
οὕτως ἐκήλει καὶ μόνος τῶν ῥητόρων
τὸ κέντρον ἐγκατέλιπε τοῖς ἀκροωμένοις.

Αἰτίαι μὲν οὖν τοῦ Πελοποννησιακοῦ πολέμου τοιαῦταί τινες ὑπῆρξαν, ὡς Ἔφορος ἀνέγραψε. τῶν δὲ ἡγουμένων πόλεων τοῦτον τὸν τρόπον εἰς πόλεμον ἐμπεσουσῶν Λακεδαιμόνιοι μὲν μετὰ τῶν Πελοποννησίων συνεδρεύσαντες ἐψηφίσαντο πολεμεῖν τοῖς Ἀθηναίοις, καὶ πρὸς τὸν Περσῶν βασιλέα πρεσβεύσαντες παρεκάλουν συμμαχεῖν αὐτοῖς, καὶ τοὺς κατὰ τὴν Σικελίαν καὶ Ἰταλίαν συμμάχους διαπρεσβευσάμενοι διακοσίαις τριήρεσιν ἔπεισαν βοηθεῖν· αὐτοὶ δὲ μετὰ τῶν Πελοποννησίων τὰς πεζικὰς δυνάμεις διατάξαντες καὶ τἆλλα τὰ πρὸς τὸν πόλεμον ἡτοιμασμένοι πρῶτοι τοῦ πολέμου κατήρξαντο. κατὰ γὰρ τὴν Βοιωτίαν ἡ τῶν Πλαταιέων πόλις αὐτόνομος ἦν καὶ 4
συμμαχίαν εἶχε πρὸς Ἀθηναίους. ἐν ταύτῃ τῶν πολιτῶν τινες καταλῦσαι τὴν αὐτονομίαν βουλόμενοι διελέχθησαν τοῖς Βοιωτοῖς, ἐπαγγελλόμενοι τὴν πόλιν ὑπὸ τὴν τῶν Θηβαίων τάξειν συντέλειαν καὶ παραδώσειν αὐτοῖς τὰς Πλαταιάς, ἐὰν αὐτοὶ στρατιώτας πέμψωσι τοὺς βοηθοῦντας. διὸ καὶ τῶν Βοιωτῶν ἀποστειλάντων στρατιώτας ἐπιλέκτους τριακοσίους νυκτὸς οἱ προδόται τούτους παρεισαγαγόντες

---

vibus recipiendis. — π. λείπεσθαι. de structura v. λείπεσθαι c. Dat. rei et Genit. pers. v. M. §. 358, 2. add. Xenoph. Anab. VII, 7, 31. — Ὀλύμπιος. Plut. Pericl. c. 8 alteram addit nominis causam et originem: οἱ δ' ἀπὸ τῆς ἐν τῇ πολιτείᾳ καὶ ταῖς στρατηγίαις δυνάμεως Ὀλύμπιον αὐτὸν οἴονται προσαγορευθῆναι. — Περικλῆς ctt. versus Aristoph. (Acharn. 535 s.) Diodorus negligenter adscripsit Eupolidi. ad verbum reddit Cic. Brut. Pericles si tenui dicendi genere uteretur, nunquam ab Aristophane *fulgere, tonare, permiscere Graeciam* dictus esset. — Εὔπολις, poeta eiusdem antiquae comoediae, Olymp. 87, 3 florere fabulasque Athenis docere coepit. qui mox adferuntur trimetri ex Eupolidis Demis servati sunt. — τοιαῦταί τινες. v. ad Lucian. dial. m. II, 3. Plut. I, 7. — Ἔφορος. Diod. l. IV init. Ἰσοκράτους ὢν μαθητής, ὑποστησάμενος γράφειν τὰς κοινὰς πράξεις, τὰ ἀπὸ τῶν Ἡρακλειδῶν καθόδου πραχθέντα συνταξάμενος ταύτην ἀρχὴν ἐποιήσατο τῆς ἱστορίας. — διακοσίαις τριήρ. cf. Thucyd. II, 7.

4. τ. πολιτῶν τινες. Thucyd. II, 2. Ναυκλείδης τε καὶ οἱ μετ' αὐτοῦ (erant autem optimates, qui cum Thebanis faciebant.) βουλόμενοι ἰδίας ἕνεκα δυνάμεως ἄνδρας τε τῶν πολιτῶν τοὺς σφίσιν ὑπεναντίους διαφθεῖραι καὶ τὴν πόλιν Θηβαίοις προσποιῆσαι. — συντέλειαν. οἱ συνδαπανῶντες καὶ συνεισφέροντες συντελεῖς ἐλέγοντο, τὸ δὲ πρᾶγμα συντέλεια καλεῖται. Etym. M. proprie igitur i. q. *contributio*, tum vero etiam de agris vel incolis eorum, qui conferant aliquid oportet, ut Pausan. l. VIII. c. 30. 2. ἐκομίσθη δὲ ἄγαλμα Ἀπόλλωνος ἐκ τῆς Φιγαλέων συντελείας. — Πλαταιάς. Πλάταια an Πλαταιαὶ dicas nihil interest; sic Θεσπία et -πιαί, Κυπαρισσία et -σιαί, al.; etsi Πλάταια forma Homero et antiquis historicis Herodoto Thucydidique magis, si bene memini, in usu fuit. —

ἐντὸς τῶν τειχῶν κυρίους τῆς πόλεως ἐποίησαν. οἱ δὲ Πλαταιεῖς βουλόμενοι τὴν πρὸς Ἀθηναίους συμμαχίαν διαφυλάττειν, τὸ μὲν πρῶτον ὑπολαβόντες παυδημεὶ τοὺς Θηβαίους παρεῖναι διεπρεσβεύσαντο πρὸς τοὺς κατειληφότας τὴν πόλιν καὶ παρεκάλουν συνθέσθαι σπονδάς. ὡς δὲ ἡ νὺξ παρῆλθε, κατανοήσαντες ὀλίγους ὄντας, συνεστράφησαν καὶ περὶ τῆς ἐλευθερίας ἐκθύμως ἠγωνίζοντο. γενομένης δὲ τῆς μάχης ἐν ταῖς ὁδοῖς τὸ μὲν πρῶτον οἱ Θηβαῖοι διὰ τὰς ἀρετὰς προεῖχον καὶ πολλοὺς τῶν ἀνθισταμένων ἀνῄρουν· τῶν δ' οἰκετῶν καὶ τῶν παίδων ἀπὸ τῶν οἰκιῶν βαλλόντων τὰς κεραμῖδας καὶ κατατιτρωσκόντων τοὺς Θηβαίους ἐτράπησαν· καί τινες μὲν αὐτῶν ἐκπεσόντες ἐκ τῆς πόλεως διεσώθησαν, τινὲς δὲ εἰς οἰκίαν τινὰ καταφυγόντες ἠναγκάσθησαν παραδοῦναι σφᾶς αὐτούς. οἱ δὲ Θηβαῖοι παρὰ τῶν ἐκ τῆς μάχης διασωθέντων πυθόμενοι τὰ συμβεβηκότα παραχρῆμα παυδημεὶ κατὰ σπουδὴν ὥρμησαν. διὰ δὲ τὸ παράδοξον ἀνετοίμων ὄντων τῶν κατὰ τὴν χώραν πολλοὶ μὲν ἀνῃρέθησαν, οὐκ ὀλίγοι δὲ ζῶντες συνελήφθησαν, ἅπασα δ' ἡ χώρα ταραχῆς καὶ διαρ-
5 παγῆς ἔγεμεν. οἱ δὲ Πλαταιεῖς διαπρεσβευσάμενοι πρὸς τοὺς Θηβαίους ἠξίουν ἀπελθεῖν ἐκ τῆς χώρας αὐτῶν καὶ ἀπολαβεῖν τοὺς αἰχμαλώτους. διὸ καὶ τῆς συνθέσεως ταύτης γεγενημένης οἱ μὲν Θηβαῖοι τοὺς αἰχμαλώτους ἀπολαβόντες καὶ τὴν λείαν ἀποδόντες εἰς τὰς Θήβας ἀπηλλάγησαν· οἱ δὲ Πλαταιεῖς πρὸς μὲν Ἀθηναίους ἔπεμψαν πρέσβεις περὶ βοηθείας, αὐτοὶ δὲ τὰ πλεῖστα ἐκόμισαν εἰς τὴν πόλιν. οἱ δὲ Ἀθηναῖοι πυθόμενοι τὰ περὶ τὰς Πλαταιὰς παραχρῆμα ἐξέπεμψαν τοὺς ἱκανοὺς στρατιώτας. οὗτοι δὲ κατὰ σπουδὴν παραγενόμενοι καὶ μὴ φθάσαντες τοὺς Θηβαίους τὰ λοιπὰ τῶν ἀπὸ τῆς χώρας κατεκόμισαν εἰς τὴν πόλιν, καὶ τέκνα καὶ γυναῖκας καὶ τὸν ὄχλον συναθροίσαντες ἐξαπέστειλαν εἰς τὰς Ἀθήνας. οἱ δὲ Λακεδαιμόνιοι κρίναντες καταλελύσθαι τὰς σπονδὰς ὑπὸ τῶν Ἀθηναίων δύναμιν ἀξιόλογον ἤθροισαν ἔκ τε τῆς Λακεδαίμονος καὶ παρὰ τῶν ἄλλων Πε-

---

Πλαταιεῖς. Thucydides fere Πλαταιῆς, non tamen ita constanter, ut nusquam deflectat a genuina illa forma Attica nominum in ευς. cf. B. §. 52. not. 2. M. §. 83. not. 4. — τῶν παίδων. Thucyd. II, 4. τῶν γυναικῶν καὶ τῶν οἰκετῶν ctt. — βαλλόντων τὰς κεραμῖδας, quod nihil deterius est pervulgatiori dictione ταῖς κεραμῖσιν, τοῖς λίθοις al. Pausan. VIII, 4 et de Articulo in hac formula fere addito ibid. IX, 4, tametsi sunt qui de more nostratium reticeant. supra Aelian. XVII. Thucyd. l. c. τῶν οἰκετῶν ... λίθοις τε καὶ κεράμῳ βαλλόντων. ibid. IV, 34. ἔβαλλον λίθοις τε καὶ τοξεύμασι καὶ ἀκοντίοις. — κατὰ τ. χώραν, in agris Plataeensium urbi vicinis. v. ad Plut. V, 1 init. — ἔγεμεν, ut Plut. V, 5.

5. ἀπολαβόντες, quin contra captivos non receperunt teste Thucydide II, 5, sed Plataeenses, quippe quod nec iureiurando nec aliis pactis constricti essent, omnes interemerunt centum et octoginta. accedit testimonium auctoris orat. in Neaer. p. 1379. οἱ Πλαταιεῖς τοὺς ἄνδρας, οὓς ἔλαβον τῶν Θηβαίων ἐν τῇ μάχῃ ζῶντας, ἀπέκτειναν. — ἐξέπεμψαν, vox etsi frequens de duce vel exercitu in expeditionem educendis, rarius ut h. l. in usum aliorum, ad auxilium aliis ferendum. cf. infra Diodor. II, 2. ibid. 4. Xenoph. de republ. Laced. VI, 3. — μὴ φθάσαντες. de μὴ particula cum Participiis iuncta dictum est ad Plut. V, 2 extr. verte: *quum se non praevertisse sensissent, comportanda curaverunt.* — κ. τέκνα κ. γυναῖκας, tametsi de certis quibusdam civium Plataeensium liberis uxoribusque dicitur, sed Articulum in his Graeci fere omittere solent. infr. Diod. II, 5. aliis exemplis firmat Krüger ad Xenoph. Anab. I, 4, 9. — τῶν ἄλλων Πελ. om-

λοποννησίων . . . . . τὴν δ' ἡγεμονίαν ἔδωκαν Ἀρχιδάμῳ τῷ βασιλεῖ. οὗτος δὲ μετὰ τῆς δυνάμεως ἐνέβαλεν εἰς τὴν Ἀττικήν· τοῖς δὲ φρουρίοις προσβολὰς ἐποιεῖτο καὶ τῆς χώρας πολλὴν ἐδῄωσε. τῶν δὲ Ἀθηναίων παροξυνομένων διὰ τὴν τῆς χώρας καταδρομὴν καὶ βουλομένων παρατάξασθαι τοῖς πολεμίοις Περικλῆς στρατηγὸς ὢν καὶ τὴν ὅλην ἡγεμονίαν ἔχων παρεκάλει τοὺς νέους ἡσυχίαν ἔχειν, ἐπαγγελλόμενος ἄνευ κινδύνων ἐκβαλεῖν τοὺς Λακεδαιμονίους ἐκ τῆς Ἀττικῆς. πληρώσας οὖν ἑκατὸν τριήρεις καὶ δύναμιν ἀξιόλογον εἰς τὰς ναῦς ἐνθέμενος καὶ στρατηγὸν ἐπιστήσας Καρκῖνον καὶ ἑτέρους τινὰς ἐξέπεμψεν εἰς τὴν Πελοπόννησον. οὗτοι δὲ πολλὴν τῆς παραθαλαττίου χώρας πορθήσαντες καί τινα τῶν φρουρίων ἑλόντες κατεπλήξαντο τοὺς Λακεδαιμονίους. διὸ καὶ τὴν ἐκ τῆς Ἀττικῆς δύναμιν ταχέως μεταπεμψάμενοι πολλὴν ἀσφάλειαν τοῖς Πελοποννησίοις παρείχοντο. τούτῳ δὲ τῷ τρόπῳ τῆς Ἀττικῆς ἐλευθερωθείσης ὁ μὲν Περικλῆς ἀποδοχῆς ἐτύγχανε παρὰ τοῖς πολίταις, ὡς δυνάμενος στρατηγεῖν καὶ τοῖς Λακεδαιμονίοις διαπολεμεῖν.

II.

Οἱ Λεοντῖνοι Χαλκιδέων μὲν ὄντες ἄποικοι, συγγενεῖς δὲ Ἀθη- 1
ναίων ἔτυχον ὑπὸ Συρακουσίων πολεμούμενοι. πιεζόμενοι δὲ τῷ πολέμῳ καὶ διὰ τὴν ὑπεροχὴν τῶν Συρακουσίων κινδυνεύοντες ἁλῶναι κατὰ κράτος ἐξέπεμψαν πρέσβεις εἰς τὰς Ἀθήνας, ἀξιοῦντες τὸν δῆ-

---

nes enim Peloponnesii socii fuerunt, ut Diodorus alio loco docet et Thucydides II, 9 πλὴν Ἀργείων καὶ Ἀχαιῶν. τούτοις δ' ἐς ἀμφοτέρους φιλία ἦν. — Ἀρχιδάμῳ, qui tamen quantopere paci consuluerit et, ne quid festinantius ageretur, prospexerit, legimus in eiusdem oratione. Thuc. I, 80—85. cl. II, 11. — τῆς χώρας πολλήν, sic mox πολλὴν τῆς παραθαλαττίου χώρας, qua ratione Adiectivum extollitur atque potestate augetur. Thuc. II, 56. ἔτεμον τῆς γῆς τὴν πολλήν. v. supra ad Long. II, 2. add. Bernhardy. w. Synt. p. 154. — βουλομένων παρατάξασθαι. silentio hic praeterit Diodorus quae in hoc ipsum, quod indicat, tempus incidunt, proelia quaedam equestria Atheniensium cum Peloponnesiis Boeotisque commissa et oppugnationem Oenoes castelli Attici. Thuc. II, 18. 22. — τὴν ὅλην ἡγ. et ὅλην τὴν ἡγ. vel τὴν ἡγ. ὅλην quid inter se differant, quum idem fere intersit inter et τὴν πᾶσαν et πᾶσαν τὴν ἡγ., v. apud B. §. 127, 6. — ἑτέρους τινάς. praeerant classi Atheniensium cum Carcino Proteas Epiclis et Socrates Antigenis filius, quorum vis maritima — constitit autem in centum navibus — mox aucta est quinquaginta triremibus Corcyraeorum. Thuc. II, 23. 35. — καί τινα τῶν φρουρίων, videntur haec de toto tractu orae maritimae, non de sola Peloponneso intelligenda esse. ceperunt autem Athenienses praeter loca quaedam munita Spartanorum et Eleorum, quae devastabant, duo praesertim Acarnaniae oppida Solium et Astacum ibique rerum potiti sunt. Thuc. II, 25. 30.

II. (Diod. Lib. XII. c. 53. p. 313 s.) Leontini bello cum Syracusanis suscepto vexati Gorgiam dicendi facultate validissimum Athenas mittunt auxilia petituri. Olymp. 88, 2. eodem fere tempore (Ol. 88, 1.), ubi Peloponnesii tertio invaserant fines Atticos, Mitylenaei ab Atheniensibus deficiunt et in potestatem redacti sorte dividuntur.

1. Χαλκιδέων .. ἄποικοι. Thucyd. 6, 3. οἱ Χαλκιδεῖς .. ἔτει πέμπτῳ μετὰ Συρακούσας οἰκισθείσας Λεοντίνους ... οἰκίζουσι. urbs igitur condita est Olymp. 11, 1. a. C. n. 736. — ὑπεροχήν. v. ad Diod. I, 2. — ἁλῶναι κατὰ κράτος, verba sunt ab urbe vi capienda ad defendentes trans-

μον βοηθῆσαι τὴν ταχίστην καὶ τὴν πόλιν ἑαυτῶν ἐκ τῶν κινδύνων ῥύσασθαι. ἦν δὲ τῶν ἀπεσταλμένων ἀρχιπρεσβευτὴς Γοργίας ὁ ῥήτωρ, δεινότητι λόγου πολὺ προέχων πάντων τῶν καθ' ἑαυτόν. οὗτος καὶ τέχνας ῥητορικὰς πρῶτος ἐξεῦρε καὶ κατὰ τὴν σοφιστείαν τοσοῦτον τοὺς ἄλλους ὑπερέβαλεν, ὥστε μισθὸν λαμβάνειν παρὰ τῶν μαθητῶν μνᾶς ἑκατόν. οὗτος οὖν καταντήσας εἰς τὰς Ἀθήνας καὶ παραχθεὶς εἰς τὸν δῆμον διελέχθη τοῖς Ἀθηναίοις περὶ τῆς συμμαχίας, καὶ τῷ ξενίζοντι τῆς λέξεως ἐξέπληξε τοὺς Ἀθηναίους ὄντας εὐφυεῖς καὶ φιλολόγους. πρῶτος γὰρ ἐχρήσατο τοῖς τῆς λέξεως σχηματισμοῖς περιττοτέροις καὶ τῇ φιλοτεχνίᾳ διαφέρουσιν ἀντιθέτοις καὶ ἰσοκώλοις καὶ παρίσοις καὶ ὁμοιοτελεύτοις καί τισιν ἑτέροις τοιούτοις, ἃ τότε μὲν διὰ τὸ ξένον τῆς κατασκευῆς ἀποδοχῆς ἠξιοῦτο, νῦν δὲ περιεργίαν ἔχειν δοκεῖ καὶ φαίνεται καταγέλαστον πλεονάκις καὶ κατακόρως τιθέμενον. τέλος πείσας τοὺς Ἀθηναίους συμμαχῆσαι τοῖς Λεοντίνοις, οὗτος μὲν θαυμασθεὶς ἐν ταῖς Ἀθήναις ἐπὶ τέχνῃ ῥητορικῇ
2 τὴν εἰς Λεοντίνους ἐπάνοδον ἐποιήσατο. Ἀθηναῖοι δὲ καὶ πάλαι μὲν ἦσαν ἐπιθυμηταὶ τῆς Σικελίας διὰ τὴν ἀρετὴν τῆς χώρας, καὶ τότε δ' ἀσμένως προσδεξάμενοι τοὺς τοῦ Γοργίου λόγους ἐψηφίσαντο συμμαχίαν ἐκπέμπειν τοῖς Λεοντίνοις, πρόφασιν μὲν φέροντες τὴν τῶν συγγενῶν χρείαν καὶ δέησιν, τῇ δ' ἀληθείᾳ τὴν νῆσον σπεύδοντες κατακτήσασθαι. καὶ γὰρ οὐ πολλοῖς ἔτεσι πρότερον τῶν τε Κορινθίων καὶ τῶν Κερκυραίων διαπολεμούντων μὲν πρὸς ἀλλήλους, φιλοτιμηθέντων δ' ἀμφοτέρων συμμάχους λαβεῖν τοὺς Ἀθηναίους προέκρινεν ὁ δῆμος συμμαχεῖν τοῖς Κερκυραίοις διὰ τὸ τὴν Κέρκυραν εὐφυῶς κεῖσθαι πρὸς τὸν εἰς Σικελίαν πλοῦν. καθόλου γὰρ οἱ Ἀθηναῖοι κατακτησάμενοι τὴν τῆς θαλάττης ἡγεμονίαν, καὶ μεγάλας

---

lata, ut Xen. hist. Gr. IV, 8, 8. οἱ Κυθήριοι φοβηθέντες, μὴ κατὰ κράτος ἁλοῖεν, ἐξέλιπον τὰ τείχη, quamquam ἁλίσκεσθαι de animatis cuiusvis generis dici nemo ignorat. — πρῶτος ἐξεῦρε. arte dicendi primi dicuntur valuisse Corax et Tisias Siculi, quos plerique testantur Gorgiam nostrum Empedoclis discipulum insecutum esse. hinc legimus apud Sextum Empiricum, Ἐμπεδοκλέα ὁ Ἀριστοτέλης φησὶ πρῶτον ῥητορικὴν κεκινηκέναι. — τοσοῦτον, ut infra §. 5 extr. τοιοῦτον, forma neutr. gen. v. ad Aelian. XV. — μνᾶς ἑκατόν. sic Protagoras Abderites et Zeno Eleates centum exigebant minas ab auditoribus (2250 Imperialium.), ut haec merces videatur usitata fuisse sophistis et eloquentiae magistris usque ad tempora Socratis doctrinam argento rependi posse negantis. — καταντήσας, vocabulum ea potestate, qua hic adhibetur, *venire in aliquem locum* Diodoro maxime frequentatur, num aliis quoque valde dubito, nisi forte libros sacros testes excitaveris harum rerum. — τῷ ξενίζοντι τῆς λ. i. e. *nova atque minus usitata dicendi ratione*, quum ξενίζειν alias fere oppositum sit nativo Atticismi colori, οὐκ Ἀττικῶς διαλέγεσθαι, ἀλλὰ ξενικῶς. Harpocrat. Suid. al. de vi Participii neutr. gen. v. ad Achill. Tat. 3. Pausan. III, 2. Plut. IV, 4. — ἀντιθέτοις καὶ ἰσοκ. Cic. orat. c. 52. *paria paribus adiuncta et similiter definita itemque contrariis relata contraria ... Gorgias primus invenit, sed his est usus intemperantius.*

2. πάλαι μὲν ἦσαν ctt. iam illo tempore, quo primum Atheniences intenderant animum in societatem cum Corcyraeis faciendam, ex mente civium suorum exhibet Thucydides I, 44, id quod Diodorus mox profert, ἅμα δὲ τῆς τε Ἰταλίας καὶ Σικελίας καλῶς ἐφαίνετο αὐτοῖς ἡ νῆσος (Κέρκυρα) ἐν παράπλῳ κεῖσθαι. — πρόφασιν μ. φέροντες, *praetexentes*, *obtentum habentes*, προφασιζόμενοι. — τὴν τῆς θαλάττης ἡγεμονίαν. vid. Plut. V,

πράξεις ἐπιτελεσάμενοι συμμάχων τε πολλῶν εὐπόρουν καὶ δυνάμεις ἐπιτελεσάμενοι μεγίστας ἐκέκτηντο πόλεις· καὶ χρημάτων τε πλῆθος ἕτοιμον παρέλαβον μετακομίσαντες ἐκ Δήλου τὰ κοινὰ χρήματα τῶν Ἑλλήνων ὄντα πλείω τῶν μυρίων ταλάντων· ἡγεμόσι τε μεγάλοις καὶ διὰ στρατηγίαν δεδοκιμασμένοις ἐχρήσαντο καὶ διὰ τούτων ἁπάντων ἤλπιζον καταπολεμήσειν μὲν τοὺς Λακεδαιμονίους, πάσης δὲ τῆς Ἑλλάδος τὴν ἡγεμονίαν περιπεποιημένοι ἀνθέξεσθαι τῆς Σικελίας. διὰ 3
ταύτας οὖν τὰς αἰτίας ψηφισάμενοι βοηθεῖν τοῖς Λεοντίνοις ἐξέπεμψαν εἰς τὴν Σικελίαν ναῦς ἑκατὸν καὶ στρατηγοὺς Λάχητα καὶ Χαροιάδην. οὗτοι δὲ πλεύσαντες εἰς τὸ Ῥήγιον προσελάβοντο ναῦς ἑκατὸν παρὰ τῶν Ῥηγίνων καὶ αὐτῶν Χαλκιδέων ἀποίκων ὄντων· ἐντεῦθεν δ' ὁρμώμενοι τὸ μὲν πρῶτον τὰς Λιπαραίων νήσους κατέδραμον διὰ τὸ συμμαχεῖν τοὺς Λιπαραίους τοῖς Συρακοσίοις, μετὰ δὲ ταῦτα ἐπὶ Λοκροὺς πλεύσαντες καὶ πέντε νεῶν Λοκρίδων κυριεύσαντες φρούριον ἐπολιόρκησαν. ἐπιβοηθησάντων δὲ τῶν πλησιοχώρων Σικελῶν τοῖς Μυλαίοις ἐγένετο μάχη, καθ' ἣν Ἀθηναῖοι νικήσαντες ἀπέκτειναν μὲν πλείους τῶν χιλίων, ἐζώγρησαν δὲ οὐκ ἐλάττους τῶν ἑξακοσίων· εὐθὺς δὲ καὶ τὸ φρούριον ἐκπολιορκήσαντες κατέσχον. τούτων δὲ πραττομένων κατέπλευσαν νῆες τετταράκοντα, ἃς ἀπέστειλεν ὁ δῆμος κρίνων γενναιότερον ἅπτεσθαι τοῦ πολέμου. ἡγεῖτο δ' αὐτῶν Εὐρυμέδων καὶ Σοφοκλῆς. ἀθροισθεισῶν δὲ τῶν τριήρων εἰς ἕνα τόπον ἀξιόλογος ἤδη στόλος κατεσκεύαστο συγκείμενος ἐκ τριήρων πεντήκοντα καὶ διακοσίων. τοῦ δὲ πολέμου χρονίζοντος οἱ Λεοντῖνοι διαπρεσβευσάμενοι πρὸς τοὺς Συρακουσίους διελύθησαν· διόπερ αἱ μὲν τῶν Ἀθηναίων τριήρεις ἀπέπλευσαν εἰς τὴν οἰκείαν· οἱ δὲ Συρακούσιοι τοῖς Λεοντίνοις μεταδόντες τῆς πολιτείας ἅπαντας Συρακουσίους ἐποίησαν καὶ τὴν πόλιν φρούριον ἀπέδειξαν τῶν Συρακουσίων. καὶ τὰ μὲν κατὰ τὴν Σικελίαν ἐν τούτοις ἦν.

---

2 init. ibique not. — *ὄντα πλείω τῶν μυρίων τ.* alio loco, Diodorus *τάλαντα σχεδὸν ὀκτακισχίλια.* Thucydides nihil, quod sciam, de hac re. v. tamen I, 96. Boeckhius revocatis ad nostrae pecuniae rationes e Delo comportatis effecisse putat 2,475,000 Imperial. s. 1800 talentorum. Athen. Sthhltg. I. p. 475. — *ἀνθέξεσθαι*, c. Genit. v. M. §. 330. infr. 4.

3. *ἐξέπεμψαν .. ναῦς ἑκατόν.* Thucyd. III, 86. *Ἀθηναῖοι εἴκοσι ναῦς ἔστειλαν ἐς Σικελίαν καὶ Λάχητα τὸν Μελανώπου στρατηγὸν αὐτῶν καὶ Χαροιάδην τὸν Εὐφιλήτου.* comp. Iustin. hist. IV, 3. — *καὶ αὐτῶν .. ὄντων, qui et ipsi Chalcidensium erant coloni*, i. e. aeque ac Leontini. cf. Thucyd. III, 86. *καὶ αὐτὸς* v. ad Aelian. II. — *φρούριον ἐπολιόρκ.* constat ex Thucyd. III, 90, ut primus aperuit Wesseling, Mylas hic indicari oppidum maritimum in ora boreali Siciliae, id quod et sequentia magis firmare videntur, quam quod alii conantur e Thucyd. III, 115 evincere castellum quoddam Locrensium a Lachete captum. — *Σικελῶν*, dicit Messenios auxilium obsessis ferentes, unde *Σικελιωτῶν* ex vulgari, quam statuunt, differentia requireres. *Σικελὸς ὁ ἐξ αὐτῆς τῆς Σικελίας ὤν· Σικελιώτης δὲ ὁ Σικελὸς μὲν μὴ ὤν, τὴν δὲ χώραν ταύτην οἰκῶν.* Thom. Mag. — *γεννναιότερον, fortius, magis strenue.* hinc Etym. M. *γενναῖος, ἀνδρεῖος, μέγας.* Soph. Ai. 918. *γενναία δύη*, ubi Schol. *ἰσχυρά.* Xenoph. hist. Gr. V, 4, 17. *πολλὰ μὲν γὰρ καὶ ἄλλα γεννναῖα ἐποίησεν (ἄνεμος), ἀτὰρ καὶ ... πολλοὺς ὄνους κατεκρήμνισεν αὐτοῖς σκεύεσι*, ubi Gloss. *βίαια.* — *τῶν τριήρων*, vid. B. §. 49. not. 4. — *τῆς πολιτείας.* uberius de his agit Thucyd. 5, 4. unde manifestum fit Olympiade demum 89, 2, hoc est decimo belli Peloponnesiaci anno civitatem impertitam esse Leontinis.

4 Κατὰ δὲ τὴν Ἑλλάδα Λέσβιοι μὲν ἀπέστησαν ἀπὸ τῶν Ἀθηναίων. ἐνεκάλουν γὰρ αὐτοῖς, ὅτι βουλομένων συνοικίζειν πάσας τὰς κατὰ τὴν Λέσβον πόλεις εἰς τὴν Μιτυληναίων πόλιν διεκώμισαν. διὸ καὶ πρὸς Λακεδαιμονίους ἀποστείλαντες πρεσβευτὰς καὶ συμμαχίαν συνθέμενοι συνεβούλευον τοῖς Σπαρτιάταις ἀντέχεσθαι τῆς κατὰ θάλατταν ἡγεμονίας. πρὸς ταύτην δὲ τὴν ἐπιβολὴν ἐπηγγείλαντο πολλὰς τριήρεις εἰς τὸν πόλεμον παρέξεσθαι. ἀσμένως δὲ τῶν Λακεδαιμονίων ὑπακουσάντων καὶ περὶ τὴν κατασκευὴν τῶν τριήρων γενομένων Ἀθηναῖοι φθάσαντες αὐτῶν τὴν παρασκευὴν παραχρῆμα δύναμιν ἐξέπεμψαν εἰς τὴν Λέσβον, πληρώσαντες ναῦς τετταράκοντα καὶ στρατηγὸν προχειρισάμενοι Κλεινιππίδην. οὗτος δὲ προσλαβόμενος βοήθειαν παρὰ τῶν συμμάχων κατέπλευσεν εἰς τὴν Μιτυλήνην. γενομένης δὲ ναυμαχίας οἱ μὲν Μιτυληναῖοι λειφθέντες συνεκλείσθησαν εἰς πολιορκίαν. τῶν δὲ Λακεδαιμονίων ψηφισαμένων βοηθεῖν τοῖς Μιτυληναίοις καὶ παρασκευαζομένων στόλον ἀξιόλογον ἔφθασαν Ἀθηναῖοι ναῦς ἄλλας σὺν ὁπλίταις χιλίοις ἀποστείλαντες εἰς Λέσβον τούτων δ' ἡγούμενος Πάχης ὁ Ἐπικλήρου, κατανταήσας εἰς Μιτυλήνην καὶ τὴν προϋπάρχουσαν δύναμιν παραλαβὼν περιετείχισε τὴν πόλιν καὶ συνεχεῖς προσβολὰς ἐποιεῖτο οὐ μόνον κατὰ γῆν, ἀλλὰ καὶ κατὰ θάλατταν. Λακεδαιμόνιοι δὲ ἐξαπέστειλαν εἰς τὴν Μιτυλήνην τριήρεις μὲν τετταράκοντα πέντε καὶ στρατηγὸν Ἀλκίδαν, εἰς δὲ τὴν Ἀττικὴν εἰσέβαλον μετὰ τῶν συμμάχων. ἐπελθόντες δὲ καὶ τοὺς παραλελειμμένους τόπους τῆς Ἀττικῆς καὶ δηώσαντες τὴν χώραν ἐπα-
5 νῆλθον εἰς τὴν οἰκείαν. Μιτυληναῖοι δὲ τῇ σιτοδείᾳ καὶ τῷ πολέμῳ πιεζόμενοι καὶ στασιάζοντες πρὸς ἀλλήλους καθ' ὁμολογίαν παρέδωκαν τὴν πόλιν τοῖς πολιορκοῦσιν. ἐν δὲ ταῖς Ἀθήναις τοῦ δήμου βουλευομένου, ὡς χρὴ προσενέγκασθαι τοῖς Μιτυληναίοις, Κλέων ὁ δημαγωγός, ὢμὸς ὢν τὸν τρόπον καὶ βίαιος, παρώξυνε τὸν δῆμον

---

4. βουλομένων συνοικίζειν ctt. haec detorta sunt sive falso interpretando loco Thucydidio, sive non satis recordando. etenim Athenienses non in unam omnes congregandos urbem censuerunt, sed a Methymnaeis aliisque quibusdam ad credendum adducti Mitylenaeos tale quid conari, legatos miserunt τὸ τὴν Λέσβον εἰς τὴν Μιτυλήνην ξυνοικίζειν prohibituros. qui quum nihil efficerent, bellum indictum. Thuc. III, 2. 3. cl. Arist. Polit. V, 3, 20. Göttl. ceterum, ut hoc semel moneam, cum plerisque libris exarandum curavi Μιτυλήνη, Μιτυληναῖοι; etsi non diffiteor adminicula esse haud levia alterius scripturae (Μυτιλήνη) quum quae legimus apud veteres Grammaticos, ἀπὸ γὰρ Μύτωνος τοῦ κτίστου Μυτιλήνη καλεῖται, tum praesertim nummos antiquos. — Κλειναιππίδην. Thuc. l. c. Κλεϊππίδης δὲ ὁ Δεινίου τρίτος αὐτὸς ἐστρατήγει. — παρὰ τῶν συμμάχων. de quibus sociis nunc dicat, non adparet. Imbrii et Lemnii postea quidem a Cleinippide arcessebantur, quum Athenienses rem pace componi non posse cognoverunt, Thuc. III, 5. 6. — λειφθέντες, inferiores quum essent. λείπεσθαι, ἡττᾶσθαι. Suid. — ὁ Ἐπικλήρου. Thuc. III, 18. πέμπουσι Πάχητα τὸν Ἐπικούρου στρατηγόν. — καταντήσας. v. supra ad §. 1. — περιετείχισε ctt. Thuc. l. c. περιτειχίζουσι Μιτυλήνην ἐν κύκλῳ ἁπλῷ τείχει ... καὶ ἡ μὲν Μιτυλήνη κατὰ κράτος ἤδη ἀμφοτέρωθεν καὶ ἐκ γῆς καὶ ἐκ θαλάσσης εἴργετο. — τετταράκοντα πέντε. Thuc. III, 26. δύο καὶ τεσσαράκοντα ναῦς.

5. προσενέγκασθαι, cum Dat. ut saepius legere meministis ἐπιφέρεσθαι πρός τινα, de iis qui aliquem adgredinntur. cf. ad. Plut. V, 4 init. — δημαγωγός, id quod apud Livium III, 72 concionalis, de eo qui populum ad

ἀποφαινόμενος δεῖν τοὺς Μιτυληναίους αὐτοὺς μὲν ἡβηδὸν ἅπαντας ἀποκτεῖναι, τέκνα δὲ καὶ γυναῖκας ἐξανδραποδίσασθαι. τέλος δὲ πεισθέντων τῶν Ἀθηναίων κατὰ τὴν γνώμην τε τοῦ Κλέωνος ψηφισαμένων ἀπεστάλησαν εἰς τὴν Μιτυλήνην οἱ τὰ δοχθέντα τῷ δήμῳ δηλώσοντες τῷ στρατηγῷ. τοῦ δὲ Πάχητος ἀναγνόντος τὸ ψήφισμα ἦλθεν ἐναντίον τῷ προτέρῳ. ὁ δὲ Πάχης γνοὺς τὴν μετάνοιαν τῶν Ἀθηναίων ἐχάρη καὶ τοὺς Μιτυληναίους συναγαγὼν εἰς ἐκκλησίαν ἀπέλυσε τῶν ἐγκλημάτων, ἅμα δὲ καὶ τῶν μεγίστων φόβων. Ἀθηναῖοι δὲ τῆς Μιτυλήνης τὰ τείχη περιελόντες τὴν Λέσβον ὅλην πλὴν τῶν Μεθυμναίων χώρας κατεκληρούχησαν. ἡ μὲν οὖν Λεσβίων ἀπόστασις ἀπ' Ἀθηναίων τοιοῦτον ἔσχε τὸ τέλος.

III.

Ὁ μὲν Ἀρχέλαος φιλοτιμότερον πολιορκήσας τὴν Πύδναν καὶ κρατήσας μετῴκισεν ταύτην ἀπὸ θαλάττης ὡς εἴκοσι σταδίους, ὁ δὲ Μίνδαρος ἤδη τοῦ χειμῶνος λήγοντος συνήγαγε τὰς πανταχόθεν τριήρεις· ἔκ τε γὰρ τῆς Πελοποννήσου πολλαὶ παρεγενήθησαν καὶ παρὰ τῶν ἄλλων συμμάχων ὁμοίως. οἱ δ' ἐν Σηστῷ τῶν Ἀθηναίων στρατηγοὶ πυνθανόμενοι τὸ μέγεθος τοῦ συναγομένου τοῖς πολεμίοις στόλου περιδεεῖς ἦσαν, μήποτε πάσαις ταῖς τριήρεσιν ἐπιπλεύσαντες οἱ πολέμιοι κυριεύσωσι τῶν νεῶν. ὅθεν αὐτοὶ μὲν καθελκύσαντες τὰς οὔσας ἐν Σηστῷ ναῦς περιέπλευσαν τὴν Χερρόνησον καὶ καθωρμίσθησαν εἰς Καρδίαν· εἰς δὲ Θρᾴκην πρὸς Θρασύβουλον καὶ Θηραμένην ἔπεμψαν τριήρεις παρακαλοῦντες μετὰ τοῦ στόλου τὴν ταχίστην 1

---

se pellicit eiusque studia obstricta tenet, τῷ πλήθει πιθανώτατος, ut Thucydides de eodem Cleone. hinc Arist. Polit. V, 4. οἱ μὲν κόλακες παρὰ τυράννοις, οἱ δὲ δημαγωγοὶ παρὰ τοῖς δήμοις. — ἡβηδὸν ἅπ. ἀποκτεῖναι, i. e. *omnes puberes*, ut alio loco Diodorus τοὺς ἡβῶντας ἀποσφάξαι, Thucyd. III, 35 ἅπαντας, ὅσοι ἡβῶσι. — ἐναντίον τῷ πρ. Diodotus fuit ille, qui ferociae Cleonis adversabatur, ita ut cives poenitentia ducti cruenta ista sententia abrogata contrarium decretum sancirent. ipsi vero defectionis auctores, numero plures mille, morte adficiebantur. — κατεκληρούχησαν, agri Mitylenaeorum in tria millia partium s. portionum (κλῆροι.) sorte distributi civibus Atheniensium adsignabantur, ab ipsis Lesbiis utpote in servitutem addictis colebantur. Thucyd. III, 50.

III. (Diod. L. XIII. c. 49. p. 356 s.) Describitur pugna quum terra tum mari apud Cyzicum urbem Mysiae commissa, qua Alcibiades dux, postquam denuo se in civium favorem insinuavit, Lacedaemonios funditus vincit. Olymp. 92, 3. 410 a. C. n.

1. Ἀρχέλαος, rex Macedoniae in venando vulneratus obiit, postquam septem annos regnavit. Pydna in eiusdem potestatem redigitur initio anni 410 et auxilia viginti navium Atheniensium Theramene duce Pydnaeis missa re infecta se in Thraciam recipiunt, ubi Thrasybulo arma coniungant. — μετῴκισεν αὐτήν, videntur haec de incolis tantum Pydnae intelligi debere; nam ipsa quidem urbs quod sciam nunquam non fuit ἐν τῇ παραλίᾳ locata. — περιδεεῖς ἦσαν, μήποτε .. κυριεύσωσι, *admodum erant verentes, ne quando hostes toto simul agmine irrumpente capturi essent naves*, ubi Aoristi Coniunctivus ut supra Lucian. I, 3 post tempus praeteritum ex eo explicandus, quod disputat M. §. 518, 1. Herm. ad Viger. p. 850. — Καρδίαν. Καρδία πόλις τῆς ἐν Θρᾴκῃ Χερρονήσου. Stephan. Byz. de urbibus.

ἥκειν. μετεπέμψαντο δὲ τὸν Ἀλκιβιάδην ἐκ Λέσβου μεθ' ὧν εἶχε νεῶν, καὶ συνήχθη πᾶς ὁ στόλος εἰς ἕνα τόπον σπευδόντων τῶν στρατηγῶν περὶ τῶν ὅλων διακινδυνεῦσαι. Μίνδαρος δ' ὁ τῶν Λακεδαιμονίων ναύαρχος πλεύσας εἰς Κύζικον πᾶσαν τὴν δύναμιν ἐξεβίβασε καὶ τὴν πόλιν περιεστρατοπέδευσε. παρεγενήθη δε καὶ Φαρνάβαζος μετὰ πολλῆς στρατιᾶς, μεθ' οὗ πολιορκήσας Μίνδαρος εἷλε τὴν Κύζικον κατὰ κράτος. οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ κρίναντες ἐπὶ Κύζικον πλεῖν ἀνήχθησαν μετὰ πασῶν τῶν νεῶν καὶ τὴν Χερρόνησον περιέπλεον. καὶ πρῶτον μὲν εἰς Ἐλεοῦντα παρεγένοντο, μετὰ δὲ ταῦτα ἐφιλοτιμήθησαν νυκτὸς τὴν τῶν Ἀβυδηνῶν πόλιν παραπλεῦσαι πρὸς τὸ μὴ κατανοηθῆναι τὸ πλῆθος τῶν νεῶν ὑπὸ τῶν πολεμίων. ἐπεὶ δ' ἦλθον εἰς Προικόννησον, τὴν μὲν νύκτα κατηυλίσθησαν ἐν ταύτῃ, τῇ δ' ὑστεραίᾳ τοὺς μὲν ἐπιβεβηκότας στρατιώτας διεβίβασαν εἰς τὴν τῶν Κυζικηνῶν χώραν καὶ τῷ στρατηγοῦντι τούτων Χάρητι προσέταξαν ἄγειν τὸ στρατόπεδον ἐπὶ τὴν πόλιν.

2 Αὐτοὶ δ' εἰς τρία μέρη διείλοντο τὸ ναυτικόν, καὶ τοῦ μὲν ἦρχεν Ἀλκιβιάδης, τοῦ δὲ Θηραμένης, τοῦ δὲ τρίτου Θρασύβουλος. Ἀλκιβιάδης μὲν οὖν μετὰ τοῦ κατ' αὐτὸν μέρους πολὺ προέπλευσε τῶν ἄλλων βουλόμενος προκαλέσασθαι τοὺς Λακεδαιμονίους εἰς ναυμαχίαν· Θηραμένης δὲ καὶ Θρασύβουλος ἐφιλοτέχνουν εἰς τὸ κυκλώσασθαι καὶ τῆς εἰς τὴν πόλιν ἐπανόδου τοὺς ἐκπλεύσαντας εἴρξαι. Μίνδαρος δὲ τὰς μὲν Ἀλκιβιάδου ναῦς μόνας ὁρῶν προσφερομένας, τὰς δ' ἄλλας ἀγνοῶν κατεφρόνησε, καὶ ναυσὶν ὀγδοήκοντα θρασέως ἐκ τῆς πόλεως τὸν ἐπίπλουν ἐποιήσατο. ὡς δὲ πλησίον ἐγένετο τῶν περὶ τὸν Ἀλκιβιάδην, οἱ μὲν Ἀθηναῖοι, καθάπερ ἦν αὐτοῖς παρηγγελμένον, προσεποιοῦντο φεύγειν· οἱ δὲ Πελοποννήσιοι περιχαρεῖς ὄντες ἠκολούθουν κατὰ σπουδὴν ὡς νικῶντες. ὁ δὲ Ἀλκιβιάδης ἐπει-

---

— μεθ' ὧν εἶχε ν. de simili Attractione v. ad Aelian. XXVIII. — περιεστρατοπέδευσε, forma activa minus frequens quam media, etsi Diodoro, Polybio aliisque labentis Graecitatis scriptoribus satis accepta. — κρίναντες, cum Infin. *navigandum censentes, statuentes apud animos.* Xen. Anab. III, 1, 7. αὐτὸς κρίνας ἰτέον εἶναι. — Ἐλεοῦντα. sic plerique omnes inde a Xenophonte oppidum illud Chersonesi Thraciae exaravisse videntur, antiquiores vero (Herod. 6, 140. Thucyd. 8, 103.) perstant in altera illa scriptura Ἐλαιοῦς. — πρὸς τὸ μὴ κατανοηθῆναι ctt. i. e. *eo consilio ut navium numerum celarent Lacedaemonios*, ut saepius πρὸς Praepositio de eo, quod quis adpetendum vel perficiendum sibi sumit. cf. Bernhardy w. Synt. p. 265. — Προικόννησον. compositum putant ex νῆσος et προίξ. ἡ πάσαις ταῖς νήσοις προῖκα τῶν μαρμάρων μεταδοῦσα. Etym. M. alii — rectius, an secus non facile erit iudicare — ex πρόξ s. προκάς, unde Προκόννησος, Rehinsel.

2. εἰς τρία μ. διείλοντο, verba dividendi et distribuendi frequentius et genuino, ut putant, Atticismo familiarius requirunt duo Accusativos omissa Praepositione. v. M. §. 419. i. Bernhardy l. c. p. 127. — μετὰ τοῦ κατ' αὐτὸν μ. *cum suo sibi demandato agmine*, quam eandem significationem etiam τὸ μέρος, *ea quae cuique tributa est pars*, sibi vindicat solo Articulo adiecto. v. Bernhardy l. c. p. 315. — ἐφιλοτέχνουν εἰς τὸ κ. neque minus recte περί τι, πρός τι vel denique Infinitivus verbo illi adnectitur apud Atticos huius aetatis, quum antea vix unquam deprehenderis. — εἴρξαι. Thom. Mag. οὐ μόνον εἴργω σε τοῦδε καὶ εἴργω σου τόδε ἀντὶ τοῦ κωλύω, ἀλλὰ καὶ εἴργω σοι τόδε οἱονεὶ ἀποσοβῶ σου. add. Bernhardy l. c. p. 181. — Μίνδαρος. cf. Thucyd. 8, 85. — ὀγδοήκοντα. Xenoph. hist. Gr. I, 1. ubi in transcursu et minus, opinor, diligenter haec omnia narrantur: ναυσὶν ἑξήκοντα. — προσεποιοῦντο. v. ad Aesop. fab. VI. — ὡς νικῶντες,

δὴ τῆς πόλεως αὐτοὺς ἀπέσπασε πορρωτέρω, τὸ σύσσημον ᾖρεν. οὗ γενηθέντος αἱ μετ' Ἀλκιβιάδου τριήρεις ἐξαίφνης πρὸς ἕνα καιρὸν ἐπέστρεψαν ἀντίπρωροι τοῖς πολεμίοις· Θηραμένης δὲ καὶ Θρασύβουλος ἔπλεον ἐπὶ τὴν πόλιν καὶ τὸν ἐπίπλουν τῶν Λακεδαιμονίων ὑπετέμοντο. οἱ δὲ μετὰ τοῦ Μινδάρου καθορῶντες ἤδη τὸ πλῆθος τῶν πολεμίων νεῶν καὶ μαθόντες ἑαυτοὺς κατεστρατηγημένους περίφοβοι καθειστήκεισαν. τέλος δὲ τῶν Ἀθηναίων πανταχόθεν ἐπιφαινομένων καὶ τῆς εἰς τὴν πόλιν ἐφόδου τοὺς Πελοποννησίους ἀποκλεισάντων ὁ Μίνδαρος ἠναγκάσθη φυγεῖν τῆς χώρας πρὸς τοὺς καλουμένους Κλήρους, ὅπου καὶ Φαρνάβαζος εἶχε τὴν δύναμιν· Ἀλκιβιάδης δὲ κατὰ σπουδὴν διώκων ἃς μὲν κατέδυεν, ἃς δὲ κατατιτρώσκων ὑποχειρίους ἐλάμβανε, τὰς δὲ πλείστας πρὸς αὐτῇ τῇ γῇ καθορμισμένας καταλαβὼν ἐπέβαλλε σιδηρᾶς χεῖρας, καὶ ταύτας ἀποσπᾶν ἀπὸ τῆς γῆς ἐπειρᾶτο. παραβοηθούντων δὲ τῶν πεζῶν ἀπὸ τῆς γῆς τοῖς Πελοποννησίοις πολὺς ἐγένετο φόνος, ὡς ἂν τῶν μὲν Ἀθηναίων διὰ τὸ προτέρημα θρασύτερον ἢ συμφορώτερον ἀγωνιζομένων, τῶν δὲ Πελοποννησίων πολὺ τοῖς πλήθεσιν ὑπερεχόντων. καὶ γὰρ τὸ τοῦ Φαρναβάζου στρατόπεδον παρεβοήθει τοῖς Λακεδαιμονίοις, καὶ τὴν μάχην ἐκ τῆς γῆς ποιούμενον τὴν στάσιν εἶχεν ἀσφαλεστέραν. Θρασύβουλος δὲ θεωρῶν τοὺς πεζοὺς τοῖς πολεμίοις βοηθοῦντας, καὶ τοὺς λοιπούς τῶν ἐπιβατῶν ἀπεβίβασεν εἰς τὴν γῆν σπεύδων βοηθῆσαι τοῖς περὶ τὸν Ἀλκιβιάδην· τῷ δὲ Θηραμένει παρεκελεύσατο τοῖς περὶ Χάρητα πεζοῖς συνάψαντα τὴν ταχίστην ἥκειν, ὅπως πεζῇ διαγωνίσωνται. τῶν δὲ Ἀθηναίων περὶ ταῦτα γινομένων Μίνδαρος ὁ 3
τῶν Λακεδαιμονίων ἀφηγούμενος αὐτὸς μὲν πρὸς Ἀλκιβιάδην ὑπὲρ τῶν ἀφελκομένων διηγωνίζετο, Κλέαρχον δὲ τὸν Σπαρτιάτην μετὰ

---

velut iam vicissent, victores essent. de *νικᾶν, νικῶν* ctt. significatione Aoristi v. Krüg. Xen. Anab. I, 8, 12. Ed. 1830. — *ἀντίπρωροι.* Dind. dedit *ἀντίπρωροι* praeeunte Hermanno ad Soph. Phil. 480. — *μαθόντες*, cum Participio ut h. l. et cum Infinitivo quid inter se differat vid. apud M. §. 530, 2. §. 549, 3. comp. supra Lucian. II, 2 *αἰσθάνεσθαι* c. Part. — *καθειστήκεισαν. καθίστασθαι* h. l. ut veteres Grammatici solent interpretari pro *εἶναι*, in einen Zustand versetzt werden. Thom. Magist. *καθίσταμαι ἄρχων ἤτοι γίνομαι.* — *φυγεῖν*, cum Genit. vid. ad Pausan. IX, 2. — *Κλήρους. Κλῆροι* videntur loca quaedam fuisse vel scopuli, ut alii opinantur, Cyzicenorum terris vicini. — *ἃς μὲν . . . ἃς δέ.* v. B. §. 126, 2. 3. M. §. 289, not. 7. — *σιδηρᾶς χεῖρας.* iam anno 414 a. C. n. Syracusis a Nicia Lamachoque obsessis Athenienses usi sunt *ferreis manibus*, *ὥστε*, ut ait Thucydides 7, 62, *πεζομαχεῖν ἀπὸ τῶν νεῶν.* atque inde ab hoc tempore non raro adhibuerunt machinas illas in pugnis navalibus et in oppugnandis oppidis maritimis, veluti in Byzantio capiendo et in proelio ad Arginusas. Diod. XIII, 67. 99. — *ὡς ἂν . . . ἀγωνιζομένων.* v. supra ad Aelian. IV. add. B. §. 139, 14. Krüg. ad Xen. Anab. I, 1, 10. V, 2, 8. — *στάσιν.* sic Diod. alio quodam loco: *οἱ φρουροὶ στάσιν ὑπερδέξιον ἔχοντες πολλοὺς κατετίτρωσκον.* simili modo *στάσεις λαμβάνειν ἰσχυρὰς* de verbis rite collocandis. — *ἐπιβατῶν.* v. ad Athen. II, 5. — *τῷ δὲ Θ. παρεκελεύσατο . . συνάψαντα.* vid. ad Pausan. II, 2. IX, 2 extr. ad Plutarch. IV, 3 extr. *συνάπτειν* h. l. cum Dativo *contiguum esse*, vel potius *contiguum reddere, sibi adiungere aliquid.* Soph. Oed. T. 664. *κακοῖς κακὰ προσάψει τοῖς πάλαι τὰ πρὸς σφῶν*, ubi glossa: *συναφθήσεται, συνελεύσεται.*

3. *ὁ τῶν Λ. ἀφηγούμενος*, saepius apud Xenophontem et Plutarchum nihil aliud quam simplex *ἡγεῖσθαι*, de eo penes quem summa potestas, de duce primi agminis. — *ὑπὲρ τῶν ἀφελκομένων δ. pro iis, quas* Alcibiades

μέρους τῶν Πελοποννησίων ἀπέστειλε πρὸς τοὺς περὶ τὸν Θρασύβουλον· ἐξυναπέστειλε δ' αὐτῷ καὶ τοὺς παρὰ Φαρναβάζῳ στρατευομένους μισθοφόρους. ὁ δὲ Θρασύβουλος μετὰ τῶν ἐπιβατῶν καὶ τῶν τοξοτῶν τὸ μὲν πρῶτον εὐρώστως ὑπέστη τοὺς πολεμίους καὶ πολλοὺς μὲν ἀνεῖλεν, οὐκ ὀλίγους δὲ καὶ τῶν ἰδίων ἑώρα πίπτοντας· τῶν δὲ μετὰ τοῦ Φαρνάβαζου μισθοφόρων κυκλούντων τοὺς Ἀθηναίους καὶ τῷ πλήθει πανταχόθεν περιερχομένων ἐπεφάνη Θηραμένης τούς τε ἰδίους καὶ τοὺς μετὰ Χάρητος ἄγων πεζούς. οἱ δὲ μετὰ τοῦ Θρασυβούλου καταπεπονημένοι καὶ τὰς τῆς σωτηρίας ἐλπίδας ἀπεγνωκότες πάλιν ἐξαίφνης ταῖς ψυχαῖς διηγείροντο τηλικαύτης βοηθείας παραγεγενημένης. ἐπὶ πολὺν δὲ χρόνον καρτερᾶς μάχης γενομένης τὸ μὲν πρῶτον οἱ τοῦ Φαρναβάζου μισθοφόροι φεύγειν ἤρξαντο καὶ τὸ συνεχὲς ἀεὶ τῆς τάξεως παρερρήγνυτο· τέλος δὲ οἱ Πελοποννήσιοι μετὰ Κλεάρχου καταλειφθέντες καὶ πολλὰ δράσαντες καὶ παθόντες ἐξεώσθησαν. τούτων δὲ καταπεπονημένων οἱ περὶ τὸν Θηραμένην ὥρμησαν τοῖς μετ' Ἀλκιβιάδου κινδυνεύσασι βοηθῆσαι. συνδραμουσῶν δὲ τῶν δυνάμεων εἰς ἕνα τόπον ὁ μὲν Μίνδαρος οὐ κατεπλάγη τὴν ἔφοδον τῶν περὶ Θηραμένην, ἀλλὰ διελόμενος τοὺς Πελοποννησίους τοῖς μὲν ἡμίσεσιν ἀπήντα τοῖς ἐπιοῦσι, τοὺς δ' ἡμίσεις αὐτὸς ἔχων καὶ δεόμενος ἑκάστου μὴ καταισχῦναι τὸ τῆς Σπάρτης ἀξίωμα, καὶ ταῦτα πεζομαχοῦντας, ἀντετάχθη τοῖς περὶ τὸν Ἀλκιβιάδην. περὶ δὲ τῶν νεῶν ἡρωϊκὴν συστησάμενος μάχην καὶ πρὸ πάντων αὐτὸς κινδυνεύων πολλοὺς μὲν ἀνεῖλε τῶν ἀντιτεταγμένων, τὸ δὲ τελευταῖον ἀξίως τῆς πατρίδος ἀγωνισάμενος ὑπὸ τῶν περὶ τὸν Ἀλκιβιάδην ἀνῃρέθη. τούτου δὲ πεπτωκότος οἵ τε Πελοποννήσιοι καὶ πάντες οἱ σύμμαχοι συνέδραμον καὶ καταπλαγέντες εἰς φυγὴν ὥρμησαν· οἱ δ' Ἀθηναῖοι μέχρι μέν τινος ἐπεδίωξαν τοὺς πολεμίους, πυνθανόμενοι δὲ τὸν Φαρνάβαζον μετὰ πολλῆς ἵππου κατὰ σπουδὴν ἐπιγινόμενον ἀνέκαμψαν ἐπὶ τὰς ναῦς καὶ τὴν μὲν πόλιν παρέλαβον, δύο δὲ τρόπαια κατέστησαν ἀφ' ἑκατέρας νίκης, τὸ μὲν τῆς ναυμαχίας ἐν τῇ νήσῳ τῇ Πολυδώρου καλουμένῃ, τὸ δὲ τῆς πεζομαχίας, οὗ τὴν τροπὴν ἐποιήσαντο τὴν πρώτην. οἱ μὲν οὖν ἐν τῇ πόλει Πελοποννήσιοι καὶ πάντες οἱ διαφυγόντες ἐκ τῆς μάχης ἔφυγον ὑπὸ τὸ τοῦ Φαρνα-

---

vi abripiebat, *navibus propugnabat*. ubi in omisso *νεῶν* qui offenderit non admodum reprehendendus. est enim Ellipsis hoc quidem loco paulo, ni fallor, durior. — *ὑπέστη*, c. Acc. i. q. *ὑπέμεινεν*, *excipiebat hostes*, ut supra Plut. IV, 1 extr. — *πίπτοντας*. vid. ad Plut. V, 5. — *περιερχομένων*. in quibusdam libris legitur *περιεχομένων*, Wesselingius vero neutrum illorum comprobans proponit *περιιχεομένων*. — *ἀπεγνωκότες*, cum Acc. ut alias cum Genit. vel Infin., *spe salutis iam prorsus abiecta*, quod supra Pausan. IV, 3 legimus: *πρὸς τὸ ἀνέλπιστον τῶν παρόντων ἐγένοντο*. — *παρερρήγνυτο*, ut Lat. *perfringi*, vox tum de muris, tum de militum ordinibus perruptis frequens. — *τὴν ἔφοδον*, h. l. idem valet atque *ὁρμή*, *ἐπιδρομή*, *ἐπιβολή*, ut recte Interpp. ad Thuc. 7, 5. Xen. Anab. II, 2, 18. *ἐξεπλάγη δὲ καὶ βασιλεὺς τῇ ἐφόδῳ τοῦ στρατεύματος*. — *καὶ ταῦτα*, *praesertim*. *μέχρι μέν τινος*, *aliquatenus*, cui oppositum est *μέχρι παντός*, *semper*, *in perpetuum*. — *ἵππου*, sensu collectivo solet feminini generis esse, quamquam pluralis quoque numeri (*αἱ ἵπποι*) certa exempla reperiuntur. comp. *ἡ βοῦς*. *ἐπὶ θηλυκοῦ καὶ τὸ τῶν βοῶν λέγομεν ἄθροισμα, οἷον τὴν βοῦν ἐλήισαντο*. Thom. Mag. — *Πολυδώρου*, Polydori insula, quae et ipsa vocatur Polydora, in Propontide sita est e regione Cyzici. Plin. H. N. V, 44. — *ὑπὸ τὸ .. στρατόπεδον*, alii malunt *ἐπὶ τὸ στ.* vid. supra

βάζον στρατόπεδον· οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ τῶν τε νεῶν ἁπασῶν ἐγκρατεῖς ἐγενήθησαν καὶ πολλοὺς μὲν αἰχμαλώτους, ἀναρίθμητον δὲ πλῆθος λαφύρων ἤθροισαν, ὡς ἂν δύο δυνάμεις ἅμα τηλικαύτας νενικηκότες.

IV.

Ὁ Ἀλκιβιάδης ἦγεν τῶν ἡλωκυιῶν νεῶν οὐκ ἐλάττους διακοσίων, 1
αἰχμαλώτων δὲ ἀνδρῶν καὶ λαφύρων πλῆθος· εἶχεν δὲ τὰς ἰδίας τριήρεις ὅπλοις ἐπιχρύσοις καὶ στεφάνοις, ἔτι δὲ λαφύροις καὶ τοῖς ἄλλοις ἅπασιν ἐπιμελῶς κεκοσμημένας. πλεῖστοι δ' ἐπὶ τὴν Ἀλκιβιάδου θέαν συνέδραμον ἐπὶ τοὺς λιμένας, ὥστε παντελῶς ἐρημωθῆναι τὴν πόλιν συμφιλοτιμουμένων τοῖς ἐλευθέροις τῶν δούλων. κατ' ἐκείνους γὰρ τοὺς χρόνους οὕτω συνέβη θαυμασθῆναι τὸν ἄνδρα τοῦτον, ὥσθ' οἱ μὲν ὑπερέχοντες τῶν Ἀθηναίων μόγις ἐνόμιζον εὑρηκέναι δυνατὸν ἄνδρα τοῦτον φανερῶς καὶ θρασέως ἀντιτάξασθαι τῷ δήμῳ δυνάμενον, οἱ δ' ἄποροι ὑπειλήφεισαν συναγωνιστὴν ἕξειν ἄριστον τὸν ἀπονενοημένως συνταράξοντα τὴν πόλιν καὶ τὴν ἑαυτῶν ἐπανορθώσοντα πενίαν. θράσει γὰρ πολὺ διέφερε τῶν ἄλλων καὶ δεινότατος ἦν εἰπεῖν, καὶ κατὰ μὲν τὴν στρατείαν ἄριστος, κατὰ δὲ τὴν τόλμαν πρακτικώ-

---

Lucian. dial. mort. VII, 2. 3. recte igitur Wesselingius: sive *sub castra* sive *ad ea* fugisse velis, ratio sermonis constabit. — *νεῶν ἁπασῶν*. Xenoph. hist. Gr. I, 1, 12. numerum captarum navium magis finivit: *τὰς δὲ ναῦς οἱ Ἀθηναῖοι ᾤχοντο ἄγοντες ἐς Προικόννησον ἁπάσας πλὴν τῶν Συρακουσίων· ἐκείνας δὲ αὐτοὶ κατέκαυσαν οἱ Συρακούσιοι.* erant enim viginti naves Syracusanorum in classe Spartana. sed utut est, omnia fuisse profligata atque perdita, arguit Hippocratis, qui in locum Mindari succedebat, epistola civibus Spartanis inscripta: *ἔῤῥει τὰ καλά. Μίνδαρος ἀπεσσούα. πεινῶντι τῶνδρες. ἀπορέομες τί χρὴ δρᾶν.*

IV. (L. XIII. c. 68—74. p. 367 s.) Alcibiades post proelium Cyzicenum facta in Thraciam expeditione multisque oppidis subactis Athenas redit et summum terra marique imperium nactus continuo nova de Andriis, Cois, Rhodiis tropaea sistit. Lysander in locum Mindari suffectus Athenienses ad Notium fundit (Ol. 93, 2. a. 407.); Alcibiades in crimen vocatur et X ducibus creatis sibi ipse exsilium irrogat.

1. *τῶν ἡλωκυιῶν ν.* ctt. non solum de navibus in proelio Cyziceno (Diod. III.) captis intelligi debent, sed de spoliis quoque e Byzantio aliisque Hellesponti urbibus a. 409 a. C. ab Alcibiade partis. ceterum haec iisdem paene verbis a Plutarcho Alcib. c. 32 exornata prorsus ab Xenophonte neglecta mireris. — *λαφύρων.* v. ad Plut. III, 1 extr. comp. *φύσιον* ibid. II, 2 extr. — *ἐπὶ .. θέαν, ad spectandum, spectandi causa*, de ludis, spectaculis, aliis. — *ἄνδρα τοῦτον*, ubi Pronomen vim praedicati sustinet (*τοιοῦτον, τοῦτον ὄντα*) et a seq. Participio *ἀσυνδέτως* adiecto (M. §. 557, 3.) accuratius definitur: *virum ita comparatum, ut opponere se posset.* — *ὑπειλήφεισαν*, de qua forma Diodoro admodum accepta (infra VI, 2.) pro -εσαν v. Lobeck ad Phryn. p. 149. — *ἐπανορθώσοντα*, Lobeck l. c. p. 250. — *δεινότατος ἦν εἰπεῖν*, sunt qui *λέγειν* Infinitivum huic formulae crebrius opinentur adnexum. cf. infra ad V, 2. sic de eodem Alcibiade Diod. L. XII extr. *ἦν δεινότατος μὲν εἰπεῖν τῶν πολιτῶν.* quae quomodo concinere videantur cum Alcibiade illo balbutiente verbisque imparatissimo (Plut. Alcib. c. 1. c. 13.) alienum ab hoc loco ostendere. — *κατὰ μ. τ. στρατείαν* ctt. Plut. V, 1, de Cimone: *κατ' αὐτὸν τὸν ἀγῶνα λαμπρός.* quod iam minus habet insoliti, quam alterum illud, *κατὰ τὴν τόλμαν*, quo *qualis quis sit*

τατος. ην δὲ καὶ τὴν ὄψιν καθ' ὑπερβολὴν εὐπρεπὴς καὶ τὴν ψυχὴν λαμπρὸς καὶ μεγαλεπίβολος. καθόλου δὲ τηλικαύτην ὑπόληψιν εἶχον ὑπὲρ αὐτοῦ σχεδὸν ἅπαντες, ὥσθ' ἅμα τῇ ἐκείνου καθόδῳ καὶ τὴν τῶν πραγμάτων εὐτυχίαν εἰς τὴν πόλιν ἥκειν διελάμβανον. πρὸς δὲ τούτοις ὥσπερ Λακεδαιμόνιοι τούτου συναγωνιζομένου ἐπροτέρουν, οὕτως ἑαυτοὺς πάλιν κατορθώσειν ἤλπιζον σύμμαχον ἔχοντες τὸν ἄν-
2 δρα τοῦτον. ἐπεὶ δ' οὖν κατέπλευσεν ὁ στόλος, ἐπέστρεψε τὸ πλῆθος ἐπὶ τὴν Ἀλκιβιάδου ναῦν, ἐξ ἧς ἐκβάντα τὸν ἄνδρα πάντες ἐδεξιοῦντο τοῖς εὐημερήμασιν ἅμα καὶ τῇ καθόδῳ συγχαίροντες. ὁ δ' ἀσπασάμενος τὰ πλήθη φιλανθρώπως ἐκκλησίαν συνήγαγε, καὶ πολλὰ τῶν καθ' ἑαυτὸν ἀπολογησάμενος εἰς τοσαύτην εὔνοιαν τοὺς ὄχλους ἤγαγεν, ὥστε ὁμολογεῖν πάντας τὴν πόλιν αἰτίαν γεγονέναι τῶν κατ' ἐκείνου ψηφισμάτων· διόπερ αὐτῷ τήν τε οὐσίαν ἀπέδωκαν, ἣν ἐδήμευσαν, ἔπειτα δὲ τὰς δίκας κατεπόντισαν, ἐν δ' ἴσῃ καταδίκῃ καὶ τἄλλα τὰ κατ' ἐκείνου κυρωθέντα. ἐψηφίσαντο δὲ καὶ τοὺς Εὐμολπίδας ἄραι τὴν ἀράν, ἣν ἐποιήσαντο κατ' αὐτοῦ καθ' ὃν καιρὸν ἔδοξεν ἀσεβεῖν ἐπὶ τὰ μυστήρια. τὸ δὲ τελευταῖον αὐτὸν στρατηγὸν καταστήσαντες αὐτοκράτορα καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἁπάσας τὰς δυνάμεις ἐνεχείρισαν αὐτῷ. εἵλετο δὲ καὶ στρατηγοὺς ἑτέρους ἐκεῖνος, οὓς ἤθελεν, Ἀδείμαντον καὶ Θρασύβουλον. ὁ δ' Ἀλκιβιάδης ἑκατὸν ναῦς πληρώσας ἐξέπλευσεν εἰς Ἄνδρον καὶ καταλαβόμενος Γαύριον φρούριον ἐνείχισεν. ἐξελθόντων δὲ τῶν Ἀνδρίων πανδημεὶ μετὰ τῶν παραφυλαττόντων τὴν πόλιν Πελοποννησίων ἐγενήθη μάχη, καθ' ἣν ἐνίκησαν Ἀθηναῖοι. τῶν δ' ἐκ τῆς πόλεως πολλοὶ μὲν ἀνῃρέθησαν, τῶν δὲ διασωθέντων οἱ μὲν κατὰ τὴν χώραν διεσκεδάσθησαν, οἱ δ' ἐντὸς τῶν τειχῶν συνέφυγον· αὐτὸς δ' Ἀλκιβιάδης προσβολὰς ποιησάμενος τῇ πόλει ἐν μὲν τῷ πεφρουρημένῳ τείχει τὴν ἱκανὴν φυλακὴν κατέλιπε καὶ Θρασύβουλον ἡγεμόνα κατέστησεν, αὐτὸς δὲ μετὰ

---

et quomodo comparatus fusius enuntiatur. vid. Bernhardy w. Synt. p. 242. Lobeck l. c. p. 366. add. Diod. II, 1. κατὰ τὴν σοφιστείαν ὑπερέβαλεν. VI, 2. οὐδὲν διέφερε κατὰ τὴν ἐν τῷ στρατηγεῖν ἐνέργειαν καὶ βουλήν. — μεγαλεπίβολος. v. Schaef. melet. crit. p. 48. p. 119. — διελάμβανον, *existimabant, in animum inducebant.* Diod. L. I. c. 94. τὸν ὄχλον μᾶλλον ὑπακούσεσθαι διαλαβόντες, ubi fere idem quod ἐλπίζοντες. — κατορθώσειν. Thom. Mag. κ. ἐπὶ πολέμου καὶ τῶν τοιούτων. add. Lobeck l. c. p. 251.

2. πάντες ἐδεξιοῦντο. Plut. Alcib. c. 32. πρὸς ἐκεῖνον συντρέχοντες ἐβόων, ἡσπάζοντο, παρέπεμπον, ἐστεφάνουν προσιόντες, οἱ δὲ μὴ δυνάμενοι προσελθεῖν ἄπωθεν ἐθεῶντο καὶ τοῖς νίοις ἐδείκνυσαν οἱ πρεσβύτεροι. — τὰ πλήθη, ut paulo infra τοὺς ὄχλους. Diod. Lib. I. c. 56. ὁ Σεσόωσις ἀποστήσας τὰ πλήθη ἀπὸ τῶν πολεμικῶν ἔργων. cf. Bernh. Synt. p. 62 sq. — οὐσίαν ἀπέδωκαν ctt. Corn. Nep. Alcib. c. 6. *restituta huic sunt publice bona. iidemque illi Eumolpidae sacerdotes rursus resacrare sunt coacti, qui eum devoverant, pilaeque illae* (δίκαι), *in quibus devotio fuerat scripta, in mare praecipitatae.* atque ab iisdem sacerdotibus expiatum Alcibiadem testatur Plut. l. c. 33 extr. — καθ' ὃν καιρὸν ctt. anno 415 a. C. quo anno accusabatur de Hermis violatis et mysteriis profanatis. πάντα, ait Thucyd. VI, 60, τοῖς Ἀθηναίοις ἐδόκει ἐπὶ ξυνωμοσίᾳ ὀλιγαρχικῇ καὶ τυραννικῇ πεπρᾶχθαι. — Ἀδείμαντον κ. Θ. secus Xenoph. hist. Gr. I, 4, 9. μετ' αὐτοῦ Ἀριστοκράτης καὶ Ἀδείμαντος ὁ Λευκοροφείδου συνεπέμφθησαν. — Γαύριον, sic scribendum cum recentioribus Edit. ex Xenoph. l. c. §. 10 pro vulg. Κάτριον. Liv. hist. L. 31. c. 45. *quum in portu* (Andri insulae), *quem Gaureleon vocant, constitissent* ctt. — ἐν μὲν τῷ πεφρ. τείχει. usitatum est τεῖχος s. τείχη de castellis oppidisque munitis, ut alias

τῆς δυνάμεως ἐκπλεύσας τήν τε Κῶ καὶ Ῥόδον ἐδῄωσε καὶ συχνὰς ὠφελείας ἤθροισε πρὸς τὰς τῶν στρατιωτῶν διατροφάς.

Λακεδαιμόνιοι δὲ τήν τε ναυτικὴν δύναμιν καὶ τὴν ἀρχὴν ἀπο- 3
λωλεκότες καὶ μετ' αὐτῆς Μίνδαρον τὸν ἡγεμόνα, ταῖς ψυχαῖς ὅμως οὐκ ἐνέδωκαν, ἀλλὰ ναύαρχον εἵλοντο Λύσανδρον δοκοῦντα στρατηγίᾳ διαφέρειν τῶν ἄλλων καὶ τόλμαν ἔμπρακτον ἔχοντα πρὸς πᾶσαν περίστασιν. ὃς παραλαβὼν τὴν ἀρχὴν ἐκ τῆς Πελοποννήσου στρατιώτας τε κατέγραφε τοὺς ἱκανοὺς καὶ ναῦς ἐπλήρωσεν ὅσας ἠδύνατο πλείστας. ἐκπλεύσας δὲ εἰς Ῥόδον, καὶ προσλαβόμενος ἐκεῖθεν ναῦς ὅσας εἶχον αἱ πόλεις ἔπλευσεν εἰς Ἔφεσον καὶ Μίλητον. καταρτίσας δὲ καὶ ταύτας τὰς ἐν ταῖς πόλεσι τριήρεις μετεπέμψατο τὰς ἐκ Χίου καὶ στόλον ἐξήρτυεν ἐξ Ἐφέσου νεῶν ὑπάρχοντα σχεδὸν ἑβδομήκοντα. ἀκούσας δὲ Κῦρον τὸν Δαρείου τοῦ βασιλέως υἱὸν ὑπὸ τοῦ πατρὸς ἀπεσταλμένον συμπολεμεῖν τοῖς Λακεδαιμονίοις ἧκεν εἰς Σάρδεις πρὸς αὐτόν, καὶ παροξύνας τὸν νεανίσκον εἰς τὸν κατὰ τῶν Ἀθηναίων πόλεμον μυρίους μὲν δαρεικοὺς παραχρῆμα ἔλαβεν εἰς τὸν τῶν στρατιωτῶν μισθόν· καὶ εἰς τὸ λοιπὸν δὲ Κῦρος ἐκέλευσεν αἰτεῖν μηδὲν ὑποστελλόμενον· ἐντολὰς γὰρ ἔχειν παρὰ τοῦ πατρός, ὅπως ὅσα ἂν προαιρῶνται Λακεδαιμόνιοι χορηγήσαι αὐτοῖς. ἀνακάμψας δὲ εἰς Ἔφεσον ἀπὸ τῶν πόλεων μετεπέμπετο τοὺς δυνατωτάτους, πρὸς οὓς ἑταιρίας συνθέμενος ἐπηγγέλλετο τῶν πραγμάτων κατορθωθέντων κυρίους ἑκάστους τῶν πόλεων ποιήσειν. δι ἣν αἰτίαν συνέβη τούτους πρὸς ἀλλήλους ἁμιλλωμένους ὑπηρετεῖν πλείονα τῶν ἐπιταττομένων καὶ ταχὺ παραδόξως εὐπορεῖν τὸν Λύσανδρον πάντων τῶν εἰς πόλεμον χρησίμων.

---

legere meministis ἡ ἄκρα, τὸ ἔρυμα, τὸ φρούριον. Xenoph. l. c. IV, 5, 5. ἡ δὲ μόρα (mora Laconica) Οἰνόην τὸ ἐντετειχισμένον τεῖχος αἱρεῖ.

3. καὶ τὴν ἀρχὴν ἀπολ. respiciunt cladem Cyzicenam, quae quantopere fuerit Lacedaemoniis funesta, quum et ipsae Atheniensium res demonstrent et Diodori verba (L. XIII. c. 52.) nostris adpositissima: ὁ δῆμος τριάκοντα τριήρεις ἀπέστειλε τοῖς περὶ τὸν Ἀλκιβιάδην (nuntio de victoria illa Athenas perlato), ὅπως τὰς περὶ Λακεδαιμονίους πόλεις ἀδεῶς πορθῶσι ἀ ρ α τ ο ῦ ν τ ε ς τ ῆ ς θ α λ ά τ τ η ς· non opus videtur cum Editt. quibusdam corrigere: δύναμιν ἄρδην ἀπολ. quid quod l. c. cap. 53 extr. legimus: τότε δὲ οἱ Ἀθηναῖοι.. ταχέως ᾤοντο τὴν ἡγεμονίαν ἀνακτήσασθαι. — Μίνδαρον. vid. supra III, 3. — ταῖς ψυχαῖς ὅμ. οὐκ ἐνέδωκαν, *animo minime indulgebant*, vel potius *minime molles se et remissos praebebant*. Plut. Lysand. c. 13. οὐδέν τι πρὸς τὴν συμφορὰν ἐνδούς. Lucian. Hermot. 24. μὴ ἐνδοῦναι μηδὲ μαλακισθῆναι τοῖς δυσχερέσι. neque aliena prorsus ab hoc loco illa in Aesch. Pers. 846. πρέσβεις ψυχῇ διδόντες ἡδονήν. add. Interpp. ad Arist. Plut. 488. — κατέγραφε, *conscripsit*, ut plenius Diod. Lib. II, 5. Ῥωμαῖοι κατέγραψαν εἰς τὴν στρατείαν πολίτας τε καὶ συμμάχους. — εἰς Ἔφεσον καὶ Μ. Xenoph. l. c. I, 5. ἐς Κῶ καὶ Μίλητον ἔπλευσεν, ἐκεῖθεν δ' ἐς Ἔφεσον, καὶ ἐκεῖ ἔμεινε ναῦς ἔχων ἑβδομήκοντα. — μυρίους δαρεικούς. Xenoph. I, 5, 2. τάλαντα πεντακόσια. alii alium Darium numos illos aureos cudisse perhibent, quum ex Herodoti testimonio (IV, 166.) vix dubites, quin et originem darici et nomen traxerint a patre Xerxis. sunt tamen qui emendatorem Hystaspidem, quam auctorem rei numismaticae habere malint. — ὅπως ὅσα ἂν προαιρῶνται Λ. χορηγήσαι, *ut quidquid Lacedaemonii agitent, ad id liberaliter sumptus praebeat*. χορηγεῖν ab eo translatum, qui alternis contribuebat, quibus chori instruerentur et adornarentur. ad rem Xenoph. l. c. Κῦρος ἔφη καὶ τὸν θρόνον κατακόψειν, ἐφ' ᾧ ἐκάθητο, ὄντα ἀργυροῦν καὶ χρυσοῦν.

4 Ἀλκιβιάδης δὲ πυθόμενος ἐν Ἐφέσῳ τὸν Λύσανδρον ἐξαρτύειν τὸν στόλον ἀνήχθη μετὰ πασῶν τῶν νεῶν εἰς Ἔφεσον. ἐπιπλεύσας δὲ τοῖς λιμέσιν ὡς οὐδεὶς ἀντανήγετο, τὰς μὲν πολλὰς ναῦς καθώρμισε περὶ τὸ Νότιον τὴν ἡγεμονίαν αὐτῶν παραδοὺς Ἀντιόχῳ τῷ ἰδίῳ κυβερνήτῃ. διακελευσάμενος δ' αὐτῷ μὴ ναυμαχεῖν ἕως ἂν αὐτὸς παραγένηται, τὰς στρατιώτιδας ναῦς ἀνέλαβε καὶ κατὰ σπουδὴν ἔπλευσεν εἰς Κλαζομενάς. αὕτη γὰρ ἡ πόλις σύμμαχος Ἀθηναίων οὖσα κακῶς ἔπασχεν ὑπό τινων φυγάδων πορθουμένη. ὁ δ' Ἀντίοχος ὢν τῇ φύσει πρόχειρος, καὶ σπεύδων δι' ἑαυτοῦ τι πρᾶξαι λαμπρὸν τῶν μὲν Ἀλκιβιάδου λόγων ἠμέλησε, δέκα δὲ ναῦς ἀρίστας πληρώσας καὶ τὰς ἄλλας τοῖς τριηράρχαις παραγγείλας ἑτοίμας ἔχειν, ἂν ᾖ χρεία ναυμαχεῖν, ἐπέπλευσε τοῖς πολεμίοις προκαλεσόμενος εἰς ναυμαχίαν. ὁ δὲ Λύσανδρος πεπυσμένος παρά τινων αὐτομόλων τὴν ἄφοδον Ἀλκιβιάδου καὶ τῶν ἀρίστων μετ' αὐτοῦ στρατιωτῶν καιρὸν εἶναι διέλαβε πρᾶξαί τι τῆς Σπάρτης ἄξιον. διόπερ πάσαις ταῖς ναυσὶν ἀνταναχθεὶς μίαν μὲν τὴν προπλέουσαν τῶν δέκα, καθ' ἣν Ἀντίοχος ἦν ἀντιτεταγμένος, κατέδυσε· τὰς δ' ἄλλας τρεψάμενος ἐδίωξε μέχρις οὗ τὰς ἄλλας πληρώσαντες οἱ τριήραρχοι τῶν Ἀθηναίων παρεβοήθησαν ἐν οὐδεμιᾷ τάξει. γενομένης δὲ ναυμαχίας ἀθρόαις ταῖς ναυσὶν οὐ μακρὰν τῆς γῆς Ἀθηναῖοι διὰ τὴν ἀταξίαν ἡλαττώθησαν, καὶ ναῦς ἀπέβαλον δύο πρὸς ταῖς εἴκοσι· τῶν δ' ἐν αὐταῖς ἀνδρῶν ὀλίγοι μὲν ἐζωγρήθησαν, οἱ δὲ λοιποὶ πρὸς τὴν γῆν διενήξαντο. Ἀλκιβιάδης δὲ πυθόμενος τὸ γεγενημένον διὰ σπουδῆς ἀνέκαμψεν εἰς τὸ Νότιον, καὶ πάσας τὰς τριήρεις πληρώσας ἐπέπλευσε τοῖς λιμέσι τῶν πολεμίων· οὐ τολμῶντος δ' ἀναχθῆναι τοῦ Λυσάνδρου τὸν πλοῦν εἰς Σάμον ἐποιήσατο. . . .

5 Ἀλκιβιάδης δὲ ἐκ Σάμου μετὰ πασῶν τῶν νεῶν πλεύσας εἰς Κύμην ψευδεῖς αἰτίας ἐπέῤῥιψε τοῖς Κυμαίοις, βουλόμενος αὐτῶν μετὰ προφάσεως διαρπάσαι τὴν χώραν. καὶ τὸ μὲν πρῶτον πολλῶν αἰχμαλώτων σωμάτων κυριεύσας ἀπῆγεν ἐπὶ τὰς ναῦς· ἐκβοηθησάντων δὲ τῶν ἐκ τῆς πόλεως πανδημεὶ καὶ προσπεσόντων ἀπροσδοκήτως χρό-

4. Νότιον, Ioniae oppidum maritimum, cuius incolae Colophonii fuerunt testibus Theopompo (Harpocr. s. v. Νότιον), Plinio, Livio. — στρατιώτιδας ναῦς, i. e. ναῦς ὁπλιταγωγούς, milites ad pugnam terrestrem instructos vehentes, quibus saepius opponuntur ταχεῖαι, πρὸς ναυμαχίαν ἐπιτήδειοι. Thuc. VI, 31. 43. Xen. l. c. I, 1, 26. — Κλαζομενάς, minus recte παροξύνεται in Edit. Wessel. τὸ Κλαζομεναὶ πόλις ὀξύνεται. Arcad. de Accent. p. 111. l. 9. add. Göttling. allg. Lehre v. Accent. p. 153. supra ad Diod. I, 4. — δέκα δὲ ναῦς. Xen. l. c. I, 5, 7. Ἀντίοχος τῇ τε αὐτοῦ νηῒ καὶ ἄλλῃ ἐκ Νοτίου ἐς τὸν λιμένα τῶν Ἐφεσίων ἐσπλεύσας παρ' αὐτὰς τὰς πρῴρας τῶν Λυσάνδρου νεῶν παρέπλει. — προκαλεσόμενος, ex coniectura Eichstadii. vulg. προκαλεσάμενος. — καιρόν, c. mero Infin. comp. ὥρα, ad Plut. IV, 3. — μέχρις οὗ, Dindorf extrito ς edidit invitis libris. cf. B. §. 26, 4. Lobeck ad Phryn. p. 14 s. — δύο πρὸς ταῖς εἴκοσι. Xen. l. c. §. 8. οἱ Ἀθηναῖοι.. ἔφυγον ἀπολέσαντες πεντεκαίδεκα τριήρεις.

5. (c. 73 med.) ψευδεῖς αἰτίας ἐπέῤῥιψε ctt. calumnias impegit Cumaeis. lucramur ex his verbis et duabus aliis, quae hoc ipso capite continentur, criminationibus notitiam quandam in historia Alcibiadis a Xenophonte et Plutarcho ignoratam. atque haec crimina plus etiam valuisse apud populum, quam cladem illam a Lysandro acceptam facile ut credas ex moribus Atheniensium adduci poteris. — αἰχμαλώτων σωμάτων. h. l. nihil aliud videtur esse quam captivi, sive servi sive liberi. cf. supra ad Athen. II, 2. — ἐκβοηθησάντων δὲ τῶν ἐκ τῆς π. Attractionis genus admodum frequens.

νον μέν τινα διεκαρτέρουν οἱ περὶ τὸν Ἀλκιβιάδην, μετὰ δὲ ταῦτα τοῖς Κυμαίοις προσγενομένων πολλῶν τῶν ἐκ τῆς πόλεως καὶ τῆς χώρας ἠναγκάσθησαν καταλιπόντες τοὺς αἰχμαλώτους καταφυγεῖν ἐπὶ τὰς ναῦς. ὁ δ' Ἀλκιβιάδης ἐπὶ τοῖς ἐλαττώμασι περιαλγὴς γενόμενος ἐκ Μιτυλήνης μετεπέμψατο τοὺς ὁπλίτας, καὶ πρὸ τῆς πόλεως ἐκτάξας τὴν δύναμιν προεκαλεῖτο τοὺς Κυμαίους εἰς μάχην· οὐδενὸς δ' ἐξιόντος δηώσας τὴν χώραν ἀπέπλευσεν ἐπὶ Μιτυλήνην. Κυμαίων δὲ πεμψάντων εἰς Ἀθήνας πρεσβείαν καὶ κατηγορούντων Ἀλκιβιάδου, διότι σύμμαχον πόλιν οὐδὲν ἀδικήσασαν ἐπόρθησεν· ἐγίνοντο δὲ καὶ ἄλλαι πολλαὶ διαβολαὶ κατ' αὐτοῦ· τῶν γὰρ ἐν Σάμῳ τινὲς στρατιωτῶν ἀλλοτρίως τὰ πρὸς αὐτὸν ἔχοντες ἔπλευσαν εἰς Ἀθήνας καὶ κατηγόρησαν ἐν ἐκκλησίᾳ κατ' Ἀλκιβιάδου, ὅτι τὰ Λακεδαιμονίων φρονεῖ καὶ πρὸς Φαρνάβαζον ἔχει φιλίαν, δι' ἧς ἐλπίζει καταλυθέντος τοῦ πολέμου καταδυναστεύσειν τῶν πολιτῶν. ταχὺ δὲ τοῦ πλήθους 6
πιστεύοντος ταῖς διαβολαῖς ἡ μὲν πρὸς Ἀλκιβιάδην ἐθραύετο δόξα διὰ τὸ περὶ τὴν ναυμαχίαν ἐλάττωμα καὶ τὰ περὶ τὴν Κύμην ἡμαρτημένα. ὁ δὲ τῶν Ἀθηναίων δῆμος ὑφορώμενος τὴν τοῦ ἀνδρὸς τόλμαν δέκα στρατηγοὺς εἵλετο, Κόνωνα, Λυσανίαν, Διομέδοντα, Περικλέα, πρὸς δὲ τούτοις Ἐρασινίδην, Ἀριστοκράτην, Ἀρχέστρατον, Πρωτόμαχον, Θράσυλλον, Ἀριστογένην· ἐκ δὲ τούτων προκρίνας Κόνωνα ταχέως ἐξέπεμψε παρ' Ἀλκιβιάδου τὸ ναυτικὸν παραληψόμενον. Ἀλκιβιάδης δὲ τῆς ἀρχῆς ἐκχωρήσας τῷ Κόνωνι καὶ τὰς δυνάμεις παραδοὺς τὴν μὲν εἰς Ἀθήνας ἐπάνοδον ἀπέγνω, μετὰ δὲ τριήρους μιᾶς εἰς Πακτύην τῆς Θρᾴκης ἀπεχώρησεν.

---

supra §. 3 med. τριήρεις μετεπέμψατο τὰς ἐκ Χίου. I, 5. τὰ λοιπὰ τῶν ἀπὸ τῆς χώρας κατεκόμισαν εἰς τὴν πόλιν. ibid. τὴν ἐκ τῆς Ἀττικῆς δύναμιν μεταπεμψάμενοι. Athen. I, 3. συναγαγὼν τοὺς ἐκ τῆς βασιλείας δυνάστας. v. ad Long. II, 3. B. §. 151. I, 8. — περιαλγής, pariter ac περιαλγεῖν ἐπί τινι (Aelian. var. hist. Lib. II, 4 extr.) vocabula praesertim recentioribus usitata de summa animi aegritudine atque anxietate. Diod. L. IV. c. 11. Ἡρακλῆς περιαλγὴς ἦν ἐπὶ τῷ μεγέθει τῆς συμφορᾶς. Plut. Marcell. c. 25. ubi Poeni adeo bello vexantur a Marcello, ὥστε τὸν Ἀννίβαν περιαλγῆ γενόμενον τοὺς Καρχηδονίους ἀθροῖσαι ctt. — Κυμαίων δὲ πεμψάντων ctt. scriptor pluribus interiectis deflectit paullum ab instituta structura, quum quae hac periodo apodosis exspectetur, initio sequentis capitis alteram protasin excipiat. cuiusmodi sermonis ἀνακολουθίαν adiuva sic construendo: Κυμαίων δὲ πεμψάντων —, ταχὺ δὲ τοῦ πλήθους πιστεύοντος —, ἡ μὲν δόξα ἐθραύετο. similia v. Athen. II, 3. Xenoph. Anab. IV, 3, 6. Mem. 3, 1, 9. — διαβολαὶ κατ' αὐτοῦ, mox κατηγ. κατ' Ἀλκιβιάδου. usus κατὰ Praepositionis illustretur exemplis ap. Bernh. Synt. p. 238. Thucydides vero: ἐπεμαρτύρετο (Alcibiades) μὴ ἀπόντος περὶ αὐτοῦ διαβολὰς ἀποδέχεσθαι. VI, 29. — τὰ Λ. φρονεῖ. Latine dixeris *sentire cum Lacedaemoniis*. λακωνίζω, τὰ τῶν Λακώνων φρονῶ. Suidas. comp. νοσεῖν supra Aelian. XIII.

6. τόλμαν, ut Lat. *audaciam*, et bono et malo sensu dici satis notum. h. l. idem fere quod θράσος, θρασύτης. ceterum τόλμα an τόλμη Atticis acceptius sit, cum scriptoribus veteres Grammatici ambigunt, quamquam in Thucydide et oratoribus quod sciam prior illa forma locum fere obtinet. — Λυσανίαν, qui h. l. Lysanias, idem alio loco Diodoro vocatur Λυσίας. Περικλέα, F. Periclis Olympii adulterinus, quem Athenienses Pericli patri gratificaturi defunctis legitimis filiis nomine isto ornarunt. Θράσυλλον, ita scribendum pro vulg. Θρασύβουλον ex Xenophonte dudum notarunt Interpretes. — ἀπέγνω. vid. supra ad Plut. V, 3 extr.

V.

1 Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεὺς σπεύδων τὰς ἐφ' Ἑλλησπόντῳ πόλεις χειρώσασθαι Μηκύβερναν μὲν καὶ Τορώνην χωρὶς κινδύνων διὰ προδοσίας παρέλαβεν· ἐπὶ δὲ τὴν μεγίστην τῶν περὶ τοὺς τόπους τούτους πόλεων Ὄλυνθον στρατεύσας μετὰ πολλῆς δυνάμεως, τὸ μὲν πρῶτον νικήσας τοὺς Ὀλυνθίους δυσὶ μάχαις συνέκλεισεν εἰς πολιορκίαν· προσβολὰς δὲ συνεχεῖς ποιούμενος πολλοὺς τῶν στρατιωτῶν ἀπέβαλεν ἐν ταῖς τειχομαχίαις· τὸ δὲ τελευταῖον φθείρας χρήμασι τοὺς προεστηκότας τῶν Ὀλυνθίων Εὐθυκράτην τε καὶ Λασθένην διὰ τούτων προδοθεῖσαν τὴν Ὄλυνθον εἷλε. διαρπάσας δ' αὐτὴν καὶ τοὺς ἐνοικοῦντας ἐξανδραποδισάμενος ἐλαφυροπώλησε. τοῦτο δὲ πράξας χρημάτων τε πολλῶν εἰς τὸν πόλεμον εὐπόρησε καὶ τὰς ἄλλας πόλεις τὰς ἐναντιουμένας κατεπλήξατο· τοὺς δὲ ἀνδραγαθήσαντας τῶν στρατιωτῶν κατὰ τὴν μάχην ἀξίαις δωρεαῖς τιμήσας, καὶ χρημάτων πλῆθος διαδοὺς τοῖς ἐν ταῖς πόλεσιν ἰσχύουσι πολλοὺς ἔσχε προδότας τῶν πατρίδων καὶ αὐτὸς δὲ ἀπεφαίνετο διὰ χρυσίου πολὺ μᾶλλον ἢ διὰ ὅπλων ηὐξηκέναι τὴν ἰδίαν βασιλείαν.

2 Οἱ δ' Ἀθηναῖοι τὴν αὔξησιν ὑφορώμενοι τοῦ Φιλίππου τοῖς ἀεὶ πολεμουμένοις ὑπ' αὐτοῦ ἐβοήθουν, πρέσβεις ἀποστέλλοντες ἐπὶ τὰς πόλεις καὶ παρακαλοῦντες τηρεῖν τὴν αὐτονομίαν καὶ τοὺς ἐπὶ τὴν προδοσίαν ὁρμῶντας τῶν πολιτῶν θανάτῳ κολάζειν. ἐπηγγέλλοντο δὲ πᾶσι συμμαχήσειν καὶ φανερῶς ἑαυτοὺς πολεμίους ἀποδείξαντες τῷ βασιλεῖ διεπολέμουν πρὸς Φίλιππον. μάλιστα δ' αὐτοὺς παρώξυνε προστῆναι τῆς Ἑλλάδος Δημοσθένης ὁ ῥήτωρ, δεινότατος ὢν τῶν κατ'

V. (Diod. Lib. XVI. c. 53—55. p. 538 s.) Quum aliis quibusdam urbibus a Philippo perdomitis, tum Olyntho per proditionem capta (Ol. 108, 1. a. 348.) Athenienses ad inimicitias apertius Macedoni indicendas a Demosthene incitantur. de quibus si forte minus diligenter atque in transcursu exposuerit Siculus, aliunde supplenda curabimus quae integritati rerum videantur deesse.

1. στρατεύσας, bellum anno ante (Ol. 107, 4.) susceptum est quam urbs succubuit Philippo, quo anno Callimachus Archon Athenis fuit. quas ob causas expugnata sit Olynthus indicat Iustinus VIII, 3, 10. *receperant enim* (Olynthii) *per misericordiam post caedem unius duos fratres regis, quos Philippus ex noverca genitos veluti participes regni interficere gestiebat.* — Εὐθυκράτην.. Λασθένην, Bekker ubicunque Demosthenes proditores istos perstringit alteram Acc. formam in η ex duobus tribusve Codd. exarandam curat. v. B. §. 56, 6. n. 4. — ἐξανδραποδισάμενος, non omnes in servitutem redacti sunt. haud pauci salutem fuga petentes subinde Ol. 116, 1 ad suos se receperunt. — κατεπλήξατο, *terrebat*, sensu activo, ut supra Diod. I, 5 extr. Lib. XX. c. 107. καταπληξάμενος τοὺς ἔνδον παρέλαβε τὴν πόλιν. qua eadem significatione utitur Futurum medium. — διὰ χρυσίου cft. quod ex metallis Crenidarum urbis aurum redibat — διὰ τούτου τῶν Ἑλλήνων πολλοὺς προετρέψατο (Philippus) προδότας γενέσθαι τῶν πατρίδων. Diod. L. XVI. c. 8.

2. οἱ Ἀθηναῖοι... ἐβοήθουν, accuratius de his rebus Dem. de f. leg. §. 266. μυρίοις δὲ ξένοις καὶ τριήρεσι πεντήκοντα ὑμῶν βοηθησάντων τοῖς Ὀλυνθίοις, καὶ ἔτι τῶν πολιτῶν τετρακισχιλίοις, οὐδὲν αὐτοὺς τούτων ἠδυνήθη σῶσαι. ex testimonio Philochori Epist. ad Ammaeum (Dionys. Hal. p. 734 Reiske.) *ter* ab Atheniensibus auxilium latum est ducibus Charete et Charidemo, atque ita quidem ut Olynthii dicantur legatos misisse opem petituros ab Atheniensibus. — Δημοσθένης, idem testatur Philochorus l. c.

ἐκείνους τοὺς χρόνους Ἑλλήνων. οὐ μὴν ἡ πόλις γε ἀναστεῖλαι τῆς ἐπὶ τὴν προδοσίαν ὁρμῆς ἠδυνήθη τοὺς πολίτας. τοιαύτη φορά τις προδοτῶν ὑπῆρξε τότε κατὰ τὴν Ἑλλάδα. διὸ καί φασι τὸν Φίλιππον βουλόμενον ἑλεῖν τινα πόλιν ὀχυρότητι διαφέρουσαν, εἰπόντος τινὸς αὐτῷ τῶν ἐγχωρίων ἀνάλωτον αὐτὴν ἐκ βίας ὑπάρχειν, ἐπερωτῆσαι εἰ οὐδ' ὁ χρυσὸς τὸ τεῖχος ὑπερβῆναι δυνατός ἐστιν. ἦν γὰρ πεῖραν εἰληφώς, ὅτι τὰ τοῖς ὅπλοις ἀδύνατα χειρωθῆναι τῷ χρυσῷ ῥᾴδιόν ἐστι καταπολεμῆσαι. ἐγκατασκευάζων οὖν ἐν ταῖς πόλεσι προδότας διὰ τῆς δωροδοκίας καὶ τοὺς δεχομένους τὸ χρυσίον ξένους καὶ φίλους ὀνομάζων ταῖς πονηραῖς ὁμιλίαις διέφθειρε τὰ ἤθη τῶν ἀνθρώπων. μετὰ δὲ τὴν ἅλωσιν τῆς Ὀλύνθου Ὀλύμπια ποιήσας τοῖς θεοῖς ἐπι- 3
νίκια μεγαλοπρεπεῖς θυσίας συνετέλεσε. πανήγυριν δὲ μεγάλην συστησάμενος καὶ λαμπροὺς ἀγῶνας ποιήσας πολλοὺς τῶν ἐπιδημούντων ξένων ἐπὶ τὰς ἑστιάσεις παρελάμβανε. παρὰ δὲ τοὺς πότους πολλαῖς ὁμιλίαις χρώμενος καὶ πολλοῖς μὲν ποτήρια διδοὺς κατὰ τὰς προπόσεις, οὐκ ὀλίγοις δὲ δωρεὰς ἀπονέμων, πᾶσι δὲ μεγάλας ἐπαγγελίας εὐχρήστως ποιούμενος πολλοὺς ἔσχεν ἐπιθυμητὰς τῆς πρὸς αὐτὸν φιλίας.

VI.

Φίλιππος ὁ βασιλεὺς τοὺς πλείστους τῶν Ἑλλήνων εἰς φιλίαν 1
προηγμένος ἐφιλοτιμεῖτο καὶ τοὺς Ἀθηναίους καταπληξάμενος ἀδήριτον ἔχειν τὴν ἡγεμονίαν τῆς Ἑλλάδος. διόπερ ἄφνω καταλαβόμενος Ἐλάτειαν πόλιν καὶ τὰς δυνάμεις εἰς ταύτην ἀθροίσας διέγνω πολε-

p. 736. τὰς εἰς Ὄλυνθον βοηθείας ἀπέστειλαν Ἀθηναῖοι πεισθέντες ὑπὸ Δημοσθένους. id quod etiam evidentius fit ex ipsis orationibus Olynthiis. — δεινότατος, i. q. infra Diod. VI, 2 de eodem Demosthene δυνατώτατος εἰπεῖν. fuit, puto, causa Infinitivi omissi in proximo ῥήτωρ. — τοιαύτη φορά ctt. vid. Dem. or. de coron. §. 295 — 96, ubi larga proditorum copia protracta acquiescit in verbis: ἐπιλείψει με λέγοντα ἡ ἡμέρα τὰ τῶν προδοτῶν ὀνόματα. ceterum φορὰ quo sensu h. l. adhibetur exempla dat Wessel. παρὰ τοῖς Ἕλλησι φορὰν προδοτῶν συνέβη γενέσθαι. Dem. l. c. §. 61. κάλλιστον δὲ πάντων κερδῶν ἡ τῶν ἀγαθῶν ἀνδρῶν φορά. Aristid. — τὰ τοῖς ὅπλοις ἀδύνατα χ. ctt. Hor. Od. III, 16, 13 s. *diffidit urbium Portas vir Macedo et subruit aemulos Reges muneribus.* — ταῖς πονηραῖς ὁμιλίαις, Theopomp. ap. Athen. IV. p. 167. b. οἱ ἑταῖροι αὐτοῦ (Philippi) οὐκ ἀριστίνδην ἐξειλεγμένοι, ἀλλ' εἴ τις ἦν ἐν τοῖς Ἕλλησιν ἢ τοῖς βαρβάροις λάσταυρος ἢ βδέλυρος ἢ θρασὺς τὸν τρόπον, οὗτοι σχεδὸν ἅπαντες εἰς Μακεδονίαν ἀθροισθέντες ἑταῖροι Φιλίππου προσηγορεύοντο. ctt. quorum verborum censura fungitur Polyb. VII. c. 11. 12.

3. Ὀλύμπια ctt. Ulpian. comm. in Dem. or. de f. leg. τὰ Ὀλύμπια πρῶτος Ἀρχέλαος (v. supra ad Diod. III, 1.) ἐν Δίῳ τῆς Μακεδονίας κατέδειξεν. ἤγετο δ' ἐπ' ἐννέα, ὥς φασιν, ἡμέρας ἰσαρίθμους ταῖς Μούσαις. — κατὰ τὰς προπόσεις, Rhodomanno interprete: pocula *a se propinata.* accuratius ni fallor: *multis prout rex propinabat pocula exhibuit,* seu mavis *secundum singulas quasque propinationes.*

VI. (Diod. Lib. XVI. c. 84 — 87. p. 554 s.) Committitur pugna ad Chaeroneam (Ol. 110, 3. a. 338.) rebus ab utraque parte in Boeotia instructis.

1. ἀδήριτον. Hesych. ἄμαχον, ἀκαταμάχητον. vox olim poetis tantum concessa (Hom. Il. 17, 42. Aesch. Prom. 105.) recentiore aevo rursus invaluit et Plutarcho, Polybio, Diodoro nimiopere blanditur. similiter a quo etymon habet, δῆρις. cf. quae supra monita sunt ad Achill. Tat. §. 4 extr. — ἄφνω. cf. Lobeck ad Phryn. p. 18. — Ἐλάτειαν. Philochorus l. c. pag. 742

μεῖν τοῖς Ἀθηναίοις. ἀπαρασκευῶν δ' ὄντων αὐτῶν διὰ τὴν συντεθειμένην εἰρήνην ἤλπιζε ῥᾳδίως περιποιήσασθαι τὴν νίκην· ὅπερ καὶ συνετελέσθη. καταληφθείσης γὰρ τῆς Ἐλατείας ἧκόν τινες νυκτὸς ἀπαγγέλλοντες τὴν κατάληψιν τῆς πόλεως καὶ διότι ταχέως ἥξει Φίλιππος μετὰ τῆς δυνάμεως εἰς τὴν Ἀττικήν. οἱ δὲ στρατηγοὶ τῶν Ἀθηναίων διὰ τὸ παράδοξον τῆς πράξεως καταπλαγέντες τούς τε σαλπιγκτὰς μετεπέμποντο καὶ σημαίνειν προσέταττον δι' ὅλης τῆς νυκτός. τῆς δὲ φήμης εἰς πᾶσαν οἰκίαν διαδοθείσης ἡ μὲν πόλις ὀρθὴ διὰ τὸν φόβον ἦν· ὁ δὲ δῆμος ἅπας ἅμ' ἡμέρᾳ συνέδραμεν εἰς τὸ θέατρον πρὸ τοῦ συγκαλέσαι τοὺς ἄρχοντας, ὡς ἦν ἔθος. ὡς δ' ἧκον οἱ στρατηγοὶ καὶ τὸν μηνύσαντα παρῆγον κἀκεῖνος εἶπε, σιωπὴ μὲν καὶ φόβος κατεῖχε τὸ θέατρον, καὶ τῶν εἰωθότων δημηγορεῖν οὐδεὶς ἐτόλμα συμβουλεῦσαι· πλεονάκις δὲ τοῦ κήρυκος καλέσαντος τοὺς ἐροῦντας ὑπὲρ τῆς κοινῆς σωτηρίας οὐδεὶς παρῆει σύμβουλος. ἀπορίας οὖν μεγάλης οὔσης καὶ καταπλήξεως ἀπέβλεπε τὸ πλῆθος ἐπὶ τὸν Δημοσθένην. ὁ δὲ καταβὰς καὶ τὸν δῆμον παρακαλέσας θαῤῥεῖν, ἀπεφαίνετο δεῖν παραχρῆμα πρέσβεις ἀποστέλλειν εἰς τὰς Θήβας καὶ παρακαλεῖν τοὺς Βοιωτοὺς κοινῇ τὸν ὑπὲρ τῆς ἐλευθερίας ἀγῶνα τίθεσθαι. πρὸς γὰρ τοὺς ἄλλους συμμάχους ὁ καιρὸς οὐ συνεχώρει πέμπειν πρεσβείας περὶ τῆς συμμαχίας. ἐν ἡμέραις γὰρ δυσὶ προσδόκιμος ἦν ὁ βασιλεὺς ἥξειν εἰς τὴν Ἀττικήν, καὶ τῆς ὁδοιπορίας οὔσης διὰ τῆς Βοιωτίας ἡ παρὰ τῶν Βοιωτῶν συμμαχία μόνη κατελείπετο, φανεροῦ γ' ὄντος, ὅτι Φίλιππος φίλος ὢν καὶ σύμμαχος Βοιωτοῖς τούτους ἐν παρόδῳ πειράσεται παραλαβεῖν εἰς τὸν κατ' Ἀθηναίων πόλεμον.

2 Τοῦ δὲ δήμου τὸν λόγον ἀποδεξαμένου, καὶ τοῦ περὶ τῆς πρεσβείας ψηφίσματος ὑπὸ Δημοσθένους γραφέντος ὁ μὲν δῆμος ἐζήτει

---

hanc Phocidis urbem ad Boeotos adoriendos opportunam Archonte Lysimachide (Olymp. 110, 2.) a rege captam arguit. comp. Weiske de causis Hyperboles in Phil. hist. illatae. III. p. 20. p. 24. — *εἰρήνην*, dicit *pacem* post liberationem Byzantii a Philippo obsessi conciliatam (Ol. 110, 1.). contra Iustin. IX, 3, 5. *diu dissimulatum bellum Atheniensibus infert* (Philippus). atque pax ista conveneritne inter regem et Athenienses necne, ex eo licet in dubium voces, quod de continuato bello gravissimi testes referunt. Dem. or. de cor. §. 145. Philoch. l. c. p. 719 s. Plut. Demosth. c. 17. — *περιποιήσασθαι*, de quo Infin. v. Krüg. ad Xen. Anab. I, 2, 2. add. supra ad Pausan. IX, 1. — *διότι*. supr. IV, 5. v. B. §. 149 s. v. *ὅτι*. — *διὰ τὸ παράδοξον* ctt. de his magis explanata lectuque dignissima v. apud Demosth. l. c. §. 168 sq. — *εἰς τὸ θέατρον*, i. q. Demosth. l. c. *εἰς τὴν ἐκκλησίαν ἐπορεύεσθε*. conciones autem Athenis extra ordinem etiam in theatro habitas esse multis testimoniis veterum scriptorum docemur. *ἐνεκκλησίαζον δὲ πάλαι μὲν ἐν τῇ Πνυκί, αὖθις δὲ τὰ μὲν ἄλλα ἐν τῷ Διονυσιακῷ θεάτρῳ*. Poll. VIII. 132. cf. Thuc. 8, 93. Dem. Mid. c. 3. — *δημηγορεῖν*, i. e. *εἰς δῆμον ἀγορεύειν*, *concionari*. — *ὁ δὲ καταβάς*, vox concionalis de eo, *qui finem facit orandi*, *de suggestu descendit* (comp. supra de adolescentibus forum adtingentibus Plut. I, 8.) cui opponi fere solet *ἀναβαίνειν* (*ἐπὶ τὸ βῆμα*). quid autem nostro loco facias? Demosthenes quidem l. c. de semet ipso: *ἐφάνην*, ait, *ἐγὼ καὶ παρελθὼν εἶπον εἰς ὑμᾶς*, de populo vero in theatro sedente: *πᾶς ὁ δῆμος ἄνω καθῆτο*, ubi Schol. *μετέωρος ἦν ἐκδεχόμενος τὰ βουλευθέντα*. hinc orator a sede sua editiore recte videtur in medium concionem *descendens* dici, quasi quis certandi causa in arenam descendens. *καταβαίνειν*, *τὸ εἰς ἀγῶνα χωρεῖν*. Suid. cf. Xen. Anab. IV, 8, 27. — *φανεροῦ γ' ὄντος*, *quum manifestum certe esset*, ubi *γ'* particula vim habet adstringendi et explicandi.

2. *ψηφίσματος ὑπὸ Δ. γραφέντος*, decretum ab ipso Demosthene ad-

τὸν δυνατώτατον εἰπεῖν· ὁ δὲ Δημοσθένης ὑπήκουσε προθύμως πρὸς τὴν χρείαν. τέλος δ' ὀξέως πρεσβεύσας καὶ πείσας ἐπανῆλθεν εἰς τὰς Ἀθήνας. ὁ δὲ δῆμος τῇ τῶν Βοιωτῶν συμμαχίᾳ διπλασιάσας τὴν προϋπάρχουσαν δύναμιν ἀνεθάρρησε ταῖς ἐλπίσιν. εὐθὺς δὲ καὶ στρατηγοὺς κατέστησε τοὺς περὶ Χάρητα καὶ Λυσικλέα καὶ πανδημεὶ μετὰ τῶν ὅπλων ἐξέπεμψε τοὺς στρατιώτας εἰς τὴν Βοιωτίαν. τῶν δὲ νέων ἁπάντων, προθύμως εἰς τὸν ἀγῶνα καταντώντων οὗτοι μὲν κατὰ σπουδὴν ὁδοιπορήσαντες ἧκον εἰς Χαιρώνειαν τῆς Βοιωτίας, οἱ δὲ Βοιωτοὶ θαυμάσαντες τὴν ὀξύτητα τῆς τῶν Ἀθηναίων παρουσίας καὶ αὐτοὶ ὁπουδῆς οὐδὲν ἐλλείποντες ἀπήντησαν μετὰ τῶν ὅπλων, καὶ κοινῇ στρατοπεδεύσαντες ὑπέμενον τὴν τῶν πολεμίων ἔφοδον.... Ὁ Φίλιππος ἀποτυχὼν τῆς τῶν Βοιωτῶν συμμαχίας οὐδὲν ἧττον ἔκρινε πρὸς ἀμφοτέρους διαγωνίσασθαι· διὸ καὶ προσαναμείνας τοὺς ἀφυστεροῦντας τῶν συμμάχων ἧκεν εἰς τὴν Βοιωτίαν, ἔχων πεζοὺς μὲν πλείους τῶν τρισμυρίων, ἱππεῖς δὲ οὐκ ἐλάττους τῶν δισχιλίων. ἀμφοτέρων δὲ πρὸς τὴν μάχην εὐτρεπῶν γενομένων τοῖς μὲν φρονήμασι καὶ ταῖς προθυμίαις, ἔτι δὲ ταῖς ἀνδραγαθίαις ἐφάμιλλοι καθειστήκεισαν, τῷ δὲ πλήθει καὶ τῇ κατὰ τὴν στρατηγίαν ἀρετῇ προεῖχεν ὁ βασιλεύς. πολλὰς γὰρ καὶ ποικίλας παρατάξεις ἠγωνισμένος, καὶ ἐν ταῖς πλείσταις μάχαις νενικηκὼς μεγάλην εἶχεν ἐμπειρίαν τῶν κατὰ πόλεμον ἔργων· παρὰ δὲ τοῖς Ἀθηναίοις οἱ μὲν ἀγαθώτατοι τῶν στρατηγῶν ἐτετελευτήκεισαν Ἰφικράτης καὶ Χαβρίας, ἔτι δὲ Τιμόθεος. τῶν δ' ὑπολελειμμένων Χάρης πρωτεύων οὐδὲν διέφερε τῶν τυχόντων ἰδιωτῶν κατὰ τὴν ἐν τῷ στρατηγεῖν ἐνέργειαν καὶ βουλήν. αμα δ' ἡμέρᾳ τῶν δυνάμεων ἐκτατομένων ὁ μὲν βασιλεὺς τὸν υἱὸν 3
Ἀλέξανδρον, ἀντίπαιδα τὴν ἡλικίαν ὄντα, διάδηλον δὲ τὴν ἀνδρείαν καὶ τὴν ὀξύτητα τῆς ἐνεργείας ἔχοντα, κατέστησεν ἐπὶ θάτερον τῶν

---

servatur l. c. §. 181 sq. ψ. γράφειν, ut γρ. νόμον, γνώμην ctt. — δυνατώτατον εἰπεῖν, v. ad IV, 1. — ὀξέως, i. e. ταχέως interprete Hesych. sic ὀξύτης paulo post. — πρεσβεύσας, huc pertinet explicatio Ammonii: πρεσβεύειν, τὸ πέμπεσθαι πρεσβευτὴν οἱ Ἀττικοὶ λέγουσι. — τοὺς περὶ Χ. i. e. *Charetem*. v. supra ad Plut. II, 1. — καταντώντων. supra ad Diod, II, 1 med. — ἧκον εἰς Χ. antequam ad Chaeroneam pugnatum est, non solum in Phocidem ad instaurandas urbes invaserunt (Pausan. L. X. c. 3.), sed superiores quoque duobus huius belli proeliis esse coeperunt. Demosth. l. c. §. 216 ibique Iacobs. quae casu aliquo an secus a reliquis omnibus praetermissa hic suggerenda videbantur. — ἐφάμιλλοι, i. e. ὅμοιοι, quorum alter alteri in certamine aliquo nihil cedit. καθειστήκεισαν, ut paucis lineolis post ἐτετελευτήκεισαν. supra Diod. III, 2 med. cf. ad IV, 1. — ἀγαθώτατοι, forma bis terve a Diodoro admissa et ab aliis quibusdam soloecistis (Lobeck ad Phryn. p. 93.) etiam veteribus Grammaticis meritissima exsilii poena multatur. — Ἰφικράτης ctt. ordinem ex temporis ratione minus servatum facile condonaveris. occidit nimirum Chabrias Olymp. 105, 3 in obsidione Chii, belli socialis anno primo. Diod. L. XVI. c. 7. Iphicrates et Timotheus non deerant extremis rebus eiusdem belli (Olymp. 106, 2.), quo anno capitis damnantur accusante Charete. — τῶν τυχόντων ἰδ. *a vulgari milite gregario nihil differebat.* ἰδιώτης enim h. l. ὁπλίτης, ut Xen. Anab. I, 3, 11. οὔτε στρατηγοῦ οὔτε ἰδιώτου ὄφελος οὐδέν, et saepius. ὁ τυχών, *quisquis est, quivis obvius.* nos fere: der erste der beste. sic οἱ τυχόντες non raro *homines de plebe.* ceterum de factis moribusque Charetis res nondum acta. v. Iacobs. Demosth. Staatsr. p. 3—4.

3. ἀντίπαιδα. ἀντίπαις, ὁ ἐκβεβηκὼς τοῦ παιδὸς τὴν ἡλικίαν καὶ ἤδη πρόσηβος. Ammon. ibique Valck. animadvv. p. 53. compleverat autem

κεράτων παρακαταστήσας αὐτῷ τῶν ἡγεμόνων τοὺς ἀξιολογωτάτους· αὐτὸς δὲ τοὺς ἐπιλέκτους ἔχων μεθ' ἑαυτοῦ τὴν ἡγεμονίαν εἶχε τοῦ ἑτέρου μέρους, καὶ τὰς κατὰ μέρος τάξεις οἰκείως τοῖς παροῦσι καιροῖς διεκόσμησεν. οἱ δ' Ἀθηναῖοι κατ' ἔθνος τὴν διαίρεσιν τῆς τάξεως ποιησάμενοι τοῖς μὲν Βοιωτοῖς τὸ ἕτερον μέρος παρέδωκαν, αὐτοὶ δὲ τοῦ λοιποῦ τὴν ἡγεμονίαν εἶχον. γενομένης δὲ μάχης καρτερᾶς ἐπὶ πολὺν χρόνον, καὶ πολλῶν πιπτόντων παρ' ἀμφοτέροις μέχρι μέν τινος ὁ ἀγὼν ἀμφιδοξουμένας εἶχε τὰς ἐλπίδας τῆς νίκης. μετὰ δὲ ταῦτα τοῦ Ἀλεξάνδρου φιλοτιμουμένου τῷ πατρὶ τὴν ἰδίαν ἀνδραγαθίαν ἐνδείξασθαι καὶ φιλοτιμίας ὑπερβολὴν οὐκ ἀπολείποντος, ὁμοίως δὲ καὶ πολλῶν αὐτῷ συναγωνιζομένων ἀνδρῶν ἀγαθῶν πρῶτος τὸ συνεχὲς τῆς τῶν πολεμίων τάξεως ἔῤῥηξε, καὶ πολλοὺς καταβαλὼν κατεπόνει τοὺς καθ' ἑαυτὸν τεταγμένους. τὸ δ' αὐτὸ καὶ τῶν παραστατῶν αὐτῷ ποιησάντων τὸ συνεχὲς ἀεὶ τῆς τάξεως παρεῤῥήγνυτο. πολλῶν δὲ σωρευομένων νεκρῶν οἱ περὶ τὸν Ἀλέξανδρον πρῶτοι βιασάμενοι τοὺς καθ' ἑαυτοὺς ἐτρέψαντο. μετὰ δὲ ταῦτα καὶ ὁ βασιλεὺς αὐτὸς προκινδυνεύων καὶ τῆς νίκης τὴν ἐπιγραφὴν οὐδ' αὐτῷ παραχωρῶν Ἀλεξάνδρῳ τὰ μὲν πρῶτον ἐξέωσε τῇ βίᾳ τοὺς ἀντιτεταγμένους, ἔπειτα δὲ καὶ φεύγειν συναναγκάσας αἴτιος ἐγένετο τῆς νίκης. τῶν δ' Ἀθηναίων ἔπεσον μὲν ἐν τῇ μάχῃ πλείους τῶν χιλίων, ἥλωσαν δὲ οὐκ ἐλάττους τῶν δισχιλίων. ὁμοίως δὲ καὶ τῶν Βοιωτῶν πολλοὶ μὲν ἀνῃρέθησαν, οὐκ ὀλίγοι δὲ ἐζωγρήθησαν. μετὰ δὲ τὴν μάχην ὁ Φίλιππος τρόπαιον στήσας καὶ τοὺς νεκροὺς εἰς ταφὴν συγχωρήσας ἐπινίκια τοῖς θεοῖς ἔθυσε καὶ τοὺς ἀνδραγαθήσαντας κατὰ τὴν ἀξίαν ἐτίμησεν.

Alexander annum duodevicesimum. — τὰς κατὰ μέρος τάξεις ctt. *singulos quosque ordines pro instantis temporis ratione disposuit.* — τοῦ Ἀλεξάνδρου ctt. adsentientem habet Plutarchum vit. Alex. c. 9. ὁ Ἀλέξανδρος ἐν Χαιρωνείᾳ τῆς πρὸς τοὺς Ἕλληνας μάχης παρὼν μετέσχε καὶ λέγεται πρῶτος ἐνσεῖσαι τῷ ἱερῷ λόχῳ τῶν Θηβαίων. iam melius patebit, quid voluisse Noster videatur dicens τὸ συνεχὲς τῆς τάξεως ἔῤῥηξε, quae vereor ut recte interpreteris cum Rhodom. *primus vicinam hostium aciem perrupit.* malim pro ἀδιαλείπτως s. πυκνῶς μαχομένην, πεπυκνωμένην τάξιν intelligi, ut commode transferas ad delectam istam Thebanorum manum. — κατεπόνει, proprie de morbis et aliis rebus (ὑπὸ πενίας καταπονεῖσθαι), quibus quis vel debilitatur vel frangitur. Diodorus ubique fere eo, quo hic adhibetur, sensu. — αὐτῷ π. Ἀλεξάνδρῳ. ne desideres αὐτῷ τῷ Ἀ. vid. supra ad Pausan. VI, 1. add. B. §. 127. n. 7. — πλείους τῶν χιλίων. Lycurg. c. Leocr. §. 142. χίλιοι τῶν ὑμετέρων πολιτῶν ἐν Χαιρωνείᾳ ἐτελεύτησαν. — τρόπαιον στήσας, sunt qui *tropaea statuere* moris fuisse non Macedonici contendant, neque Philippum in agro Chaeronensium quae deprehendantur erexisse, sed Syllam ducem Romanorum. Pausan. L. IX, 40, 4.

ΞΕΝΟΦΩΝΤΟΣ ΑΘΗΝΑΙΟΥ.

I.

Λύσανδρος ἐκ τοῦ Ἑλλησπόντου ναυσὶ διακοσίαις ἀφικόμενος 1
εἰς Λέσβον κατεσκευάσατο τάς τε ἄλλας πόλεις ἐν αὐτῇ καὶ Μιτυλήνην· εἰς δὲ τὰ ἐπὶ Θρᾴκης χωρία ἔπεμψε δέκα τριήρεις ἔχοντα Ἐτεόνικον, ὃς τὰ ἐκεῖ πάντα πρὸς Λακεδαιμονίους μετέστησεν. εὐθὺς δὲ καὶ ἡ ἄλλη Ἑλλὰς ἀφειστήκει Ἀθηναίων μετὰ τὴν ναυμαχίαν πλὴν Σαμίων· οὗτοι δὲ σφαγὰς τῶν γνωρίμων ποιήσαντες κατεῖχον τὴν πόλιν. Λύσανδρος δὲ μετὰ ταῦτα ἔπεμψε πρὸς Ἀγίν τε εἰς Δεκέλειαν 2
καὶ εἰς Λακεδαίμονα, ὅτι προσπλεῖ σὺν διακοσίαις ναυσί. Λακεδαι-

---

Χένοφων Grylli filius, Atheniensis, labente saeculo clarissimorum ingeniorum natus est, necdum ex ephebis excesserat defuncto Pericle, ut videre contigerit quid ultimum in libertate esset. pueritiae annos egressus scholas Socratis adiit eumque coluit ut parentem, quidquid maneat mansuruinque sit in ingenii cultu et virtute situm existimans. postea exacta adolescentia expeditioni interfuit (Ol. 94, 4. a. C. 400.) Asiaticae Cyro minori regnum vindicaturae, cuius post interitum exercitum Graecorum ad propinquos restituit ex omni hostium vi insidiisque ereptum atque servatum. in patriam redux, mox exsul factus ab Atheniensibus, sive Agesilao amicissimo sibi quod nimium videretur favere sive alia de causa, Corinthi sedem fixit ibique paene nonagenarius (circa Ol. 106, 2) diem obiit. scripta Xenophontis permulta. ex quibus, ut et graviores in laudando et acerbiores in vituperando nunc procul abire iubeam, hoc certe vos spero cognituros, quem recte recusaveritis *Ἀττικισμοῦ νομοθέτην*, eundem dicere bene quod prudenter intelligat, nec immerito Luciano *δίκαιον συγγραφέα* vocari. iam vero priora capita ex historia Graeca (*Ἑλληνικῶν βιβλία ζ'*.) prolata eas excipient res gestas, quae proximae sunt supra a Diodoro cap. IV perscriptis.

I. Lib. II. c. 2, 3 sq. Edd. I. G. Schneider. Lips. 1821. 8. L. Dindorf. Berol. 1831. 8. Exponuntur res Atheniensium post proelium ad Aegospotamos Ol. 93, 4. a. C. 405 commissum.

1. *κατεσκευάσατο*, *constituit*, *ordinavit*. de quo magis explicate Plut. Lysand. c. 13. *Λύσανδρος καταλύων τοὺς δήμους καὶ τὰς ἄλλας πολιτείας ἕνα μὲν ἁρμοστὴν ἑκάστῃ Λακεδαιμόνιον κατέλιπεν, δέκα δ' ἄρχοντας ἐκ τῶν ὑπ' αὐτοῦ συγκεκροτημένων κατὰ πόλιν ἑταιριῶν.* — *Μιτυλήνην*. de orthographia vocis dictum est ad Diod. II, 4. — *ἐπὶ Θ. in Thraciam versus*. cf. supra Lucian. IV, 2. Plut. III, 1. add. Bernh. Synt. p. 246. — *τῶν γνωρίμων*, *optimatium*, *nobiliorum*. favebant quippe Samii imperio populari.

2. *Δεκέλειαν*, quem locum — aberat autem stadiorum ab Athenis centum viginti — Lacedemonii iam Ol. 91, 4 (a. C. 413.) ipso Agide duce oc-

μόνιοι δὲ ἐξῄεσαν πανδημεὶ καὶ οἱ ἄλλοι Πελοποννήσιοι πλὴν Ἀργείων παραγγείλαντος τοῦ ἑτέρου Λακεδαιμονίων βασιλέως Παυσανίου. ἐπεὶ δ' ἅπαντες ἠθροίσθησαν, ἀναλαβὼν αὐτοὺς πρὸς τὴν πόλιν ἐστρατο-
3 πέδευσεν ἐν τῇ Ἀκαδημίᾳ τῷ καλουμένῳ γυμνασίῳ. Λύσανδρος δὲ ἀφικόμενος εἰς Αἴγιναν ἀπέδωκε τὴν πόλιν Αἰγινήταις ὅσους ἐδύνατο πλείστους ἀθροίσας αὐτῶν, ὡς δ' αὔτως καὶ Μηλίοις καὶ τοῖς ἄλλοις, ὅσοι τῆς αὐτῶν ἐστέροντο. μετὰ δὲ τοῦτο δηώσας Σαλαμῖνα ὡρμίσατο πρὸς τὸν Πειραιᾶ ναυσὶ πεντήκοντα καὶ ἑκατόν, καὶ τὰ πλοῖα εἶργε
4 τοῦ εἴσπλου. οἱ δὲ Ἀθηναῖοι πολιορκούμενοι κατὰ γῆν καὶ κατὰ θάλατταν ἠπόρουν τί χρὴ ποιεῖν οὔτε νεῶν οὔτε συμμάχων αὐτοῖς ὄντων οὔτε σίτου. ἐνόμιζον δ' οὐδεμίαν εἶναι σωτηρίαν, εἰ μὴ παθεῖν ἃ οὐ τιμωρούμενοι ἐποίησαν, ἀλλὰ διὰ τὴν ὕβριν ἠδίκουν ἀνθρώπους μικροπολίτας, οὐδ' ἐπὶ μιᾷ αἰτίᾳ ἑτέρᾳ, ἢ ὅτι ἐκείνοις συνεμάχουν. διὰ ταῦτα τοὺς ἀτίμους ἐπιτίμους ποιήσαντες ἐκαρτέρουν, καὶ ἀποθνησκόντων ἐν τῇ πόλει λιμῷ πολλῶν οὐ διελέγοντο περὶ διαλλαγῆς.
5 ἐπεὶ δὲ παντελῶς ἤδη ὁ σῖτος ἐπιλελοίπει, ἔπεμψαν πρέσβεις παρὰ Ἄγιν βουλόμενοι ξύμμαχοι εἶναι Λακεδαιμονίοις, ἔχοντες τὰ τείχη καὶ τὸν Πειραιᾶ, καὶ ἐπὶ τούτοις ξυνθήκας ποιεῖσθαι. ὁ δὲ αὐτοὺς εἰς Λακεδαίμονα ἐκέλευεν ἰέναι· οὐ γὰρ εἶναι κύριος αὐτός. ἐπεὶ δ' ἀπήγγειλαν οἱ πρέσβεις ταῦτα τοῖς Ἀθηναίοις, ἔπεμψαν αὐτοὺς εἰς
6 Λακεδαίμονα. οἱ δ' ἐπεὶ ἦσαν ἐν Σελλασίᾳ πλησίον τῆς Λακωνικῆς καὶ ἐπύθοντο οἱ Ἔφοροι αὐτῶν ἃ ἔλεγον, ὄντα οἷάπερ καὶ πρὸς Ἄγιν, αὐτόθεν αὐτοὺς ἐκέλευον ἀπιέναι καί, εἴ τι δέονται εἰρήνης, κάλλιον ἥκειν βουλευσαμένους. οἱ δὲ πρέσβεις ἐπεὶ ἧκον οἴκαδε καὶ ἀπήγγειλαν ταῦτα εἰς τὴν πόλιν, ἀθυμία ἐνέπεσε πᾶσιν· ᾤοντο γὰρ

---

cupaverant et Alcibiadis hortatu munierant. — πλὴν Ἀργείων, Argivi omnibus temporibus etiam rebus Atheniensium maxime adflictis certissima dederunt amicitiae pignora.

3. ἀθροίσας, non solum urbs sub iure et imperio Atheniensium erat, sed ipsi quoque cives cum mulieribus liberisque domo expulsi (Thuc. II, 27.) in patriam restituendi. — τῆς αὐτῶν. Dind. comparat Thuc. 8, 6. Καλλίγειτος καὶ Τιμαγόρας φυγάδες τῆς ἑαυτῶν. cf. Paus. II, 2. V, 1. Bernh. Synt. p. 183. — εἶργε. vid. ad Diod. I, 1.

4. εἰ μὴ παθεῖν. Xen. Anab. II, 1, 12. ἡμῖν οὐδὲν ἀγαθὸν ἄλλο, εἰ μὴ ὅπλα. Arist. Eqq. 1106. μηδὲν ἄλλ' εἰ μὴ 'σθιε, iam nihil tibi agendum aliud quam comedendum. — ἀτίμους ἐπιτίμους π. infamia notatos ab eadem liberantes, integram iis famam reddentes. id quod aut nunquam factum est Athenis aut perraro republica in summum discrimen adducta. v. Interpp. ad Arist. Ran. 703.

5. ἐπιλελοίπει. eadem forma Edd. quibusdam ex duobus Codicibus revocanda videtur Anab. VI, 2, 20. atque sic saepius apud Xenophontem euphoniae gratia. cf. Long. I, 2. ἐκτέτατο. 3. τέτμητο. Athen. II, 4. μεμηχάνητο. — ἔχοντες, ea conditione ut retinerent. cf. Viger. p. 348. comp. Krüg. ad Xen. Anab. I, 7, 4.

6. πλησίον τῆς Λ. recentiores scriptores Sellasiam urbem iam non *prope Laconiam*, sed in ipsa Laconia sitam referunt, quem dissensum fere ita dirimere solent viri docti, ut alios alio tempore terrae Laconicae fines fuisse opinentur. — εἴ τι δέονται εἰρ. Xen. Anab. V, 4, 9. τί ἡμῶν δεήσεσθε χρήσασθαι; VII, 3, 34. ταῦτ' ἐστὶν ἃ ἐγὼ ὑμῶν δέομαι. de Indic. temporis praesentis v. B. §. 137, 6. not. 7. sic infra §. 7. εἰ βούλονται. — ἥκειν, ut infra §. 8. ἥξει, §. 9. ἥκε. cuius verbi significatio, *reverti, ex peregrina terra redire*, ab Aeschylo illustratur in Arist. Ran. 1168. ἥκω δὲ ταύτόν ἐστι τῷ κατέρχομαι. — ἐνέπεσε. v. ad Lucian. I.

ἀνδραποδισθήσεσθαι καὶ ἕως ἂν πέμπωσιν ἑτέρους πρέσβεις πολλοὺς τῷ λιμῷ ἀπολεῖσθαι. περὶ δὲ τῶν τειχῶν τῆς καθαιρέσεως οὐδεὶς 7
ἐβούλετο ξυμβουλεύειν· Ἀρχέστρατος γὰρ εἰπὼν ἐν τῇ βουλῇ Λακεδαιμονίοις κράτιστον εἶναι ἐφ' οἷς προὐκαλοῦντο εἰρήνην ποιεῖσθαι, ἐδέθη· προὐκαλοῦντο δὲ τῶν μακρῶν τειχῶν ἐπὶ δέκα σταδίους καθελεῖν ἑκάτερον· ἐγένετο δὲ ψήφισμα μὴ ἐξεῖναι περὶ τούτων ξυμβουλεύειν.

Τοιούτων δὲ ὄντων Θηραμένης ἐν ἐκκλησίᾳ εἶπεν, ὅτι εἰ βού- 8
λονται αὐτὸν πέμψαι παρὰ Λύσανδρον, εἰδὼς ἥξει Λακεδαιμονίους πότερον ἐξανδραποδίσασθαι τὴν πόλιν βουλόμενοι ἀντέχουσι περὶ τῶν τειχῶν ἢ πίστεως ἕνεκα. πεμφθεὶς δὲ διέτριβε παρὰ Λυσάνδρῳ τρεῖς μῆνας καὶ πλείω, ἐπιτηρῶν ὁπότε Ἀθηναῖοι ἔμελλον διὰ τὸ ἐπιλελοιπέναι τὸν σῖτον ἅπαντα ὅ τι τις λέγοι ὁμολογήσειν. ἐπεὶ δὲ ἧκε τε- 9
τάρτῳ μηνί, ἀπήγγειλεν ἐν ἐκκλησίᾳ, ὅτι αὐτὸν Λύσανδρος τέως μὲν κατέχοι, εἶτα κελεύοι εἰς Λακεδαίμονα ἰέναι· οὐ γὰρ εἶναι κύριος ὧν ἐρωτῶτο ὑπ' αὐτοῦ, ἀλλὰ τοὺς Ἐφόρους. μετὰ ταῦτα ἠρέθη πρεσβευτὴς ἐς Λακεδαίμονα αὐτοκράτωρ δέκατος αὐτός. Λύσανδρος δὲ τοῖς Ἐφόροις ἔπεμψεν ἀγγελοῦντα μετ' ἄλλων Λακεδαιμονίων Ἀριστοτέλην, φυγάδα Ἀθηναῖον ὄντα, ὅτι ἀποκρίναιτο Θηραμένει ἐκείνους κυρίους εἶναι εἰρήνης καὶ πολέμου. Θηραμένης δὲ καὶ οἱ ἄλλοι πρέ- 10
σβεις ἐπεὶ ἦσαν ἐν Σελλασίᾳ, ἐρωτώμενοι ἐπὶ τίνι λόγῳ ἥκοιεν, εἶπον ὅτι αὐτοκράτορες περὶ εἰρήνης· μετὰ ταῦτα οἱ Ἔφοροι καλεῖν ἐκέλευον. ἐπεὶ δ' ἧκον, ἐκκλησίαν ἐποίησαν, ἐν ᾗ ἀντέλεγον Κορίνθιοι

---

7. τῶν μακρῶν τειχῶν ctt. de quibus Thuc. I, 107. ἤρξαντο δὲ κατὰ τοὺς χρόνους τούτους (Ol. 80, 4.) καὶ τὰ μακρὰ τείχη ἐς θάλασσαν Ἀθηναῖοι οἰκοδομεῖν, τό τε Φαληρόνδε καὶ τὸ ἐς Πειραιά. *longos* igitur quos dicunt *muros*, quosque brachiis duobus Piraeeum Athenis iunxisse constat, volebant Lacedaemonii diruí ad stadia decem utrinque. quae conditio quum videretur iniquior, etiam peius cum Atheniensibus actum est. infra §. 12. Lysias c. Agorat. §. 14. ἦν (εἰρήνη) ἀντὶ μὲν τοῦ ἐπὶ δέκα στάδια τῶν μακρῶν τειχῶν διελεῖν ὅλα τὰ μακρὰ τείχη διασκάψαι.

8. εἰδὼς ἥξει Λ. Xen. Anab. VI, 2, 23. ἐώρα τοὺς ἀνθρώπους ὡς εἶχον δεινῶς τῇ ἐνδείᾳ. qualia Attractionum genera notissima, ni fallor, ad Xenophontem accedentibus. — πίστεως ἕνεκα, *fidei causa*, i. e. ad Atheniensium fidem firmandam atque obligandam. cf. Anab. III, 3, 4. — πλείω. frequentius sane πλεῖον, μεῖον, ἔλαττον, similia. sed discas etiam ex hoc loco pluralem neutrius generis cum numeralibus coniungi et Adverbii locum sustinere. v. ad Pausan. V, 4. comp. ad Aesop. fabb. VIII. — ἔμελλον, c. Inf. futuri temporis, *quando coniici poterat Athenienses probaturos esse.*

9. ὅτι.. κατέχοι, εἶτα κελεύοι, de quibus Optativis in sermone obliquo ad rem aliquam declarandam seu praeterito, seu praesenti, seu futuro tempore actam v. B. §. 139, 3. M. §. 529, 2. — δέκατος αὐτός, *cum novem aliis*, selbzehnte, ut nos fere dicere solemus. Thuc. 4, 42. ἐστρατήγει δὲ Νικίας τρίτος αὐτός. cf. M. §. 469, 9. rarius Pronomine suppresso, ut Plut. Dem. c. 16. Δημοσθένης πρεσβεύων δέκατος ἦκεν εἰς Μακεδονίαν. ceterum quanta cives premerentur inopia atque periculo, vel eo manifestum, quod *plena* Theramenes *rei gerendae potestate utebatur* (αὐτοκράτωρ), quum plerisque legatis ratio reddenda esset rei administratae. τοῦτο γάρ εἰσι πρεσβείας εὐθῦναι· τί πέπρακται; τί ἀπήγγειλας; εἰ μὲν ἀληθῆ, σώζου· εἰ δὲ ψευδῆ, δίκην δός. Dem. de f. leg. §. 82. p. 367. — Ἀριστοτέλης, fuit Olymp. 94, 1 in numero triginta tyrannorum.

10. καλεῖν, Dind. cum aliis quibusdam Edd. vel addunt vel addi iubent αὐτούς, quo inserto etiam melius h. l. carebimus, quam supra Athen I. §. 6, qui locus paene gemellus, sive omissionem illam sive significationem vocis

καὶ Θηβαῖοι μάλιστα, πολλοὶ δὲ καὶ ἄλλοι τῶν Ἑλλήνων μὴ σπένδεσθαι Ἀθηναίοις, ἀλλ' ἐξαιρεῖν. Λακεδαιμόνιοι δὲ οὐκ ἔφασαν πόλιν Ἑλληνίδα ἀνδραποδιεῖν μέγα ἀγαθὸν εἰργασμένην ἐν τοῖς μεγίστοις κινδύνοις γενομένοις τῇ Ἑλλάδι, ἀλλ' ἐποιοῦντο εἰρήνην ἐφ' ᾧ τά τε μακρὰ τείχη καὶ τὸν Πειραιᾶ καθελόντας καὶ τὰς ναῦς πλὴν δώδεκα παραδόντας καὶ τοὺς φυγάδας κατάξαντας, τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον νομίζοντας Λακεδαιμονίοις ἕπεσθαί καὶ κατὰ γῆν καὶ κατὰ θά-
11 λατταν ὅποι ἂν ἡγῶνται. Θηραμένης δὲ καὶ οἱ σὺν αὐτῷ πρέσβεις ἐπανεφέροντο ταῦτα εἰς τὰς Ἀθήνας. εἰσιόντας δ' αὐτοὺς ὄχλος περιεχεῖτο πολὺς φοβούμενοι, μὴ ἄπρακτοι ἥκοιεν· οὐ γὰρ ἔτι ἐνεχώρει μέλλειν διὰ τὸ πλῆθος τῶν ἀπολλυμένων τῷ λιμῷ. τῇ δ' ὑστεραίᾳ ἀπήγγελλον οἱ πρέσβεις ἐφ' οἷς οἱ Λακεδαιμόνιοι ποιοῖντο τὴν εἰρήνην· προηγόρει δὲ αὐτῶν Θηραμένης λέγων, ὡς χρὴ πείθεσθαι Λακεδαιμονίοις καὶ τὰ τείχη περιαιρεῖν. ἀντειπόντων δέ τινων αὐτῷ,
12 πολλῷ δὲ πλειόνων ξυνεπαινεσάντων ἔδοξε δέχεσθαι τὴν εἰρήνην. μετὰ δὲ ταῦτα Λύσανδρός τε κατέπλει εἰς τὸν Πειραιᾶ καὶ οἱ φυγάδες κατῆεσαν καὶ τὰ τείχη κατέσκαπτον ὑπ' αὐλητρίδων πολλῇ προθυμίᾳ, νομίζοντες ἐκείνην τὴν ἡμέραν τῇ Ἑλλάδι ἄρχειν τῆς ἐλευθερίας.

II.

1 Οἱ μὲν τριάκοντα πάνυ δὴ ταπεινοὶ καὶ ἔρημοι ξυνεκάθηντο ἐν τῷ ξυνεδρίῳ· τῶν δὲ τρισχιλίων ὅπου ἕκαστοι τεταγμένοι ἦσαν, παν-

---

καλεῖν, *arcessere* (add. Aelian. X. not.) respicis. — ἐξαιρεῖν, ex Ἀθηναίοις repete Ἀθήνας. vid. ad Lucian. IV, 4. ἐφ' ᾧ.. ἕπεσθαι, i. e. ἐπὶ τούτῳ ὥστε ctt. quibus formulis *consilium* aut *conditio* exprimitur, quum ὥστε particula proprie *effectum* alicuius rei indicet. sed fit ubi promiscue ponatur (Herm. ad Vig. p. 949.), neque structurae ratio diversa. Xen. Anab. IV, 4, 6. ὁ δὲ Τηρίβαζος ἔλεγεν, ὅτι σπείσασθαι βούλοιτο ἐφ' ᾧ μήτ' αὐτὸς τοὺς Ἕλληνας ἀδικεῖν, μήτ' ἐκείνους καίειν τὰς οἰκίας. — πλὴν δώδεκα. Diod. XIII, 107. μακρὰς ναῦς μὴ πλεῖον ἔχειν δέκα ctt.

11. ὄχλος.. φοβούμενοι. cf. supra ad Lucian. dial. mort. IV, 3. Pausan. VI, 1. — οὐ γὰρ ἔτι ἐνεχώρει, *iam non concessum erat, non licuit*, ut alias ἐγχωροῦν ἦν. — τῷ λιμῷ, Articulo ne forte offendaris, v. ad Lucian. II, 4. — προηγόρει, etymon habere videtur a v. προηγορέω. Plut. Brut. c. 6. Βροῦτος τῷ τῶν Λιβύων βασιλεῖ προηγορῶν ἠττᾶτο τοῦ μεγέθους τῶν κατηγοριῶν, ubi minus usitate tertium casum additum habet. cf. Lex. Passov. s. v. προαγορέω. — πολλῷ δὲ πλ. Dind. praefert πολὺ δ. πλ. utrumque recte defendi potest. Xen. Cyrop. V, 5, 45. πολλῷ ἂν μᾶλλον ἀνύσαι δυναίμεθα. cf. M. §. 455. not. 5. Lat. *multum*, quamquam rarius, et *multo post, ante*. Cic. Ep. ad div. 3, 11. *permultum ante certior factus eram litteris*.

12. ὑπ' αὐλητρίδων, de usu Praepositionis exposuit Bernh. w. Synt. pag. 268. sic Latini graecissantes. Copa init. *copa — sub crotalo docta movere latus*. sed potior est ratio Ciceronis, *ad tibicinem* muros diruere. ceterum conditiones pacis si credimus Plutarcho duriores. Λύσανδρος τὰ τείχη κατέσκαπτε καὶ τὰς τριήρεις κατέφλεγε πρὸς τὸν αὐλὸν ἐστεφανωμένων καὶ παιζόντων ἅμα τῶν συμμάχων. vid. Lysand. c. 15.

II. Lib. II. c. 4, 23 sq. Imperio triginta virorum abrogato res Atheniensium ita componuntur, ut cives praeteritis discordiis iniuriisque perpetua oblivione obrutis pacem inter se concilient. Ol. 94, 2. a. C. 403.

1. οἱ μ. τριάκοντα, sic vocantur, quamquam duo perierant Critias et Hippomachus. significatur enim id ipsum tempus, quo Thrasybulus Piraeeo capto in Munychia fudit adversarios. — τῶν τρισχ. dicit cives Atheniensium

ταχοῦ διεφέροντο πρὸς ἀλλήλους. ὅσοι μὲν γὰρ ἐπεποιήκεσάν τι βιαιότερον καὶ ἐφοβοῦντο, ἐντόνως ἔλεγον, ὡς οὐ χρὴ καθυφίεσθαι τοῖς ἐν Πειραιεῖ· ὅσοι δὲ ἐπίστευον μηδὲν ἠδικηκέναι, αὐτοί τε ἀνελογίζοντο καὶ τοὺς ἄλλους ἐδίδασκον, ὡς οὐδὲν δέοιντο τούτων τῶν κακῶν, καὶ τοῖς τριάκοντα οὐκ ἔφασαν χρῆναι πείθεσθαι, οὐδ' ἐπιτρέπειν ἀπολλύναι τὴν πόλιν. καὶ τὸ τελευταῖον ἐψηφίσαντο ἐκείνους μὲν καταπαῦσαι, ἄλλους δὲ ἑλέσθαι· καὶ εἵλοντο δέκα, ἕνα ἀπὸ φυλῆς.

Καὶ οἱ μὲν τριάκοντα Ἐλευσῖνάδε ἀπῆλθον· οἱ δὲ δέκα τῶν ἐν 2
ἄστει καὶ μάλα τεταραγμένων καὶ ἀπιστούντων ἀλλήλοις ξὺν τοῖς ἱππάρχοις ἐπεμέλοντο. ἐξεκάθευδον δὲ καὶ οἱ ἱππεῖς ἐν τῷ Ὠιδείῳ τούς τε ἵππους καὶ τὰς ἀσπίδας ἔχοντες, καὶ δι' ἀπιστίαν ἐφωδεύοντο τὸ μὲν ἀφ' ἑσπέρας ξὺν ταῖς ἀσπίσι κατὰ τὰ τείχη, τὸ δὲ πρὸς ὄρθρον ξὺν τοῖς ἵπποις, ἀεὶ φοβούμενοι, μὴ ἐπεισπέσοιέν τινες αὐτοῖς τῶν
ἐκ τοῦ Πειραιῶς. οἱ δὲ πολλοί τε ἤδη ὄντες καὶ παντοδαποὶ ὅπλα 3
ἐποιοῦντο, οἱ μὲν ξύλινα, οἱ δὲ οἰσύϊνα, καὶ ταῦτα ἐλευκοῦντο. πρὶν δὲ ἡμέρας δέκα γενέσθαι, πιστὰ δόντες, οἵτινες ξυμπολεμήσειαν, καὶ εἰ ξένοι εἶεν, ἰσοτέλειαν ἔσεσθαι, ἐξήεσαν πολλοὶ μὲν ὁπλῖται, πολλοὶ δὲ γυμνῆτες· ἐγένοντο δὲ αὐτοῖς καὶ ἱππεῖς ὡσεὶ ἑβδομήκοντα· προνομὰς δὲ ποιούμενοι καὶ λαμβάνοντες ξύλα καὶ ὀπώραν ἐκάθευδον
πάλιν ἐν Πειραιεῖ. τῶν δ' ἐκ τοῦ ἄστεος ἄλλος μὲν οὐδεὶς ξὺν ὅπλοις 4
ἐξῄει, οἱ δὲ ἱππεῖς ἔστιν ὅτε καὶ λῃστὰς ἐχειροῦντο τῶν ἐκ τοῦ Πειραιῶς καὶ τὴν φάλαγγα αὐτῶν ἐκακούργουν. περιέτυχον δὲ καὶ τῶν Αἰξωνέων τισὶν ἐς τοὺς αὐτῶν ἀγροὺς ἐπὶ τὰ ἐπιτήδεια πορευομένοις· καὶ τούτους Λυσίμαχος ὁ ἵππαρχος ἀπέσφαξε πολλὰ λιτανεύοντας καὶ
πολλῶν χαλεπῶς φερόντων ἱππέων. ἀνταπέκτειναν δὲ καὶ οἱ ἐν Πει- 5
ραιεῖ τῶν ἱππέων ἐπ' ἀγροῦ λαβόντες Καλλίστρατον φυλῆς Λεοντίδος·

---

ex omnibus selectos ad custodiendam civitatis formam a tyrannis instructam. — καθυφίεσθαι, translatum videtur a navigantibus, qui vento insurgente vela submittunt vel contrahunt. hinc eo sensu, quo Hesych. et alii intelligunt: ἐνδιδόναι, προδιδόναι. — δέκα. Harpocr. s. v. ἐκαλεῖτο τούτων ἕκαστος τῶν ἀρχόντων δεκαδοῦχος (decemvir).

2. Ἐλευσῖνάδε. perperam Ἐλευσίναδε. sic οἰκόνδε et alia. v. Göttling allg. Lehre v. Accent. p. 357. — ἐξεκάθευδον.. ἐν τῷ Ὠιδ. indicat equites *a iustis suis sedibus remotos* aliis quibusdam fuisse. cf. M. §. 578. sic solent Romani *excubare in aliquo loco*. — τὸ μὲν ἀφ' ἑ. B. §. 125, 8. not. 5. supra Lucian. I, 1. τὸ μετὰ τοῦτο. — τῶν ἐκ τοῦ Π. v. ad Diod. IV, 5.

3. ὅπλα, de omni genere armorum, quibus corpus munitur, h. l. ἀσπίδας. — ἐλευκοῦντο, alii aliis picturis exornare scuta solebant (Hom. Il. 18, 478 sq. Hesiod. scut. 139 s.), *dealbatis* Cimbri quoque utebantur, quibus hostes obcaecarent. Plut. Marius. 25 extr. — πρίν. v. ad Pausan. IV, 2. — ἰσοτέλειαν. Ammon. ἰσοτελής, πάντα ἔχων τὰ αὐτὰ τοῖς πολίταις πλὴν τοῦ ἄρχειν. — ὡσεί, i. q. ὡς numeralibus adiectum. supra ad Athen. I, 4. al.

4. ἔστιν ὅτε, *interdum*. sic ἔστιν, rarius εἰσὶν omnis generis relativis praeponitur. v. ad Pausan. VII, 2. — λῃστάς, non solum *piratas* adpellare solent, sed ut h. l. quicunque *praedatum egrediuntur*, quibus opponitur φάλαγξ, acies instructa, ad illos tutandos apta. — Αἰξωνέων. Harpocrat. Αἰξωνῆς δῆμος φυλῆς τῆς Κεκροπίδος. hinc incolae eiusdem demi οἱ Αἰξωνεῖς. — λιτανεύοντας, vox poetis quam prosae scriptoribus usitatior, pro ἱκετεύειν, ἀπεύχεσθαι, παραιτεῖσθαι. — ἱππέων, h. e. τοῦ Λυσιμάχου.

5. τῶν ἱππέων, partitionem significat et ab eodem nomine proprio pendet, cui mox alter Genitivus adnectitur φυλῆς Λ. Herod. 6, 114. ἀπέθανε τῶν στρατηγῶν Στησίλεως. Xen. hist. Gr. II, 4, 19. ἀπέθανον τῶν τριάκοντα Κριτίας τε καὶ Ἱππόμαχος. comp. M. §. 321, 6. Caes. B. G. 6,

καὶ γὰρ ἤδη μέγα ἐφρόνουν, ὥστε καὶ πρὸς τὸ τεῖχος τοῦ ἄστεος
προσέβαλον. εἰ δὲ καὶ τοῦτο δεῖ εἰπεῖν τοῦ μηχανοποιοῦ τοῦ ἐν τῷ
ἄστει, ὃς ἐπεὶ ἔγνω, ὅτι κατὰ τὸν ἐκ Λυκείου δρόμον μέλλοιεν τὰς
μηχανὰς προσάγειν, τὰ ζεύγη ἐκέλευσε πάντα ἁμαξιαίους λίθους ἄγειν
καὶ καταβάλλειν ὅπου ἕκαστος βούλοιτο τοῦ δρόμου. ὡς δὲ τοῦτο ἐγέ-
6 νετο, πολλὰ εἷς ἕκαστος τῶν λίθων πράγματα παρεῖχε. πεμπόντων
δὲ πρέσβεις ἐς Λακεδαίμονα τῶν μὲν τριάκοντα ἐξ Ἐλευσῖνος, τῶν
δ' ἐν καταλόγῳ ἐξ ἄστεος καὶ βοηθεῖν κελευόντων, ὡς ἀφεστηκότος
τοῦ δήμου ἀπὸ Λακεδαιμονίων, Λύσανδρος λογισάμενος, ὅτι οἷόν
τε εἴη ταχὺ ἐκπολιορκῆσαι τοὺς ἐν τῷ Πειραιεῖ κατά τε γῆν καὶ κατὰ
θάλατταν, εἰ τῶν ἐπιτηδείων ἀποκλεισθείησαν, ξυνέπραξεν ἑκατόν τε
τάλαντα αὐτοῖς δανεισθῆναι καὶ αὐτὸν μὲν κατὰ γῆν ἁρμοστήν, Αἴ-
7 βυν δὲ τὸν ἀδελφὸν ναυαρχοῦντα ἐκπεμφθῆναι. καὶ ἐξελθὼν αὐτὸς
μὲν Ἐλευσῖνάδε ξυνελέγετο ὁπλίτας πολλοὺς Πελοποννησίων· ὁ δὲ
ναύαρχος κατὰ θάλατταν ἐφύλαττεν, ὅπως μηδὲν εἰσπλέοι αὐτοῖς τῶν
ἐπιτηδείων· ὥστε ταχὺ πάλιν ἐν ἀπορίᾳ ἦσαν οἱ ἐν Πειραιεῖ, οἱ δ' ἐν
τῷ ἄστει πάλιν αὖ μέγα ἐφρόνουν ἐπὶ τῷ Λυσάνδρῳ. οὕτω δὲ προ-
χωρούντων Παυσανίας ὁ βασιλεὺς φθονήσας Λυσάνδρῳ, εἰ κατειρ-
γασμένος ταῦτα ἅμα μὲν εὐδοκιμήσοι, ἅμα δὲ ἰδίας ποιήσοιτο τὰς
8 Ἀθήνας, πείσας τῶν Ἐφόρων τρεῖς ἐξάγει φρουράν. ξυνείποντο δὲ
καὶ οἱ ξύμμαχοι πάντες πλὴν Βοιωτῶν καὶ Κορινθίων. οὗτοι δὲ ἔλε-
γον μέν, ὅτι οὐ νομίζοιεν εὐορκεῖν ἂν στρατευόμενοι ἐπ' Ἀθηναίους
μηδὲν παράσπονδον ποιοῦντας· ἔπραττον δὲ ταῦτα, ὅτι ἐγίγνωσκον
Λακεδαιμονίους βουλομένους τὴν τῶν Ἀθηναίων χώραν οἰκείαν καὶ
πιστὴν ποιήσασθαι. ὁ δὲ Παυσανίας ἐστρατοπεδεύσατο μὲν ἐν τῷ
Ἁλιπέδῳ καλουμένῳ πρὸς τῷ Πειραιεῖ δεξιὸν ἔχων κέρας, Λύσαν-

---

44. exercitum Caesar Durocortorum *Remorum* reducit. — *εἰ δὲ καὶ τ.* ctt. Apodosi omissa, ut fieri solet in hac formula modestius inducente quibus facile scriptor supersedere posse videretur. sic prorsus Latini *si*, *siquidem*, *si iam*. vid. similem structuram ap. Cic. Tusc. IV, 35, 75. nos: um auch dies noch zu erzählen, s. wofern ich auch dies noch erz. soll. — *Λυκείου*. tria Athenarum gymnasia *Λύκειον*, *Κυνόσαργες*, *Ἀκαδημία*. Lyceum, a Pisistrato conditum, ad orientem versus in suburbio fuit curriculo (*δρόμος*) sive loco, quo instituerentur cursus certamina, instructum. — *ὅπου*, c. Gen. Bernh. Synt. p. 157.

6. *τῶν ἐν καταλόγῳ*, proprie de iis dictum, qui in peditatu gravi armatura stipendia faciebant eoque publicam quandam auctoritatem habebant, unde *στρατεύοντες ἐκ καταλόγου* et *δῆμος ψιλὸς* inter se oppositi. iam nostro loco *τρισχίλιοι* illi dicuntur, de quibus §. 1. — *ὡς ἀφεστηκότος τοῦ δ.* vid. ad Lucian. dial. mort. I, 4. Plut. V, 2 extr. — *ξυνέπραξεν*, *impetrabat*. — *ἁρμοστήν*. Harpocr. *ἁρμοσταὶ οἱ ὑπὸ Λακεδαιμονίων εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες ἐκπεμπόμενοι*. hinc recte comparaveris Romanorum *triumviros* in subactas provincias mitti solitos. — *ἐκπεμφθῆναι*. ad Diod. I, 5.

7. *ὅπως*, c. Optat. cf. B. §. 139, 4. not. 2. — *προχωρούντων*, idem fere quod supra I, 8 *τοιούτων ὄντων*. plenius hist. Gr. V, 2, 1. *τούτων δὲ προκεχωρηκότων ὡς ἐβούλοντο* ctt. — *εἰ*, c. Opt. temporis fut. *si gloriam consecuturus esset*. auf den Fall dass. Xen. Anab. V, 10, 7. Krüg. ad I, 4, 7. — *τρεῖς*, fuerunt autem ex Timaei in Lex. Plat. testimonio, quum plurimum, quinque Ephori. — *φρουράν*, Laconibus fere i. q. *στρατεία*, vel ut h. l. *στρατιά*, *στράτευμα*.

8. *οὐ νομίζ.* v. B. §. 148, 2. not. 2. *εὐορκεῖν ἄν.* v. B. §. 139, 14. M. §. 598, 1. a. — *ἐγίγνωσκον*, c. Part. v. B. §. 144, 4. M. §. 530, 2. — *Ἁλιπέδῳ*. Suid. s. v. *Ἁλίπεδον. ὁμαλὸν ἔδαφος παρὰ τῇ θαλάσσῃ. τινὲς*

δρος δὲ ξὺν τοῖς μισθοφόροις τὸ εὐώνυμον. πέμπων δὲ πρέσβεις ὁ 9
Παυσανίας πρὸς τοὺς ἐν Πειραιεῖ ἐκέλευεν ἀπιέναι ἐπὶ τὰ ἑαυτῶν· ἐπεὶ δ' οὐκ ἐπείθοντο, προσέβαλλεν ὅσον ἀπὸ βοῆς ἕνεκεν, ὅπως μὴ ὄχλος εἴη εὐμενὴς αὐτοῖς ὤν. ἐπεὶ δ' οὐδὲν ἀπὸ τῆς προσβολῆς πράξας ἀπῆλθε, τῇ ὑστεραίᾳ λαβὼν τῶν μὲν Λακεδαιμονίων δύο μόρας, τῶν δὲ Ἀθηναίων ἱππέων τρεῖς φυλὰς παρῆλθεν ἐπὶ τὸν κωφὸν λιμένα σκοπῶν πῇ εὐαποτείχιστος εἴη ὁ Πειραιεύς. ἐπεὶ δὲ ἀπιόντος 10
αὐτοῦ προσέθεόν τινες καὶ πράγματα αὐτῷ παρεῖχον, ἀχθεσθεὶς παρήγγειλε τοὺς μὲν ἱππέας ἐλᾶν εἰς αὐτούς ἐνέντας καὶ τὰ δέκα ἀφ' ἥβης ξυνέπεσθαι· ξὺν δὲ τοῖς ἄλλοις αὐτὸς ἐπηκολούθει. καὶ ἀπέκτειναν μὲν ἐγγὺς τριάκοντα τῶν ψιλῶν, τοὺς δ' ἄλλους κατεδίωξαν πρὸς τὸ ἐν Πειραιεῖ θέατρον. ἐκεῖ δὲ ἔτυχον ἐξοπλιζόμενοι οἵ τε πελτασταὶ 11
πάντες καὶ οἱ ὁπλῖται τῶν ἐκ Πειραιῶς. καὶ οἱ μὲν ψιλοὶ εὐθὺς ἐκδραμόντες ἠκόντιζον, ἔβαλλον, ἐτόξευον, ἐσφενδόνων· οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ αὐτῶν πολλοὶ ἐτιτρώσκοντο, μάλα πιεζόμενοι ἀνεχώρουν ἐπὶ πόδα· οἱ δ' ἐν τούτῳ πολὺ μᾶλλον ἐπέκειντο. ἐνταῦθα δὲ ἀποθνήσκει Χαίρων τε καὶ Θίβραχος, ἄμφω πολεμάρχω, καὶ Λακράτης ὁ Ὀλυμπιονίκης καὶ ἄλλοι οἱ τεθαμμένοι Λακεδαιμονίων πρὸ τῶν πυλῶν ἐν Κεραμεικῷ. ὁρῶν δὲ ταῦτα ὁ Θρασύβουλος καὶ οἱ ἄλ- 12
λοι ὁπλῖται ἐβοήθουν καὶ ταχὺ παρετάξαντο πρὸ τῶν ἄλλων ἐπ' ὀκτώ. ὁ δὲ Παυσανίας μάλα πιεσθεὶς καὶ ἀναχωρήσας ὅσον στάδια τέτταρα ἢ πέντε πρὸς λόφον τινὰ παρήγγειλε τοῖς Λακεδαιμονίοις καὶ τοῖς

δὲ τὸν Πειραιᾶ φασιν. ἔστι δὲ καὶ κοινὸς τόπος, ὃς πάλαι μὲν ἦν θάλασσα, αὖθις δὲ γέγονε πεδίον.

9. ὅσον ἀπὸ βοῆς ἕν. *quoad clamore* s. *clamando effici potuit adoriebatur*, h. e. simulate, per speciem. in quo enunciato aeque agnoscere licebit abundantiam quandam vel duas loquutiones in unam confusas atque in nostro: nur so *um* des Schreiens *willen*. similia praebet Bernh. Synt. p. 199 — 200. ἕνεκεν, supra ad Lucian. III, 4. — οὐδὲν ἀπὸ τῆς προσβ. *nihil quum inde ex hac obsidione effectum haberet*. nos: in Folge der Blokade s. von Seiten. Thuc. 6, 19. Νικίας γνοὺς ὅτι ἀπὸ μὲν τῶν αὐτῶν λόγων οὐκ ἂν ἔτι ἀποτρέψειεν αὐτούς. cf. ib. c. 101 init. supra ad Plut. I, 3. Diod. I, 1. iam vero minus huc pertinent ἀφ' ἑαυτοῦ τι πράττειν, Ciceronianum illud *a se aliquid facere*, et similia. — κωφὸν λ. videtur Piraeei pars fuisse *ab aestuum accessu et recessu minus turbata*, in qua statio navium munitissima. usitata sunt simili potestate in Homero κωφὸν βέλος, κ. κῦμα (Il. 14, 16.), ὡς μὴ ἐνεργοῦντα εἰς ἀκοήν. ceterum etiam in sinu Toronaico portus qui κωφὸς dicitur. Pomp. Mela II, 3 init.

10. ἐλᾶν, etsi poetis probatius pro ἐλαύνειν ex quattuor Codd. cum Dind. recepi alterum exemplum excitante Cyrop. 8, 3, 32. — ἐνέντας, sic optime Dind. pro ἀνέντας sex libris suffragantibus. voluit sine dubio *pleno cursu, missis habenis*. — τὰ δέκα ctt. *qui decem annos excesserant inde ab initio pubertatis*, i. e. eius aetatis, qua quis prima stipendia mereri Athenis solebat. v. ad Aelian. XXII. notanda formula illa fere sic elliptice expressa, quam expleas licet hoc modo: τοὺς τ. δ. ἀ. ἡ. ἔτη ἔχοντας s. στρατευομένους. hist. Gr. III, 4, 28. ἐκέλευσε τὰ δέκα ἀφ' ἥβης θεῖν ὁμόσε αὐτοῖς. — ἐγγύς. Xen. Anab. IV, 2, 28. Interpp. V, 7, 9. comp. ἐγγύς τι, οὐδ' ἐγγύς, sim.

11. ἐξοπλιζόμενοι, v. ad Plut. II, 2. — ἀνεχ. ἐπὶ πόδα, i. q. alias ἐπὶ σκέλος χωρεῖν s. ἀναχ., cui si quid opus est σχολίου habetis in Lexx. Segg. τὸ ὀπίσω ἀναχωρεῖν μὴ δόντα τοῖς ὑπεναντίοις τὰ νῶτα. cf. ad Plut. V, 4. — Κεραμεικῷ. v. ad Plut. V, 1.

12. ἐπ' ὀκτώ, formula militaris de altitudine singulorum agminum, *ita ut octoni singulis ordinibus procederent*, acht Mann hoch. cf. M. §. 584.

ἄλλοις ξυμμάχοις ἐπιχωρεῖν πρὸς ἑαυτόν. ἐκεῖ δὲ ξυνταξάμενος βαθεῖαν παντελῶς τὴν φάλαγγα ἦγεν ἐπὶ τοὺς Ἀθηναίους. οἱ δ' εἰς χεῖρας μὲν ἐδέξαντο, ἔπειτα δὲ οἱ μὲν ἐξεώσθησαν εἰς τὸν ἐν ταῖς Ἀλαῖς πηλόν, οἱ δὲ ἐνέκλιναν· καὶ ἀποθνήσκουσιν αὐτῶν ὡς πεν-
13τήκοντα καὶ ἑκατόν. ὁ δὲ Παυσανίας τρόπαιον στησάμενος ἀνεχώρησε· καὶ οὐδ' ὡς ὠργίζετο αὐτοῖς, ἀλλὰ λάθρᾳ πέμπων ἐδίδασκε τοὺς ἐν Πειραιεῖ οἷα χρὴ λέγοντας πρέσβεις πέμπειν πρὸς ἑαυτὸν καὶ τοὺς παρόντας Ἔφορους. οἱ δ' ἐπείθοντο. διϊστῆσι δὲ καὶ τοὺς ἐν τῷ ἄστει καὶ ἐκέλευε πρὸς σφᾶς προσιέναι ὡς πλείστους ξυλλεγομένους, λέγοντας, ὅτι οὐδὲν δέονται τοῖς ἐν τῷ Πειραιεῖ πολεμεῖν, ἀλλὰ διαλυθέν-
14τες κοινῇ ἀμφότεροι Λακεδαιμονίοις φίλοι εἶναι. ἡδέως δὲ ταῦτα καὶ Ναυκλείδας Ἔφορος ὢν ξυνήκουεν· ὥσπερ γὰρ νομίζεται ξὺν βασιλεῖ δύο τῶν Ἐφόρων ξυστρατεύεσθαι, καὶ τότε παρῆν οὗτός τε καὶ ἄλλος, ἀμφότεροι τῆς μετὰ Παυσανίου γνώμης ὄντες μᾶλλον ἢ τῆς μετὰ Λυσάνδρου. διὰ ταῦτα οὖν καὶ εἰς τὴν Λακεδαίμονα προθύμως ἔπεμπον τούς τ' ἐκ τοῦ Πειραιῶς ἔχοντας τὰς πρὸς Λακεδαιμονίους σπονδὰς καὶ τοὺς ἀπὸ τῶν ἐν τῷ ἄστει ἰδιώτας, Κηφισοφῶντά τε καὶ
15Μέλιτον. ἐπεὶ μέντοι οὗτοι ᾤχοντο εἰς Λακεδαίμονα, ἔπεμπον δὴ καὶ οἱ ἀπὸ τοῦ κοινοῦ ἐκ τοῦ ἄστεος λέγοντας, ὅτι αὐτοὶ μὲν παραδιδόασι καὶ τὰ τείχη ἃ ἔχουσι καὶ σφᾶς αὐτοὺς Λακεδαιμονίοις χρῆσθαι ὅ τι βούλονται· ἀξιοῦν δ' ἔφασαν καὶ τοὺς ἐν Πειραιεῖ, εἰ φίλοι φασὶν εἶναι Λακεδαιμονίοις, παραδιδόναι τόν τε Πειραιᾶ καὶ τὴν
16Μουνυχίαν. ἀκούσαντες δὲ πάντων αὐτῶν οἱ Ἔφορσι καὶ οἱ ἔκκλητοι ἐξέπεμψαν πεντεκαίδεκα ἄνδρας εἰς τὰς Ἀθήνας καὶ ἐπέταξαν ξὺν Παυσανίᾳ διαλλάξαι ὅπῃ δύναιντο κάλλιστα. οἱ δὲ διήλλαξαν ἐφ' ᾧτε εἰρήνην μὲν ἔχειν ὡς πρὸς ἀλλήλους, ἐπιέναι δὲ ἐπὶ τὰ ἑαυτῶν ἑκά-

---

θ. — ἐπιχωρεῖν πρὸς ἑ. ut Latini dicunt *ad suos, ad castra, intra praesidia sua se recipere.* — εἰς χεῖρας μ. ἐδέξ., ut alias εἰς δόρυ δέχεσθαι, *cominus pugnare, manus conserere.* comp. εἰς χεῖρας ἐλθεῖν, ἰέναι Xen. Anab. I, 2, 26. — Ἀλαῖς. duo fuerunt demi Atticae, Ἀλαὶ Ἀραφηνίδες et Ἀλαὶ Λιξωνίδες. atque h. l. Halas Aexonides intelligit prope Piraeeum portum habitatas.

13. οὐδ' ὡς, *ne sic quidem.* cf. Krüg. ad. Anab. I, 8, 21. — λάθρᾳ. alii λάθρα. in quibus orthographicis, ut semel dicam, ita versatus sum, ut Iota exemerim ubicunque Dativi illi iusta Nominativi forma carent. hinc ubique dedimus ἄλλῃ, ἰδίᾳ, πεζῇ, διπλῇ al., at vero εἰκῇ, πανταχῇ, πολλαχῇ, πάντῃ, ὅπῃ ctt. — διϊστῆσι. Dind. διΐστη ex uno Codice probante Schneidero ob seq. ἐκέλευε.

14. ἡδέως.. ξυνήκουεν, *benigne haec excipiebat una cum Pausania.* — νομίζεται, *lege sancitur, solemne est,* ut sexcenties. Xen. de rep. Laced. 13, 5. πάρεισι δὲ καὶ τῶν Ἐφόρων δύο, οἳ πολυπραγμονοῦσι μὲν οὐδέν, ἢν μὴ ὁ βασιλεὺς προσκαλῇ. — γνώμης ὄντες. εἶναι c. Gen. quid sit docuit Bernh. Synt. p. 165, minus accurate M. §. 374. — τοὺς ἀπὸ τ., ut mox οἱ ἀπὸ τοῦ κοινοῦ (*decemviri* §. 1. 2.), ex illis formulis translata videntur, quibus quis studiis vel partibus alicuius favere dicitur, veluti οἱ ἀπὸ λόγου καὶ σοφίας, *viri docti,* οἱ ἀπὸ τῆς θυμέλης, *poetae comici,* οἱ ἀπὸ τῆς Στοᾶς al. — Μέλιτον, Dind. Μέλητον.

15. ἔπεμπον δή, *tum vero miserunt.* δὴ igitur particula confirmandi et intendendi vi instructa est. sic §. 17. ἐπεὶ δὲ — ἔνθα δή.

16. οἱ ἔκκλητοι, h. e. ἡ ἐκκλησία τῶν Λακεδαιμονίων. — ὅπῃ δ. κάλλιστα, *quacunque ratione possent aequissime,* ut ὡς c. Superl. interpositis verbis δύνασθαι, δοκεῖν, οἷόν τε, quae ὅτι et ὡς ὅτι simili iunctura expungere solent. — ἐφ' ᾧτε. v. ad Xen. I, 10. — ὡς πρὸς ἀλλ. cf. B.

στους πλὴν τῶν τριάκοντα καὶ τῶν ἕνδεκα καὶ τῶν ἐν τῷ Πειραιεῖ ἀρξάντων δέκα. εἰ δέ τινες φοβοῖντο τῶν ἐξ ἄστεος, ἔδοξεν αὐτοῖς τὴν Ἐλευσῖνα κατοικεῖν. τούτων δὲ περαιωθέντων Παυσανίας μὲν 17 διῆκε τὸ στράτευμα, οἱ δ' ἐκ τοῦ Πειραιῶς ἀνελθόντες ξὺν τοῖς ὅπλοις εἰς τὴν ἀκρόπολιν ἔθυσαν τῇ Ἀθηνᾷ. ἐπεὶ δὲ κατέβησαν οἱ στρατηγοί, ἔνθα δὴ ὁ Θρασύβουλος ἔλεξεν·

Ἡμῖν, ἔφη, ὦ ἐκ τοῦ ἄστεος ἄνδρες, ξυμβουλεύω ἐγὼ γνῶναι 18 ὑμᾶς αὐτούς. μάλιστα δ' ἂν γνοίητε, εἰ ἀναλογίσαισθε ἐπὶ τίνι ὑμῖν μέγα φρονητέον ἐστίν, ὥστε ἡμῶν ἄρχειν ἐπιχειρεῖν. πότερον δικαιότεροί ἐστε; ἀλλ' ὁ μὲν δῆμος πενέστερος ὑμῶν ὢν οὐδὲν πώποτε ἕνεκα χρημάτων ὑμᾶς ἠδίκησεν· ὑμεῖς δὲ πλουσιώτεροι πάντων ὄντες καὶ πολλὰ καὶ αἰσχρὰ ἕνεκα κερδέων πεποιήκατε. ἐπεὶ δὲ δικαιοσύνης οὐδὲν ὑμῖν προσήκει, σκέψασθε εἰ ἄρα ἐπ' ἀνδρείᾳ ὑμῖν μέγα φρονητέον. καὶ τίς ἂν καλλίων κρίσις τούτου γένοιτο, ἢ ὡς ἐπολεμήσαμεν 19 πρὸς ἀλλήλους; ἀλλὰ γνώμῃ φαίητ' ἂν προέχειν, οἳ ἔχοντες καὶ τεῖχος καὶ ὅπλα καὶ χρήματα καὶ ξυμμάχους Πελοποννησίους ὑπὸ τῶν ὀ'δὲν τούτων ἐχόντων περιελήλυθατε; ἀλλ' ἐπὶ Λακεδαιμονίοις δὴ οἴεσθε μέγα φρονητέον εἶναι; πῶς, οἵ γε ὥσπερ τοὺς δάκνοντας κύνας κλοιῷ δήσαντες παραδιδόασιν, οὕτω κἀκεῖνοι ὑμᾶς παραδόντες τῷ ἠδικημένῳ τούτῳ δήμῳ οἴχονται ἀπιόντες; οὐ μέντοι γε ὑμᾶς, ὦ ἄν- 20 δρες, ἀξιῶ ἐγὼ ὧν ὀμωμόκατε παραβῆναι οὐδέν, ἀλλὰ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις καλοῖς ἐπιδεῖξαι, ὅτι καὶ εὔορκοι καὶ ὅσιοί ἐστε.

Εἰπὼν δὲ ταῦτα καὶ ἄλλα τοιαῦτα καὶ ὅτι οὐδὲν δέοι ταράττεσθαι, ἀλλὰ τοῖς νόμοις τοῖς ἀρχαίοις χρῆσθαι, ἀνέστησε τὴν ἐκκλησίαν. καὶ τότε μὲν ἀρχὰς καταστησάμενοι ἐπολιτεύοντο· ὑστέρῳ δὲ 21 χρόνῳ ἀκούσαντες ξένους μισθοῦσθαι τοὺς ἐν Ἐλευσῖνι, στρατευσάμενοι πανδημεὶ ἐπ' αὐτοὺς τοὺς μὲν στρατηγοὺς αὐτῶν εἰς λόγους ἐλθόν-

---

§. 149 init. h. l. de *consilio* pacis inter se mutuo componendae *nondum nato*. — πλὴν τῶν τριάκ. vid. infra §. 21. οἱ ἕνδεκα, undecimviri rerum capitalium, maxime προϊστάμενοι τοῦ δεσμωτηρίου, δεσμοφύλακες (Schol. Arist. Vesp. 1108), ex undecim phylis, ut coniicere licet, electi. iam vero quibus hoc praesertim triginta virorum tempore muneribus functi sint quibusque honoribus aucti, nusquam legere memini relatum. — αὐτοῖς, h. e. τοῖς περὶ Παυσανίαν, qui vero migrare Eleusina iubentur, repetendi ex verbis εἰ δέ τινες φ.

17. περαιωθέντων. Hesych. περαιωθῆναι· τελειωθῆναι. sane tale quid h. l. exspectatur, modo simili potestate reperiatur vox illa. alii corrigunt περανθέντων.

18. ὦ ἐκ τοῦ ἄστεος ἄ. Thuc. IV, 134. οἱ ἐκ τῆς ἀκροπόλεως ἐν τῇ Μένδῃ πολιορκούμενοι ἐπίκουροι. Bernh. Synt. p. 228. comp. ἀπὸ §. 14. — πολλὰ καὶ αἰσχρά, *multa eaque foeda*. sic ubique πολὺς cum altero Adiectivo iunctum, quod vituperationi aut laudi alicui est. πολλὰ καὶ (*et quidem*) μεγάλα. πολλὰ καὶ ἀγαθά al. cf. M. §. 444, 4. Herm. ad Vig. p. 838. — εἰ ἄρα, post verba considerandi rogandique, ut saepius legistis, i. q. πότερον, *si forte*. Terent. Adelph. IV, 2, 10. *si forte frater redierit viso*.

19. ἢ ὡς, intell. ἢ σκέψασθαι ὡς ctt. — γνώμῃ. ad Plut. IV, 2 extr. — περιελήλυθατε, nullo sensu. nam quae supplenda quibusdam videntur, εἰς δυστυχίαν vel similia, vereor ut satis cuiquam faciant. certe omnis offensio aberit, si cum Dindorfio receperis παρελήλυθατε. Plut. Pyrrh. c. 28. ἤσθετο τραυμάτων πλήθει παραλυόμενον ἑαυτόν. — πῶς, ut alias καὶ πῶς, πῶς γάρ, fortius respondentis atque refellentis est. — ὥσπερ.. δήσαντες. Plut. vit. Solon. 24. ἔγραψε δὲ καὶ (Solon) βλάβης τετραπόδων νόμον, ἐν ᾧ καὶ κύνα δακόντα παραδοῦναι κελεύει κλοιῷ τετραπήχει δεδεμένον.

τας ἀπέκτειναν, τοῖς δὲ ἄλλοις εἰσπέμψαντες τοὺς φίλους καὶ ἀναγκαίους ἔπεισαν ξυναλλαγῆναι· καὶ ὀμόσαντες ὅρκους ἢ μὴν μὴ μνησικακήσειν, ἔτι καὶ νῦν ὁμοῦ τε πολιτεύονται καὶ τοῖς ὅρκοις ἐμμένει ὁ δῆμος.

III.

1 Ἦν τις Φυλλίδας, ὃς ἐγραμμάτευε τοῖς περὶ Ἀρχίαν πολεμάρχοις, καὶ τἆλλα ὑπηρετήκει, ὡς ἐδόκει, ἄριστα. τούτῳ δ' ἀφιγμένῳ Ἀθήναζε κατὰ πρᾶξίν τινα καὶ πρόσθεν γνώριμος ὢν Μέλλων τῶν Ἀθήναζε πεφευγότων Θηβαίων συγγίγνεται, καὶ διαπυθόμενος μὲν τὴν περὶ Ἀρχίαν τε τὸν πολεμαρχοῦντα καὶ τὴν περὶ Φίλιππον τυραννίδα, γνοὺς δὲ ἔτι μᾶλλον μισοῦντα αὐτὸν τὰ οἴκοι αὑτοῦ, πιστὰ
2 δοὺς καὶ λάβων συνέθετο ὡς δεῖ ἕκαστα γίγνεσθαι. ἐκ δὲ τούτου, προσλαβὼν ὁ Μέλλων ἐξ τοὺς ἐπιτηδειοτάτους τῶν φευγόντων ξιφίδια ἔχοντας, καὶ ἄλλο ὅπλον οὐδέν, ἔρχεται πρῶτον μὲν εἰς τὴν χώραν νυκτός· ἔπειτα δὲ ἡμερεύσαντες ἔν τινι τόπῳ ἐρήμῳ πρὸς τὰς πύλας ἦλθον, ὡς δὴ ἐξ ἀγροῦ ἀπιόντες, ἡνίκαπερ οἱ ἀπὸ τῶν ἔργων ὀψιαίτατοι. ἐπεὶ δ' εἰσῆλθον εἰς τὴν πόλιν, διενυκτέρευσαν μὲν ἐκείνην τὴν νύκτα παρὰ Χάρωνί τινι, καὶ τὴν ἐπιοῦσαν δὲ ἡμέραν διη-
3 μέρευσαν. ὁ μὲν οὖν Φυλλίδας τά τε ἄλλα ἐπεμελεῖτο τοῖς πολεμάρχοις ὡς Ἀφροδίσια ἄγουσιν ἐπ' ἐξόδῳ τῆς ἀρχῆς, καὶ δὴ καὶ γυναῖ-

---

21. ἀπέκτειναν ctt. Iustin. V, 10, 9. *tyranni — ad colloquium progressi, per insidias comprehensi ut pacis victimae trucidantur.* add. Corn. Nep. Thras. 2. 3. comp. tamen Lysiae or. c. Eratosth. §. 35. §. 80. unde colligas licet cives moderatius rebus suis secundis usos fuisse. — ὀμόσ. ὅρκους ctt. Iustin. l. c. §. 11. *ne qua dissensio ex ante actis nasceretur, omnes iureiurando obstringuntur discordiarum oblivionem fore.* ἢ μήν. cf. B. §. 149. p. 442.

III. Lib. V. c. 4, 2—23. Thebani facta inter se conspiratione ad recuperandam Cadmeam inde ab anno 383 Lacedaemoniis subiunctam tyrannos occidunt, praesidium in deditionem cogunt (379. Ol. 100, 2).

1. τοῖς περὶ Ἀ. π. Ἀ. *et reliquis polemarchis* (cf. ad Plut. II, 1.), Leontiadae et Philippo, qui partibus Lacedaemoniorum faventes arcem Phoebidae tradiderant occupandam. — γνώριμος. Hesych. οἰκεῖος, γινωσκόμενος. comp. Xen. I, 1. — τῶν . . Θηβαίων, de Gen. ex nomine proprio pendente v. ad Xen. II, 5. — τὴν περὶ Ἀ. . . καὶ τὴν ctt. Articulo opus est bis posito, quod Mellon separatim ab Archiae tyrannide inquisivit in ea, quae a Philippo polemarcho essent tyrannice statuta. inest igitur in extremis his novi aliquid et fere oppositi. hinc recte novissimi Editt. Anab. VII, 7, 36. ἡ δύναμις τοῦ τε ἀποδιδόντος καὶ τοῦ λαμβάνοντος. cf. Dissen ad Pind. Nem. VIII, 51.

2. ἐξ τοὺς ἐπιτ. Articuli vim ita expressorim: *sex et eos quidem maxime idoneos.* Xen. Memor. II, 7, 2. ὥστ' εἶναι ἐν τῇ οἰκίᾳ τεσσαρεσκαίδεκα τοὺς ἐλευθέρους. — καὶ ἄλλο ὅπλ. οὐδέν, ut saepius καὶ οὐ, καὶ μὴ vi adversativa, *neque vero.* Demosth. de cor. §. 85. φαίνομαι τοίνυν ἐγὼ χάριτος τετυχηκὼς τότε, καὶ οὐ μέμψεως. — εἰς τὴν χώραν, i. e. τῶν Θηβαίων. cf. ad Plut. V, 1. — οἱ ἀπὸ τῶν ἔργων ὀψ. *quo tempore solent qui a rebus rusticis (in urbem redeunt) tardissime.*

3. Ἀφροδίσια, exeunte mense Attico Ποσειδεῶνος h. e. extremo Decembri Thebis celebrabantur a polemarchis magistratu decessuris (ἐπ' ἐξόδῳ τῆς ἀρχῆς). secus Plut. Pelop. c. 9, ubi Phyllidas coniurationem adiuvat κατηγγελκὼς τοῖς περὶ τὸν Ἀρχίαν πότον τινὰ καὶ συνουσίαν.

κας πάλαι ὑπισχνούμενος ἄξειν αὐτοῖς τὰς σεμνοτάτας καὶ καλλίστας
τῶν ἐν Θήβαις, τότ' ἔφη ἄξειν. οἱ δέ, ἦσαν γὰρ τοιοῦτοι, μάλα
ἡδέως προσεδέχοντο νυκτερεύειν. ἐπεὶ δὲ ἐδείπνησάν τε καὶ συμπρο- 4
θυμουμένου ἐκείνου ταχὺ ἐμεθύσθησαν, πάλαι κελευόντων ἄγειν τὰς
ἑταίρας, ἐξελθὼν ἦγαγε τοὺς περὶ Μέλλωνα· τρεῖς μὲν στείλας ὡς
δεσποίνας, τοὺς δ' ἄλλους ὡς θεραπαίνας. κἀκείνους μὲν εἰσήγαγεν 5
εἰς τὸ ταμιεῖον τοῦ πολεμάρχου· αὐτὸς δ' εἰσελθὼν εἶπε τοῖς περὶ
Ἀρχίαν, ὅτι οὐκ ἄν φασιν εἰσελθεῖν αἱ γυναῖκες, εἴ τις τῶν διακό-
νων ἔνδον ἔσοιτο. ἔνθεν οἱ μὲν ἐκέλευον ταχὺ πάντας ἐξιέναι· ὁ δὲ
Φυλλίδας δοὺς οἶνον εἰς ἑνὸς τῶν διακόνων ἐξέπεμψεν αὐτούς. ἐκ
δὲ τούτου εἰσήγαγε τὰς ἑταιρίδας δὴ καὶ ἐκάθιζε παρ' ἑκάστῳ. ἦν
γὰρ σύνθημα, ἐπεὶ καθίζοιντο, παίειν εὐθὺς ἀνακαλυψαμένους. οἱ 6
μὲν δὴ οὕτω λέγουσιν αὐτοὺς ἀποθανεῖν· οἱ δὲ καὶ ὡς κωμαστὰς
εἰσελθόντας τοὺς ἀμφὶ Μέλλωνα ἀποκτεῖναι τοὺς πολεμάρχους. λα-
βὼν δὲ ὁ Φυλλίδας τρεῖς αὐτῶν ἐπορεύετο ἐπὶ τὴν τοῦ Λεοντιάδου
οἰκίαν· κόψας δὲ τὴν θύραν εἶπεν, ὅτι παρὰ τῶν πολεμάρχων ἀπαγ-
γεῖλαί τι βούλοιτο. ὁ δὲ ἐτύγχανε μὲν χωρὶς κατακείμενος ἔτι μετὰ
δεῖπνον, καὶ ἡ γυνὴ ἐριουργοῦσα παρεκάθητο· ἐκέλευσε δὲ τὸν Φυ-
λλίδαν πιστὸν νομίζων εἰσιέναι. οἱ δ' ἐπεὶ εἰσῆλθον, τὸν μὲν ἀποκτεί-
ναντες, τὴν δὲ γυναῖκα φοβήσαντες κατεσιώπησαν· ἐξιόντες δὲ εἶπον
τὴν θύραν κεκλεῖσθαι· εἰ δὲ λήψοιντο ἀνεῳγμένην, ἠπείλησαν ἀπο-
κτεῖναι ἅπαντας τοὺς ἐν τῇ οἰκίᾳ. ἐπεὶ δὲ ταῦτα ἐπέπρακτο, λαβὼν 7
δύο ὁ Φυλλίδας τῶν ἀνδρῶν, ἦλθε πρὸς τὸ ἀναγκαῖον, καὶ εἶπε τῷ
εἱργμοφύλακι, ὅτι ἄνδρα ἄγει παρὰ πολεμάρχων ὃν εἴρξαι δέοι. ὡς
δὲ ἀνέῳξε, τοῦτον μὲν ἀπέκτειναν εὐθύς, τοὺς δὲ δεσμώτας ἔλυσαν.
καὶ τούτους μὲν ταχὺ τῶν ἐκ τῆς στρᾶς ὅπλων καθελόντες ὥπλισαν,
καὶ ἀγαγόντες ἐπὶ τὸ Ἀμφεῖον, θέσθαι ἐκέλευον τὰ ὅπλα. ἐκ δὲ τού- 8
του εὐθὺς ἐκήρυττον ἐξιέναι πάντας Θηβαίους, ἱππέας τε καὶ ὁπλί-
τας, ὡς τῶν τυράννων τεθνεώτων. οἱ δὲ πολῖται, ἕως μὲν νὺξ ἦν,

4. προσεδέχοντο, *exspectabant*, quo sensu saepius c. Inf. et apud Xen. et all. Arrian. II, 4, 4. — ὡς δεσποίνας. Bernh. Synt. p. 333.

5. ταμιεῖον, videtur h. l. pars cubiculi esse interior atque secretior, fortasse i. q. κοιτών, ut Hesychius in glossario. — εἰς ἑνὸς τῶν δ. v. ad Aelian. XXXI. add. Bernh. l. c. p. 184 s. p. 221. — ἑταιρίδας δή, *meretrices scilicet*, ubi in δή particula aliquid ironiae inest et ea quae posita sint vel secus vel prorsus non esse suspicamur. Thuc. 6, 80. κάλλιον τοὺς Ἀθηναίους φίλους δὴ ὄντας μὴ ἐᾶσαι ἁμαρτεῖν.

6. κωμαστάς, Nachtschwärmer. Lucian, Amor. c. 54. τοὺς ὀνομαζομένους παρ' Ἕλλησι κωμαστὰς οὐδὲν ἄλλ' ἢ δήλους ἐραστὰς νομίζω. — κόψας . . θύραν, et ab introituris in domum fores pulsabantur (κόπτειν, rarius προύειν τὴν θύραν), et ab exituris (ψοφεῖν), ne quis forte praeterauntium offenderetur valvis in publicum aperiundis. — κατεσιώπησαν, h. l. sensu trans., ut alias Med. eiusdem verbi. Κλεόκριτος κατεσιωπησάμενος ἔλεξεν, *postquam silentium indixit*. Xen. hist. Gr. II. c. 4. §. 20.

7. ἀναγκαῖον. Harpocr. ἀντὶ τοῦ δεσμωτήριον Ξενοφῶν. novimus ex Homero ἦμαρ ἀναγκαῖον. Il. 16, 836, ubi recte Schol. τὸ τῆς ἁλώσεως καὶ δουλώσεως, ἐν ᾧ τις ἀνάγκην πάσχει. — εἴρξαι. cf. B. v. anom. s. vv. εἴργω, εἴργνυμι. — καθελόντες, cum Gen. v. M. §. 331. not. Bernh. Synt. p. 146. — ἐκ τ. στρᾶς. Plut. Pelop. c. 12. τοὺς προσιόντας ὅπλιζον ἀφαιροῦντες ἀπὸ τῶν στοῶν τὰ περικείμενα σκῦλα. mos fuit Graecorum, ut spolia in publicis porticibus suspenderentur. Athenienses stoae Iovis liberatoris dedicabant arma postea a Sullanis derepta. — Ἀμφεῖον, videtur templum fuisse Amphionis, conditoris Thebarum.

ἀπιστοῦντες ἡσυχίαν εἶχον· ἐπεὶ δ' ἡμέρα τ' ἦν καὶ φανερὸν ἦν τὸ γεγενημένον, ταχὺ δὴ καὶ οἱ ὁπλῖται καὶ οἱ ἱππεῖς σὺν τοῖς ὅπλοις ἐξεβοήθουν. ἔπεμψαν δ' ἱππέας οἱ κατελήλυθότες καὶ ἐπὶ τοὺς πρὸς τοῖς ὁρίοις Ἀθηναίων τοὺς δύο τῶν στρατηγῶν. οἱ δ' εἰδότες τὸ
9 πρᾶγμα ἐφ' ὃ ἀπεστάλκεσαν ..... ὁ μέντοι ἐν τῇ ἀκροπόλει ἁρμοστὴς ἐπεὶ ἤσθετο τὸ νυκτερινὸν κήρυγμα, εὐθὺς ἔπεμψεν εἰς Πλαταιὰς καὶ Θεσπιὰς ἐπὶ βοήθειαν. καὶ τοὺς μὲν Πλαταιέας αἰσθόμενοι προσιόντας οἱ τῶν Θηβαίων ἱππεῖς, ἀπαντήσαντες ἀπέκτειναν αὐτῶν πλέον ἢ εἴκοσιν· ἐπεὶ δὲ εἰσῆλθον ταῦτα πράξαντες καὶ οἱ Ἀθηναῖοι
10 ἀπὸ τῶν ὁρίων ἤδη παρῆσαν, προσέβαλον πρὸς τὴν ἀκρόπολιν. ὡς δὲ ἔγνωσαν οἱ ἐν τῇ ἀκροπόλει ὀλίγοι ὄντες, τήν τε προθυμίαν τῶν προσιόντων ἁπάντων ἑώρων, καὶ τῶν κηρυγμάτων μεγάλων γιγνομένων τοῖς πρώτοις ἀναβᾶσιν, ἐκ τούτου φοβηθέντες εἶπον, ὅτι ἀπίοιεν ἄν, εἰ σφισιν ἀσφάλειαν μετὰ τῶν ὅπλων ἐπιοῦσι διδοῖεν. οἱ δὲ ἄσμενοί τε ἔδοσαν ἃ ἤτουν, καὶ σπεισάμενοι καὶ ὅρκους ὀμόσαν-
11 τες ἐπὶ τούτοις ἐξέπεμπον. ἐξιόντων μέντοι ὅσους ἐπέγνωσαν τῶν ἐχθρῶν ὄντας συλλαμβάνοντες ἀπέκτειναν. ἦσαν δέ τινες, οἳ καὶ ὑπὸ Ἀθηναίων τῶν ἀπὸ τῶν ὁρίων ἐπιβοηθησάντων ἐξεκλάπησαν καὶ διεσώθησαν. οἱ μέντοι Θηβαῖοι καὶ τοὺς παῖδας τῶν ἀποθανόντων, ὅσοις ἦσαν, λαβόντες ἀπέσφαξαν.

12 Ἐπεὶ δὲ ταῦτα ἐπύθοντο οἱ Λακεδαιμόνιοι, τὸν μὲν ἁρμοστὴν τὸν ἐγκαταλιπόντα τὴν ἀκρόπολιν καὶ οὐκ ἀναμείναντα τὴν βοήθειαν ἀπέκτειναν· φρουρὰν δὲ φαίνουσιν ἐπὶ τοὺς Θηβαίους. καὶ Ἀγησίλαος μὲν λέγων, ὅτι ὑπὲρ τετταράκοντα ἔτη ἀφ' ἥβης εἴη, καὶ ὥσπερ τοῖς ἄλλοις τοῖς τηλικούτοις οὐκέτι ἀνάγκη εἴη τῆς ἑαυτῶν ἔξω στρατεύεσθαι, οὕτω δὴ καὶ βασιλεῦσι τὸν αὐτὸν ὄντα νόμον ἀπεδείκνυε. κἀκεῖνος μὲν δὴ λέγων ταῦτα οὐκ ἐστρατεύετο. οὐ μέντοι τούτου γε ἕνεκεν κατέμεινεν, ἀλλ' εὖ εἰδὼς ὅτι, εἰ στρατηγοίη, λέξοιεν οἱ πο-

---

8. ἐξεβοήθουν. cur ne verbo quidem h. l. tetigerit Xenophon neque Pelopidae neque Epaminondae in patriam liberandam merita, ipse quid excusationis sit viderit. certe negligentia plectitur in his a diserto virtutum laudatore, Plut. Pelop. 12. ἦμον δὲ βοηθοῦντες μετὰ τῶν ὅπλων οἱ περὶ Ἐπαμινώνδαν καὶ Γοργίδαν συνειλεγότες οὐκ ὀλίγους τῶν νέων καὶ τῶν πρεσβυτέρων τοὺς βελτίστους. ibid. 13. ὁ Πελοπίδας εὐθὺς ἀπετείχιζε τὴν ἀκρόπολιν ctt. — τοὺς δύο τῶν στ. Diodorus (L. XV. c. 25.) *Demophontem* solum Atheniensium ducem praefuisse huic expeditioni perhibet. quem tamen credibile est Chabriam collegam habuisse. cf. infra §. 13. — οἱ δ' εἰδότες, quod desideras verbum a recentioribus fere suppletur ἤεσαν s. ᾤχοντο.

9. ὁ . . ἁρμοστής. alii tres praesidii duces fuisse referunt, *Lysanoridam*, cui ingentem multam irrogant Spartani, *Herippidam* et *Arcesum*, quos capitis damnant. Plut. l. c. 13. Diod. l. c. 27. — εἰσῆλθον, intell. οἴκαδε, sic saepius omisso quem quis locum ingressus dicitur.

10. κηρυγμάτων, translatum a victorum renunciationibus in stadio per praeconem. h. l. de praemiis publice promissis. — ἄσμενοι. B. §. 123. n. 3. — ὀμόσαντες ἐπὶ τ., ut nostrates: worauf schwören. Krüg. ad Anab. III, 2, 4.

11. ἐξεκλάπησαν. comp. supra ad Aelian. XIII. — ὅσοις ἦσαν, *quibus quidem liberi erant*.

12. ἁρμοστήν. uter fuerit desertor vel proditor Cadmeae, Herippidas an Arcesus (§. 9.), non audeo decernere. — φρουρὰν δὲ φ., saepissime apud Xenophontem i. q. στράτευμα, φρουρὰν ἐξάγειν. cf. Xen. II, 7. — ἀφ' ἥβης. Xen. II, 10. — τῆς ἑαυτῶν. Xen. I, 3. — εὖ εἰδώς ctt. Plutarchus in vit. Ages. 24 veram ἀστρατείας causam sic expressit: Ἀγησίλαος αἰσχυνόμενος, εἰ Φλιασίοις ὀλίγον ἔμπροσθεν (initio anni 379) ὑπὲρ φυγάδων πεπολεμη-

λῆται, ὡς Ἀγησίλαος, ὅπως βοηθήσειε τοῖς τυράννοις, πράγματα τῇ πόλει παρέχοι. εἶα οὖν αὐτοὺς βουλεύεσθαι ὅ τι βούλοιντο περὶ τούτων. οἱ δ' Ἔφοροι διδασκόμενοι ὑπὸ τῶν μετὰ τὰς ἐν Θήβαις 13
σφαγὰς ἐκπεπτωκότων Κλεόμβροτον ἐκπέμπουσι τότε πρῶτον ἡγούμενον, μάλα χειμῶνος ὄντος. καὶ τὴν μὲν δι' Ἐλευθερῶν ὁδὸν Χαβρίας ἔχων Ἀθηναίων πελταστὰς ἐφύλαττεν· ὁ δὲ Κλεόμβροτος ἀνέβαινε κατὰ τὴν εἰς Πλαταιὰς φέρουσαν. προϊόντες δὲ οἱ πελταστὰ περιτυγχάνουσιν ἐπὶ τῷ ἄκρῳ φυλάττοῦσι τοῖς ἐκ τοῦ ἀναγκαίου λελυμένοις, ὡς περὶ ἑκατὸν καὶ πεντήκοντα οὖσι. καὶ τούτους μὲν ἅπαντας, εἰ μή τις ἐξέφυγεν, οἱ πελταστὰ ἀπέκτειναν· αὐτὸς δὲ κατέβαινε πρὸς τὰς Πλαταιὰς ἔτι φιλίας οὔσας. ἐπεὶ δὲ εἰς Θεσπιὰς 14
ἀφίκετο, ἐκεῖθεν ὁρμηθεὶς εἰς Κυνὸς κεφαλὰς οὔσας Θηβαίων ἐστρατοπεδεύσατο. μείνας δὲ ἐκεῖ περὶ ἑκκαίδεκα ἡμέρας ἀπεχώρησε πάλιν εἰς Θεσπιάς. κἀκεῖ μὲν κατέλιπεν ἁρμοστὴν Σφοδρίαν καὶ ἀπὸ τῶν συμμάχων τὸ τρίτον μέρος ἑκάστων· παρέδωκε δὲ αὐτῷ καὶ χρήματα, ὅσα ἐτύγχανεν οἴκοθεν ἔχων, καὶ ἐκέλευσε ξενικὸν προσμισθοῦσθαι. καὶ ὁ μὲν Σφοδρίας ταῦτ' ἔπραττεν. ὁ δὲ Κλεόμβροτος ἀπῆγεν ἐπ' 15
οἶκον τὴν διὰ Κρεύσιος τοὺς μεθ' ἑαυτοῦ στρατιώτας καὶ μάλα ἀποροῦντας, πότερά ποτε πόλεμος πρὸς Θηβαίους ἢ εἰρήνη εἴη· ἤγαγε μὲν γὰρ εἰς τὴν τῶν Θηβαίων τὸ στράτευμα, ἀπῆλθε δὲ ὡς ἐδύνατο ἐλάχιστα κακουργήσας. ἀπιόντι γε μὴν ἄνεμος αὐτῷ ἐξαίσιος ἐπεγένε- 16
το, ὃν καὶ οἰωνίζοντό τινες σημαίνειν πρὸ τῶν μελλόντων. πολλὰ μὲν γὰρ καὶ ἄλλα γενναῖα ἐποίησεν, ἀτὰρ καὶ ὑπερβάλλοντος αὐτοῦ μετὰ τῆς στρατιᾶς ἐκ τῆς Κρεύσιος τὸ καθῆκον ἐπὶ θάλατταν ὅρος πολλοὺς μὲν ὄνους κατεκρήμνισεν αὐτοῖς σκεύεσι, πάμπολλα δὲ ὅπλα ἀναρπασθέντα ἐξέπεσεν εἰς τὴν θάλατταν. τέλος δὲ πολλοὶ οὐ δυνά- 17
μενοι σὺν τοῖς ὅπλοις πορεύεσθαι, ἔνθεν καὶ ἔνθεν τοῦ ἄκρου κατέλιπον λίθων ἐμπλήσαντες ὑπτίας τὰς ἀσπίδας. καὶ τότε μὲν ἐν Αἰγοσθένοις τῆς Μεγαρικῆς ἐδείπνησαν ὡς ἐδύναντο· τῇ δὲ ὑστε-

---

κὼς αὖθις ὀφθήσεται Θηβαίους κακῶς ποιῶν διὰ τοὺς τυράννους. — τοῖς τυράννοις, polemarchos dicit, de quibus supra §. 1.

13. Ἐλευθερῶν. Pausan. I, 38 extr. πόλις ὀλίγον ὑπὲρ τοῦ πεδίου πρὸς τῷ Κιθαιρῶνι οἰκισθεῖσα. ita quidem ut urbs et agri Eleutherensium paene in ipsis finibus Atticae Boeotiaeque siti essent. — τοῖς ἐκ τοῦ ἀναγκαίου λ. cf. §. 7.

14. οὔσας Θ. quae non sine causa adposita sunt. Κυνὸς κεφαλαί, λόφος τῆς Θεσσαλίας, ἣν δὲ καὶ χωρίον Θηβῶν. Stephan. Byzant.

15. ἐπ' οἶκον, *in patriam versus abduxit milites*, ut supra legimus ἐπὶ σκοπὸν τοξεῦσαι. ἐπὶ νήσων πλεῖν. cf. ad Xen. I, 1. — Κρεύσιος. Κρεῦσις πόλις Βοιωτίας κειμένη καταντικρὺ τῆς Μεγαρίδος (Steph. Byz.) et quidem ad ipsum sinum Corinthiacum, unde Thespiensibus teste Strabone (cui Κρέουσα et Κρεουσία vocatur) statio navium facta est. — ἀποροῦντας, *haesitantes, dubitantes.*

16. οἰωνίζοντο. B. §. 84, 5. not. 2. — σημαίνειν πρὸ τῶν μ. usitatius sane προσημαίνειν τὰ μέλλοντα, ut loquitur Herodotus VI, 27. φιλέει δέ κως προσημαίνειν, εὖτ' ἂν μέλλῃ μεγάλα κακὰ ἔσεσθαι. Xen. Apol. 13. τὸ προειδέναι γε τὸν θεὸν τὸ μέλλον καὶ τὸ προσημαίνειν — πάντες λέγουσι. prior illa structura obversabatur memoriae Arriani VII, 22, 5. 24, 1. — γενναῖα, vid. supra ad Diod. II, 3. — αὐτοῖς σκ. v. ad Athen. I, 5. — ἐξέπεσεν. Dind. corrigit ἐξέπνευσεν.

17. ἔνθεν καὶ ἔνθεν τοῦ ἄκρου ctt. *hinc atque illinc* h. e. *ex utraque verticis parte scuta relinquebant supina ita ut lapidibus opplerent.* — Αἰγοσθένοις. Pausan. I, 44, 6. ἡ δὲ ὀρεινὴ τῆς Μεγαρίδος (dicit Ὄνεια

ραίᾳ ἐλθόντες ἐκομίσαντο τὰ ὅπλα. καὶ ἐκ τούτου ἤδη ἕκαστοι οἴκαδε ἀπῄεσαν· ἀφῆκε γὰρ αὐτοὺς ὁ Κλεόμβροτος.

18 Οἱ μὲν οὖν Ἀθηναῖοι ὁρῶντες τὴν τῶν Λακεδαιμονίων δύναμιν, καὶ ὅτι πόλεμος ἐν Κορίνθῳ οὐκέτι ἦν, ἀλλ' ἤδη παριόντες τὴν Ἀττικὴν οἱ Λακεδαιμόνιοι εἰς τὰς Θήβας ἐνέβαλλον, οὕτως ἐφοβοῦντο ὥστε καὶ τῷ δύο στρατηγώ, οἳ συνηπιστάσθην τὴν τοῦ Μέλλωνος ἐπὶ τοὺς περὶ Λεοντιάδην ἐπανάστασιν, κρίναντες τὸν μὲν ἀπέκτειναν, τὸν δὲ ἐπεὶ οὐχ ὑπέμεινεν ἐφυγάδευσαν.

19 Οἱ δ' αὖ Θηβαῖοι καὶ αὐτοὶ φοβούμενοι, εἰ μηδένες ἄλλοι ἢ αὐτοὶ πολεμήσοιεν τοῖς Λακεδαιμονίοις, τοιόνδε τι εὑρίσκουσι μηχάνημα. πείθουσι τὸν ἐν ταῖς Θεσπιαῖς ἁρμοστὴν Σφοδρίαν χρήματα δόντες, ὡς ὑπωπτεύετο, ἐμβαλεῖν εἰς τὴν Ἀττικήν, ἵν' ἐκπολεμήσειε τοὺς Ἀθηναίους πρὸς τοὺς Λακεδαιμονίους. κἀκεῖνος πειθόμενος αὐτοῖς, προσποιησάμενος τὸν Πειραιᾶ καταλήψεσθαι, ὅτι δὴ ἀπύλωτος ἦν, ἦγεν ἐκ τῶν Θεσπιῶν πρωῒ δειπνήσαντας τοὺς στρατιώτας

20 φάσκων πρὸ ἡμέρας κατανύσειν εἰς τὸν Πειραιᾶ. Θριᾶσι δ' αὐτῷ ἡμέρα ἐπεγένετο, καὶ οὐδὲ ταῦτ' ἐποίησεν ὥστε λαθεῖν· ἀλλ' ἐπεὶ ἀπετράπετο, βοσκήματα διήρπασε καὶ οἰκίας ἐπόρθησε. τῶν δὲ ἐντυχόντων τινὲς τῆς νυκτὸς φεύγοντες εἰς τὸ ἄστυ ἀπήγγελλον τοῖς Ἀθηναίοις, ὅτι στράτευμα πάμπολυ προσίοι. οἱ μὲν δὴ ταχὺ ὁπλισάμενοι

21 καὶ ἱππεῖς καὶ ὁπλῖται ἐν φυλακῇ τῆς πόλεως ἦσαν. τῶν δὲ Λακεδαιμονίων καὶ πρέσβεις Ἀθήνησιν ἐτύγχανον ὄντες παρὰ Καλλίᾳ τῷ προξένῳ Ἐτυμοκλῆς τε καὶ Ἀριστόλοχος καὶ Ὠκέλλος· οὓς οἱ Ἀθηναῖοι, ἐπεὶ τὸ πρᾶγμα ἠγγέλθη, συλλαβόντες ἐφύλαττον ὡς καὶ τούτους συνεπιβουλεύοντας. οἱ δὲ ἐκπεπληγμένοι τε ἦσαν τῷ πράγματι καὶ ἀπελογοῦντο, ὡς οὐκ ἄν ποτε οὕτω μωροὶ ἦσαν, ὡς εἰ ἤδεσαν καταλαμβανόμενον τὸν Πειραιᾶ, ἐν τῷ ἄστει ἂν ὑποχειρίους αὐτοὺς παρεῖχον, καὶ ταῦτα παρὰ τῷ προξένῳ, οὗ τάχιστ' ἂν εὑρέθησαν.

δρη) τῆς Βοιωτῶν ἐστιν ὅμορος, ἐν ᾗ Μεγαρεῦσι Πηγαὶ πόλις, ἑτέρα δὲ Αἰγόσθενα ᾤκισται.

18. τὼ δύο στ. v. ad §. 8. — οἳ συνηπιστάσθην. Dind. recepit ὦ σ. vid. M. §. 301, ubi exempla habes commutationis illorum numerorum, si de *duobus* sermo sit. add. B. §. 129, 5. n. 4. Bernh. Synt. p. 420.

19. ἢ αὐτοὶ π. v. ad Lucian. I, 1. — τοιόνδε τι, hunc *fere* dolum excogitaut. comp. ad Lucian. dial. m. II, 3. τοιόσδε, ὅδε, οὗδε plerumque sequentia spectant, οὗτος vero, τοιοῦτος, οὕτως non item praecedentia. — ὡς ὑπωπτεύετο, Xenophon cautius loquitur, quod praeter morem viri illius fuisse videtur talis corruptio. cf. Plut. Pelop. c. 14. Ages. c. 24. Diodorus (XV, 29) etiam ab ipso Cleombroto narrat Sphodriam impulsum esse, ut Piraeeum occuparet. — ἐκπολεμήσειε. hunc locum respicit Harpocration, qui pro ἐκπολεμῶσαι, εἰς πόλεμον καταστῆσαι dictum notat.

20. Θριᾶσι, demus Atticus et Θριὰ et Θριαὶ dictus. Plutarchus habet ἐν Θριασίῳ πεδίῳ. — καὶ οὐδὲ ταῦτ' ἐποίησεν ὥστε λ. videtur locus sic intelligi posse: *ne hoc quidem curavit, ut lateret*, i. e. clam et insciis incolis Atticis rem ageret. potuisset etiam οὕτω ποιεῖν ὡς s. ὅπως. Schneider ab auctore scriptum coniicit: κ. οὐδὲ τότε ἐπ., ex quo vereor ut quidquam lucremur.

21. τῷ προξένῳ, cui hospitii ius cum civitate Lacedaemoniorum intercedebat et iniunctum erat, ut prospiceret, ne quid detrimenti caperent ab Atheniensibus neque civitas Spartana neque legati illinc missi. — ἀπελογοῦντο. ἀπολογεῖσθαι, *se defendere sive verbis sive factis*. comp. ἀπολογίζεσθαι, παραιτεῖσθαι, ἀποκρίνεσθαι.

ἔτι δ' ἔλεγον, ὡς εὔδηλον καὶ τοῖς Ἀθηναίοις ἔσοιτο, ὡς οὐδ' ἡ πό- 22
λις τῶν Λακεδαιμονίων ταῦτα συνῄδει. Σφοδρίαν γὰρ εὖ εἰδέναι
ἔφασαν, ὅτι ἀπολωλότα πεύσοιντο ὑπὸ τῆς πόλεως. κἀκεῖνοι μὲν
κριθέντες μηδὲν συνειδέναι ἀφείθησαν. οἱ δ' Ἔφοροι ἀνεκάλεσάν τε
τὸν Σφοδρίαν καὶ ὑπῆγον θανάτου.

IV.

Ἐπαμεινώνδας ἐξῄει Βοιωτοὺς ἔχων πάντας καὶ Εὐβοέας καὶ 1
Θετταλῶν πολλοὺς παρά τε Ἀλεξάνδρου καὶ τῶν ἐναντίων αὐτῷ. Φω-
κεῖς μέντοι οὐκ ἠκολούθουν λέγοντες, ὅτι συνθῆκαι σφίσιν αὐτοῖς
εἶεν, εἴ τις ἐπὶ Θήβας ἴοι, βοηθεῖν· ἐπ' ἄλλους δὲ στρατεύειν οὐκ
εἶναι ἐν ταῖς συνθήκαις. ὁ μέντοι Ἐπαμεινώνδας ἐλογίζετο καὶ ἐν 2
Πελοποννήσῳ σφίσιν ὑπάρχειν Ἀργείους τε καὶ Μεσσηνίους καὶ Ἀρ-
κάδων τοὺς τὰ σφέτερα φρονοῦντας. ἦσαν δὲ οὗτοι Τεγεᾶται καὶ
Μεγαλοπολῖται καὶ Ἀσεᾶται καὶ Παλαντιεῖς καὶ εἴ τινες δὴ πόλεις
διὰ τὸ σμικραί τε εἶναι καὶ ἐν μέσαις ταύταις οἰκεῖν ἠναγκάζοντο.
ἐξῆλθε μὲν δὴ ὁ Ἐπαμεινώνδας διὰ ταχέων· ἐπεὶ δὲ ἐγένετο ἐν Νε- 3
μέᾳ, ἐνταῦθα διέτριβεν ἐλπίζων τοὺς Ἀθηναίους παριόντας λήψε-
σθαι, καὶ λογιζόμενος μέγα ἂν τοῦτο γενέσθαι τοῖς μὲν σφετέροις
συμμάχοις εἰς τὸ ἐπιῤῥῶσαι αὐτούς, τοῖς δὲ ἐναντίοις εἰς τὸ εἰς ἀθυ-
μίαν ἐμπεσεῖν· ὡς δὲ συνελόντι εἰπεῖν, πᾶν ἀγαθὸν εἶναι Θηβαίοις
ὅ τι ἐλαττοῖντο Ἀθηναῖοι. ἐν δὲ τῇ διατριβῇ αὐτοῦ ταύτῃ συνῆεσαν 4
πάντες οἱ ὁμοφρονοῦντες εἰς τὴν Μαντίνειαν. ἐπεὶ μέντοι ὁ Ἐπαμει-
νώνδας ἤκουσε τοὺς Ἀθηναίους τὸ μὲν κατὰ γῆν πορεύεσθαι ἀπε-
γνωκέναι, κατὰ θάλατταν δὲ παρασκευάζεσθαι ὡς διὰ Λακεδαίμονος
βοηθήσοντας τοῖς Ἀρκάσιν, οὕτω δὴ ἀφορμήσας ἐκ τῆς Νεμέας

---

22. ὑπῆγον θανάτου, h. e. εἰς δίκην θανάτου, ut supra Aelian. XXVIII. legimus εἰς κρίσιν θανατικὴν καλεῖσθαι, et similia. tamen reus Agesilao patrono usus absolvitur, quae iniuria quum permolesta Atheniensibus accideret, bellum indicitur. Plut. Ages. c. 26. Thebani voti compotes facti eo sunt alacriori et magis prompto animo ad bella suscipienda Lacedaemoniorum. hinc a. 378 ὁ κληθεὶς Βοιωτικὸς πόλεμος. Diod. XV, 25.

IV. Lib. VII. c. 5, 4—27. Thebani duce Epaminonda Ol. 104, 3 (a. 362) Spartam urbem adgrediuntur et occupassent, nisi Agesilaus mature auxilio venisset. Epaminondas Mantineam se recipit et bis superatus dedecus abluit simul et morte et victoria parta (d. XII. Scirophorionis).

1. Ἐπαμεινώνδας, cum diphthongo ex tribus Codd. recepi, qui noverim eandem formam etiam in scriptis libris Plutarchi Pausaniaeque primas tenere. cf. ad Stob. X. — Ἀλεξάνδρου. Pherarum tyrannus iuraverat (a. 364), se quoscunque Thebani bello petituri essent socium fore Boeotiae. Plut. Pelop. c. 35. — ἐναντίων, dicit Magnetas, Phthiotas, Achaeos Thebanorum ope liberatos. Plut. l. c.

2. τὰ σφ. φρονοῦντας. v. ad Diod. IV, 5 extr. — Ἀσεᾶται . . Παλαντιεῖς. Asea et Palantium Arcadiae oppida.

3. τοὺς Ἀθηναίους ctt. hi enim a. 369 societatem coierant cum Lacedaemoniis ita ut alternis quinis diebus utrique ducum officio fungerentur. — ὡς . . εἰπεῖν, *ut paucis dicam.* B. §. 150 s. vv. M. §. 544. in quibus formulis ὡς particula notionem continet *finis* vel *consilii.* cf. supra ad Lucian. dial. m. II, 2.

4. ἀπεγνωκέναι. cf. ad Plut. V, 3. Diod. III, 3. — οὕτω δὴ ἀφ. sae-

5 ἀφικνεῖται εἰς τὴν Τεγέαν. εὐτυχῆ μὲν οὖν οὐκ ἂν ἔγωγε φήσαιμι τὴν στρατηγίαν αὐτῷ γενέσθαι· ὅσα μέντοι προνοίας ἔργα καὶ τόλμης ἐστίν, οὐδέν μοι δοκεῖ ὁ ἀνὴρ ἐλλιπεῖν. πρῶτον μὲν γὰρ ἔγωγε ἐπαινῶ αὐτοῦ, ὅτι τὸ στρατόπεδον ἐν τῷ τείχει τῶν Τεγεατῶν ἐποιήσατο, ἔνθ' ἐν ἀσφαλεστέρῳ τε ἦν ἢ εἰ ἔξω ἐστρατοπεδεύσατο, καὶ τοῖς πολεμίοις ἐν ἀδηλοτέρῳ ὅ τι πράττοιτο. καὶ παρασκευάζεσθαι δὲ εἴ του ἐδεῖτο ἐν τῇ πόλει ὄντι εὐπορώτερον ἦν. τῶν δὲ ἑτέρων ἔξω στρατευομένων ἐξῆν ὁρᾶν, εἴτε τι ὀρθῶς ἐπράττετο, εἴτε τι ἡμάρτανον. καὶ μὴν οἰόμενος κρείττων τῶν ἀντιπάλων εἶναι, ὁπότε ὁρῴη χωρίοις
6 πλεονεκτοῦντας αὐτούς, οὐκ ἐξήγετο ἐπιτίθεσθαι. ὁρῶν δὲ οὔτε πόλιν προσχωροῦσαν αὐτῷ οὐδεμίαν τόν τε χρόνον προβαίνοντα ἐνόμισε πρακτέον τι εἶναι· εἰ δὲ μή, ἀντὶ τῆς πρόσθεν εὐπλείας πολλὴν ἀδοξίαν προσεδέχετο. ἐπεὶ οὖν κατεμάνθανε περὶ μὲν Μαντίνειαν τοὺς ἀντιπάλους πεφυλαγμένους, μεταπεμπομένους δὲ Ἀγησίλαόν τε καὶ πάντας τοὺς Λακεδαιμονίους, καὶ ᾔσθετο ἐξεστρατευμένον τὸν Ἀγησίλαον καὶ ὄντα ἤδη ἐν Πελλήνῃ, δειπνοποιησάμενος παραγγείλας
7 ἡγεῖτο τῷ στρατεύματι εὐθὺς ἐπὶ Σπάρτην. καὶ εἰ μὴ Κρὴς θεία τινὶ μοίρᾳ προσελθὼν ἐξήγγειλε τῷ Ἀγησιλάῳ προσιὸν τὸ στράτευμα, ἔλαβεν ἂν τὴν πόλιν ὥσπερ νεοττιὰν παντάπασιν ἔρημον τῶν ἀμυνουμένων. ἐπεὶ μέντοι προπυθόμενος ταῦτα Ἀγησίλαος ἔφθη εἰς τὴν πόλιν ἀπελθών, διαταξάμενοι οἱ Σπαρτιᾶται ἐφύλαττον καὶ μάλα ὀλίγοι ὄντες· οἵ τε γὰρ ἱππεῖς αὐτοῖς πάντες ἐν Ἀρκαδίᾳ ἀπῆεσαν,
8 καὶ τὸ ξενικὸν καὶ τῶν λόχων δέκα ὄντων οἱ τρεῖς. ἐπεὶ δὲ ἐγένετο Ἐπαμεινώνδας ἐν τῇ πόλει τῶν Σπαρτιατῶν, ὅπου μὲν ἔμελλον ἔν τε ἰσοπέδῳ μαχεῖσθαι καὶ ἀπὸ τῶν οἰκιῶν βληθήσεσθαι, οὐκ εἰσῄει

---

pissime in apodosi, Participiis praegressis vel particula aliqua temporali, summae sententiae ex protasi repetendae et verbo quasi reficiendae et recreandae inservit. B. §. 144. n. 6. M. §. 565. comp. usum Latinorum. *sic*, *ita*, Kritz ad Sallust. Cat. VII, 6. *tum* (ut Graecorum εἶτα, ἔπειτα) ibid. LI, 40. utrumque iunctim positum Xen. Anab. VII, 1, 4. supra Aelian. I. al.

5. ἐλλιπεῖν, h. l. Genitivum desiderat, quem repetas ex προνοίας ἔργα κ. τ. — ἐπαινῶ, c. Gen. Bernh. Synt. p. 141 sq. p. 152. — τῶν ἑτέρων, h. e. τῶν ἐναντίων, ut saepius legere memini ἕτερον, ἕτερα. Dem. c. Olympiod. p. 1175. ἐὰν τὰ ἕτερα (τὰ ἐναντία ἡμῖν) ψηφίσωνται οἱ δικασταί ctt. cf. Interpp. ad Plat. Symp. p. 186. b. — χωρίοις πλεονεκτ. *superiores, potiores opportunitate locorum.*

6. προσεδέχετο, sic optime pro προσδέχεσθαι (ἐνόμισε), quae ratio sermonis vim misere infregisset. — ἐν Πελλήνῃ. fuit oppidulum (aliis Πελλάνα dictum) terrae Laconicae, in ipsa quidem via ad Mantineam situm, neque tamen procul a Sparta. ὄντα ἤδη igitur: Agesilaum *iam domo profectum esse* nec amplius tergiversari Epaminondas animadverterat. — δειπνοποιησάμενος παραγγείλας, Participia sine vinculo iuncta. v. ad Plut. I, 3.

7. ἔλαβεν ἄν, cf. B. §. 139, 10. — τῶν ἀμυνουμένων. Polyb. l. mox c. Σπάρτην ἔρημον τῶν βοηθησόντων. — ἐν Ἀρκαδίᾳ ἀπῆεσαν, in extrema voce inest notio motus ad locum, in prioribus id, ut motu confecto equites commorentur in loco. de similibus saepius dictum. cf. ad Athen. I, 6.

8. ἐν τῇ πόλει, cave cum Interpretibus quibusdam convertas *prope urbem*. etenim ipsam Spartam ingressum fuisse Epaminondam et proxime sequentia adprime comprobant et alii adsentiuntur. Polyb. IX, 8, 5. καταλαβὼν (Epaminondas) τὴν Σπάρτην μέχρι μὲν ἀγορᾶς ἐβιάσατο, καὶ κατέσχε τῆς πόλεως τοὺς ἐπὶ τὸν ποταμὸν ἐστραμμένους τόπους. — ἀπὸ τῶν οἰκιῶν βλ. prolixius de munitionibus urbis Diod. L. XV, 83. Aeneas Tact. c. II. Iustin. VI, 7.

ταύτῃ, οὐδ' ὅπου γε μηδὲν πλέον μαχεῖσθαι τῶν ὀλίγων πολλοὶ ὄντες· ἔνθεν δὲ πλεονεκτεῖν ἂν ἐνόμιζε, τοῦτο λαβὼν τὸ χωρίον κατέβαινε καὶ οὐκ ἀνέβαινεν εἰς τὴν πόλιν. τό γε μὴν ἐντεῦθεν γενόμενον 9
ἔξεστι μὲν τὸ θεῖον αἰτιᾶσθαι, ἔξεστι δὲ λέγειν, ὡς τοῖς ἀπονενοημένοις οὐδεὶς ἂν ὑποσταίη. ἐπεὶ γὰρ ἡγεῖτο Ἀρχίδαμος οὐδὲ ἑκατὸν ἔχων ἄνδρας, καὶ διαβὰς ὅπερ ἐδόκει τι ἔχειν κώλυμα, ἐπορεύετο πρὸς ὄρθιον ἐπὶ τοὺς ἀντιπάλους, ἐνταῦθα δὴ οἱ πῦρ πνέοντες, οἱ νενικηκότες τοὺς Λακεδαιμονίους, οἱ τῷ παντὶ πλέονες καὶ προσέτι ὑπερδέξια χωρία ἔχοντες οὐκ ἐδέξαντο τοὺς περὶ τὸν Ἀρχίδαμον, ἀλλ' ἐγκλίνουσι. καὶ οἱ μὲν πρῶτοι τῶν Ἐπαμεινώνδου ἀποθνήσκουσιν· 10
ἐπεὶ μέντοι ἀγαλλόμενοι τῇ νίκῃ ἐδίωξαν οἱ ἔνδοθεν πορρωτέρω τοῦ καιροῦ, οὗτοι αὖ ἀποθνήσκουσι· περιεγέγραπτο γάρ, ὡς ἔοικεν, ὑπὸ τοῦ θείου, μέχρις ὅσου ἡ νίκη ἐδέδοτο αὐτοῖς. καὶ ὁ μὲν δὴ Ἀρχίδαμος τρόπαιόν τε ἴστατο ἔνθα ἐπεκράτησε, καὶ τοὺς ἐνταῦθα πεσόντας τῶν πολεμίων ὑποσπόνδους ἀπεδίδου. ὁ δ' Ἐπαμεινώνδας 11
λογιζόμενος, ὅτι οἱ Ἀρκάδες βοηθήσοιεν εἰς τὴν Λακεδαίμονα, ἐκείνοις μὲν οὐκ ἐβούλετο καὶ πᾶσι Λακεδαιμονίοις ὁμοῦ γενομένοις μάχεσθαι, ἄλλως τε καὶ εὐτυχηκόσι, τῶν δὲ ἀποτετυχηκότων· πάλιν δὲ πορευθεὶς ὡς ἐδύνατο τάχιστα εἰς τὴν Τεγέαν τοὺς μὲν ὁπλίτας ἀνέπαυσε, τοὺς δὲ ἱππέας ἔπεμψεν εἰς τὴν Μαντίνειαν, δεηθεὶς αὐτῶν προσκαρτερῆσαι καὶ διδάσκων, ὡς πάντα μὲν εἰκὸς ἔξω εἶναι τὰ τῶν Μαντινέων βοσκήματα, πάντας δὲ τοὺς ἀνθρώπους, ἄλλως τε καὶ σίτου συγκομιδῆς οὔσης. καὶ οἱ μὲν ᾤχοντο· οἱ δ' Ἀθηναῖοι ἱππεῖς 12
ὁρμηθέντες ἐξ Ἐλευσῖνος ἐδειπνοποιήσαντο μὲν ἐν Ἰσθμῷ· διελθόντες δὲ καὶ τὰς Κλεωνὰς ἐτύγχανον προσιόντες εἰς τὴν Μαντίνειαν καὶ καταστρατοπεδευσάμενοι ἐντὸς τείχους ἐν ταῖς οἰκίαις. ἐπεὶ δὲ δῆλοι ἦσαν προσελαύνοντες οἱ πολέμιοι, ἐδέοντο οἱ Μαντινεῖς τῶν Ἀθηναίων ἱππέων βοηθῆσαι, εἴ τι δύναιντο· ἔξω γὰρ εἶναι καὶ τὰ βοσκήματα πάντα καὶ τοὺς ἐργάτας, πολλοὺς δὲ καὶ παῖδας καὶ γεραιτέρους τῶν ἐλευθέρων. ἀκούσαντες δὲ ταῦτα οἱ Ἀθηναῖοι ἐκβοηθοῦσιν ἔτι ὄντες ἀνάριστοι καὶ αὐτοὶ καὶ οἱ ἵπποι. ἐνταῦθα δὴ τούτων 13
αὖ τὴν ἀρετὴν τίς οὐκ ἂν ἀγασθείη; οἳ καὶ πολὺ πλείονας ὁρῶντες τοὺς πολεμίους, καὶ δυστυχήματος γεγενημένου ἐν Κορίνθῳ τοῖς ἱπ-

---

9. τὸ .. γενόμενον. cf. M. §. 432. p. 806. B. §. 131, 8. n. 6. — αἰτιᾶσθαι, h. l. in bonam, certe non in malam partem ex mente Xenophontis adhibitum. exempla conflavit Heind. ad Plat. Gorg. §. 126. — τοῖς ἀπονενοημένοις. cf. ad Pausan. VIII, 3. — πρὸς ὄρθιον, in locum arduum. hinc supra καταβαίνοντες hostes dicuntur, mox ὑπερδέξια χωρία ἔχοντες. — πῦρ πν. ut Lat. *flammas spirare.*

10. πρῶτοι. Iustin. l. c. duo in hoc proelio duces Thebanorum cecidisse refert. — οἱ ἔνδοθεν, significantius actionem motumque exprimit quam οἱ ἔνδον. ceterum v. Lobeck ad Phryn. p. 128. — ὑποσπόνδους, ut infra §. 23 *pactis induciis, fide data.*

11. τῶν δὲ ἀποτ. dicit Thebanos. — ὡς πάντα μὲν ctt. ordo verborum hic est: ὡς εἰκὸς (εἴη) πάντα τὰ βοσκήματα ἔξω εἶναι (τῆς Μαντινείας).

12. Κλεωνάς, oppidum Argolidis a Corintho octoginta, ab Argis centum viginti stadia aberat. — καταστρατοπεδευσάμενοι, h. l. *commorantes*, cantonnirend, ut manifestum fit ex iis, quae adposita sunt. cf. Xen. Anab. III, 4, 18.

13. πολὺ πλείονας. Atheniensium auxilia fuerunt militum 6000, Epaminondam vero dicunt quindecim millia secum duxisse ad adoriendam Spartam. — δυστυχήματος, de qua calamitate cogitandum sit dubitant viri do-

πεῦσιν οὐδὲν τούτου ἐπελογίσαντο, οὐδ' ὅτι καὶ Θηβαίοις ἅμα καὶ Θετταλοῖς τοῖς κρατίστοις ἱππεῦσιν εἶναι δοκοῦσιν ἔμελλον μάχεσθαι, ἀλλ' αἰσχυνόμενοι, εἰ παρόντες μηδὲν ὠφελήσειαν τοὺς συμμάχους, ὡς εἶδον τάχιστα τοὺς πολεμίους, συνέῤῥαξαν ἐρῶντες ἀνασώσασθαι
14 τὴν πατρῴαν δόξαν. καὶ μαχόμενοι αἴτιοι μὲν ἐγένοντο σφθῆναι τὰ ἔξω πάντα τοῖς Μαντινεῦσιν· αὐτῶν δὲ ἀπέθανον ἄνδρες ἀγαθοί, καὶ ἀπέκτειναν δὲ δηλονότι τοιούτους· οὐδὲν γὰρ οὕτω βραχὺ ὅπλον ἑκάτεροι εἶχον, ᾧ οὐκ ἐξικνοῦντο ἀλλήλων· καὶ τοὺς μὲν φιλίους νεκροὺς ἀνείλοντο, τῶν δὲ πολεμίων ἦν οὓς ὑποσπόνδους ἀπέδοσαν.
15 ὁ δ' αὖ Ἐπαμεινώνδας ἐνθυμούμενος, ὅτι ὀλίγων μὲν ἡμερῶν ἀνάγκη ἔσοιτο ἀπιέναι διὰ τὸ ἐξήκειν τῇ στρατείᾳ τὸν χρόνον, εἰ δὲ καταλείψοι ἐρήμους οἷς ἦλθε σύμμαχος, ἐκεῖνοι πολιορκήσοιντο ὑπὸ τῶν ἀντιπάλων, αὐτὸς δὲ λελυμασμένος τῇ ἑαυτοῦ δόξῃ παντάπασιν ἔσοιτο, ἡττημένος μὲν ἐν Λακεδαίμονι σὺν πολλῷ ὁπλιτικῷ ὑπ' ὀλίγων, ἡττημένος δὲ ἐν Μαντινείᾳ ἱππομαχίᾳ, αἴτιος δὲ γεγενημένος διὰ τὴν εἰς Πελοπόννησον στρατείαν τοῦ συνεστάναι Λακεδαιμονίους καὶ Ἀρκάδας καὶ Ἀχαιοὺς καὶ Ἠλείους καὶ Ἀθηναίους· ὥστε οὐκ ἐδόκει αὐτῷ δυνατὸν εἶναι ἀμαχεὶ παρελθεῖν λογιζομένῳ, ὅτι, εἰ μὲν νικῴη, πάντα ταῦτα ἀναλύσοιτο· εἰ δὲ ἀποθάνοι, καλὴν τὴν τελευτὴν ἡγήσατο ἔσεσθαι πειρωμένῳ τῇ πατρίδι ἀρχὴν Πελοποννήσου κα-
16 ταλιπεῖν. τὸ μὲν οὖν αὐτὸν τοιαῦτα διανοεῖσθαι οὐ πάνυ μοι δοκεῖ θαυμαστὸν εἶναι· φιλοτίμων γὰρ ἀνδρῶν τὰ τοιαῦτα διανοήματα· τὸ μέντοι στράτευμα παρεσκευακέναι, ὡς πόνον τε μηδένα ἀποκάμνειν μήτε νυκτὸς μήτε ἡμέρας, κινδύνου τε μηδενὸς ἀφίστασθαι, σπάνιά τε τὰ ἐπιτήδεια ἔχοντας ὅμως πείθεσθαι ἐθέλειν, ταῦτά μοι δοκεῖ
17 θαυμαστότερα εἶναι. καὶ γὰρ ὅτε τὸ τελευταῖον παρήγγειλεν αὐτοῖς παρασκευάζεσθαι ὡς μάχης ἐσομένης, προθύμως μὲν ἐλευκοῦντο οἱ ἱππεῖς τὰ κράνη κελεύοντος ἐκείνου· ἐπεγράφοντο δὲ καὶ τῶν Ἀρκάδων ὁπλῖται ῥόπαλα [ἔχοντες] ὡς Θηβαῖοι ὄντες, πάντες δὲ ἠκο-

---

cti. hoc tantum constat Corinthios Ol. 103, 3 foedera cum Thebanis fecisse. — οὐδὲν . . ἐπελογίσαντο, *nihil horum secum reputabant*, quasi dixisset τούτων, in hoc quidem nexu sententiarum facile praeferendum. — κρατίστοις . . δοκοῦσιν, cf. B. §. 144, 4. not. 4. Bernh. Synt. p. 367. — συνέῤῥαξαν, *concurrebant*, ut alias συμπίπτειν, συνερείδειν. plenius apud Diod. 16, 4. μετὰ βοῆς συνέῤῥαξαν εἰς τὴν μάχην.

14. αἴτιοι μ. ἐγένοντο, de structura cum Acc. et Inf. exposuit Krüg. Xen. Anab. VI, 4, 10. infra §. 15. habes alteram structuram. — τὰ ἔξω. cf. supra §. 12. — ᾧ οὐκ ἐξικνοῦντο ἀλλ. *quo se mutuo non contingerent.* Eurip. El. 607. τί δῆτα δρῶντες τοῦδ' ἂν ἐξικοίμεθα; cf. tamen Hom. Il. IX, 479. — ἣν οὓς ctt. v. ad Pausan. VII, 2. eandem syntaxin fit ubi poetae Latini imitentur. Propert. III, 9, 16. 17. *Est quibus Eleae concurrit palma quadrigae, Est quibus in celeres gloria nata pedes.*

15. ὀλίγων μ. ἡμερῶν, *intra paucos dies.* B. §. 132, 6, 4. atque dux coepta maturare debebat, quod tempus definitum erat militibus stipendiariis. — λελυμασμένος, h. l. ut vulgo cum Dat. Bernh. Synt. p. 91. — ὅτι . . ἀναλύσοιτο, *se rem sarcire, corrigere posse.* Dem. Symmor. p. 187 extr. γενέσθαι αὐτοῖς καιρόν, δι' οὗ τὰς προτέρας ἀναλύσωνται ἁμαρτίας.

16. οὐ πάνυ. B. §. 148, 2. not. 2. — πόνον . . ἀποκάμνειν, i. q. alias legimus πόνους ἀνέχεσθαι, ὑποδύεσθαι, φέρειν.

17. ἐλευκοῦντο, h. l. ut paullo post ἐλαμπρύνοντο, galeas *nitidas reddebant, poliebant.* comp. supra Xen. II, 3. — ἐπεγράφοντο, monent viri docti ad h. l. clypeos inscriptos fuisse littera initiali gentium, sed Thebani,

νῶντο καὶ λόγχας καὶ μαχαίρας, καὶ ἐλαμπρύνοντο τὰς ἀσπίδας. ἐπεὶ 18
μέντοι οὕτω παρεσκευασμένους ἐξήγαγεν, ἄξιον οὐ κατανοῆσαι ἃ
ἐποίησε. πρῶτον μὲν γάρ, ὥσπερ εἰκός, συνετάττετο. τοῦτο δὲ πράτ-
των σαφηνίζειν ἐδόκει, ὅτι εἰς μάχην παρεσκευάζετο. ἐπεί γε μὴν
ἐτέτακτο αὐτῷ τὸ στράτευμα, ὡς ἐβούλετο, τὴν μὲν συντομωτάτην
πρὸς τοὺς πολεμίους οὐκ ἦγε, πρὸς δὲ τὰ πρὸς ἑσπέραν ὄρη καὶ ἀν-
τιπέραν τῆς Τεγέας ἡγεῖτο· ὥστε δόξαν παρεῖχε τοῖς πολεμίοις μὴ
ποιήσεσθαι μάχην ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. καὶ γὰρ δὴ ὡς πρὸς τῷ ὄρει 19
ἐγένετο, ἐπεὶ ἐξετάθη αὐτῷ ἡ φάλαγξ, ὑπὸ τοῖς ὑψηλοῖς ἔθεο τὰ
ὅπλα, ὥστε εἰκάσθη στρατοπεδευομένῳ. τοῦτο δὲ ποιήσας ἔλυσε μὲν
τῶν πλείστων πολεμίων τὴν ἐν ταῖς ψυχαῖς πρὸς μάχην παρασκευήν,
ἔλυσε δὲ τὴν ἐν ταῖς συντάξεσιν. ἐπεί γε μὴν παραγαγὼν τοὺς ἐπὶ
κέρως πορευομένους λόχους εἰς μέτωπον ἰσχυρὸν ἐποιήσατο τὸ περὶ
ἑαυτὸν ἔμβολον, τότε δὴ ἀναλάβεῖν παραγγείλας τὰ ὅπλα ἡγεῖτο· οἱ
δ' ἠκολούθουν. οἱ δὲ πολέμιοι ὡς εἶδον παρὰ δόξαν ἐπιόντας, οὐ-
δεὶς αὐτῶν ἡσυχίαν ἔχειν ἠδύνατο· ἀλλ' οἱ μὲν ἔθεον εἰς τὰς τάξεις,
οἱ δὲ παρετάττοντο, οἱ δὲ ἵππους ἐχαλίνουν, οἱ δὲ θώρακας ἐνεδύνο-
το, πάντες δὲ πεισομένοις τι μᾶλλον, ἢ ποιήσουσιν ἐῴκεσαν. ὁ δὲ 20
τὸ στράτευμα ἀντίπρωρον ὥσπερ τριήρη προσῆγε νομίζων, ὅπῃ ἐμ-
βαλὼν διακόψειε, διαφθερεῖν ὅλον τὸ τῶν ἐναντίων στράτευμα· καὶ
γὰρ δὴ τῷ μὲν ἰσχυροτάτῳ παρεσκευάζετο ἀγωνίζεσθαι, τὸ δὲ ἀσθε-
νέστατον πόῤῥω ἀπέστησεν εἰδώς, ὅτι ἡττηθὲν ἀθυμίαν ἂν παράσχοι
τοῖς μεθ' ἑαυτοῦ, ῥώμην δὲ τοῖς πολεμίοις. καὶ μὴν τοὺς ἱππέας οἱ
μὲν πολέμιοι αὐτοὶ παρετάξαντο, ὥσπερ ὁπλιτῶν φάλαγγος βάθος
ἐφεξῆς καὶ ἔρημον πεζῶν ἁμίππων· ὁ δ' Ἐπαμεινώνδας αὖ καὶ τοῦ 21
ἱππικοῦ ἔμβολον ἰσχυρὸν ἐποιήσατο, καὶ ἁμίππους πεζοὺς συνέταξεν
αὐτοῖς, νομίζων τὸ ἱππικὸν ἐπεὶ διακόψειεν ὅλον τὸ ἀντίπαλον νενι-

---

quos Arcades nunc imitantur, non Θ litteram, sed clavam (ῥόπαλον), Hercules insigne, pictam in scutis habebant. hinc recte Dindorfius cum quattuor Codd. expulit quod uncis circumsepsimus.

18. ἀντιπέραν τῆς T. pergebat igitur Epaminondas ad montes *e regione Tegeae* Mantineam inter et Gortyna sitos. — ἐν ἑκ. τῇ ἡμέρᾳ, tres libri, quibus Dind. obsequitur, ἐν Praepositionem omittunt nec sane perinde est addatur an non addatur. cf. Bernh. Synt. p. 209. h. quidem l. nihil impedit quominus durantis temporis notionem subesse credamus, *intra spatium illius diei*, id quod Infinitivus futuri temporis suadere videtur. cf. Xen. Anab. I, 7, 18.

19. ὑπὸ τ. ὑψηλοῖς, *sub locis eminentioribus*. cave ex ὄρει quidquam repetas. — ἔλυσε μὲν ctt. sensus est: effecit ut plerique hostes non solum consilium pugnandi animis conceptum abiicerent, sed etiam curam s. praeparationem ad instruendam aciem. λύειν igitur i. q. παύειν. — ἐπὶ κέρως π. i. q. alias ἐπὶ κέρας et κατὰ κέρας, de lochis, aliis post alios, continua longa serie, *acie recta* incedentibus, cui opponitur εἰς μέτωπον, quum milites *obliqua* s. *transversa acie* ducti adversis frontibus simul concurrunt. eadem opposita habet Lucian. de conscr. hist. c. 37.

20. ἀντίπρωρον ὥσπερ τρ. *adversis proris instar triremis*, h. e. ex adverso, acie cuneata facta, impetum fecit in hostes. ἀντίπρ. enim Hesychio interprete ἀντιπρόσωπον, et comparatione navis acies indicatur cuneatim structa. — αὐτοὶ π. Dind. ex ingenio ἀντιπαρετάξαντο. non male. — π. ἁμίππων. recte Kühn ad Polluc. I, 131 „pedites, qui soleant in acie immisceri equitibus pro usu bellico, imprimis πρὸς ἐκδρομάς." comp. Caesar. B. G. I. c. 48.

21. τὸ ἱππικὸν ctt. fusius de proelio equestri Diod. XV, 85, ubi Athe-

κηκὼς ἔσεσθαι· μάλα γὰρ χαλεπὸν εὑρεῖν τοὺς ἐθελήσοντας μένειν, ἐπειδάν τινας φεύγοντας τῶν ἑαυτῶν ὁρῶσι· καὶ ὅπως μὴ ἐπιβοηθῶσιν οἱ Ἀθηναῖοι ἀπὸ τοῦ εὐωνύμου κέρατος ἐπὶ τὸ ἐχόμενον, κατέστησεν ἐπὶ γηλόφων τινῶν ἐναντίους αὐτοῖς καὶ ἱππέας καὶ ὁπλίτας φόβον βουλόμενος καὶ τούτοις παρέχειν, ὡς, εἰ βοηθήσοιεν, ὄπισθεν οὗτοι ἐπικείσοιντο αὐτοῖς. τὴν μὲν δὴ συμβολὴν οὕτως ἐποιήσατο, καὶ οὐκ ἐψεύσθη τῆς ἐλπίδος· κρατήσας γὰρ ᾗ προσέβαλεν
22 ὅλον ἐποίησε φεύγειν τὸ τῶν ἐναντίων. ἐπεί γε μὴν ἐκεῖνος ἔπεσεν, οἱ λοιποὶ οὐδὲ τῇ νίκῃ ὀρθῶς ἔτι ἐδυνάσθησαν χρήσασθαι, ἀλλὰ φυγούσης μὲν αὐτοῖς τῆς ἐναντίας φάλαγγος οὐδένα ἀπέκτειναν οἱ ὁπλῖται, οὐδὲ προῆλθον ἐκ τοῦ χωρίου, ἔνθα ἡ συμβολὴ ἐγένετο· φυγόντων δ' αὐτοῖς καὶ τῶν ἱππέων ἀπέκτειναν μὲν οὐδ' οἱ ἱππεῖς διώκοντες οὔτε ἱππέας οὔθ' ὁπλίτας, ὥσπερ δὲ ἡττώμενοι πεφοβημένως διὰ τῶν φευγόντων πολεμίων διέπεσον. καὶ μὴν οἱ ἅμιπποι καὶ οἱ πελταστὰι συννενικηκότες τοῖς ἱππεῦσιν ἀφίκοντο μὲν ἐπὶ τοῦ εὐωνύμου ὡς κρατοῦντες· ἐκεῖ δὲ ὑπὸ τῶν Ἀθηναίων οἱ πλεῖστοι αὐτῶν
23 ἀπέθανον. τούτων δὲ πραχθέντων τοὐναντίον ἐγεγένητο οὗ ἐνόμισαν πάντες ἄνθρωποι ἔσεσθαι. συνεληλυθυίας γὰρ σχεδὸν ἁπάσης τῆς Ἑλλάδος καὶ ἀντιτεταγμένων οὐδεὶς ἦν, ὅστις οὐκ ᾤετο, εἰ μάχη ἔσοιτο, τοὺς μὲν κρατήσαντας ἄρξειν, τοὺς δὲ κρατηθέντας ὑπηκόους ἔσεσθαι· ὁ δὲ θεὸς οὕτως ἐποίησεν, ὥστε ἀμφότεροι μὲν ὡς νενικηκότες τρόπαιον ἐστήσαντο, τοὺς δὲ ἱσταμένους οὐδέτεροι ἐκώλυον· νεκροὺς δὲ ἀμφότεροι μὲν ὡς νενικηκότες ὑποσπόνδους ἀπέδοσαν,
24 ἀμφότεροι δὲ ὡς ἡττημένοι ὑποσπόνδους ἀπελάμβανον. νενικηκέναι δὲ φάσκοντες ἑκάτεροι, οὔτε χώρᾳ οὔτε πόλει οὔτ' ἀρχῇ οὐδέτεροι οὐδὲν πλέον ἔχοντες ἐφάνησαν, ἢ πρὶν τὴν μάχην γενέσθαι· ἀκρισία δὲ καὶ ταραχὴ ἔτι πλείων μετὰ τὴν μάχην ἐγένετο, ἢ πρόσθεν ἐν τῇ Ἑλλάδι.

---

niensium equitatum ab Epaminonda fugatum comperimus. — ἑαυτῶν, pendet ex vocula τῶν. sic saepius οἱ ἑαυτῶν, praesertim apud scriptores serioris Atthidis, i. q. οἱ οἰκεῖοι, die Angehörigen. — τὸ ἐχόμενον, de iis qui in acie proxime Athenienses excipiunt. Xen. Anab. I, 8, 4. c. Gen. ibid. 9. — ἐψεύσθη, c. Gen. ut infra Lys. Epit. §. 31. τοῦ πλήθους ψευσθέντες. rarius ψεύδειν atque solis poetis, ni fallor, usitatum. Aesch. Pers. 478 ibique Blomf. comp. ἁμαρτάνειν, σφάλλεσθαί τινος.

22. ἔπεσεν. alii ab alio Epaminondam prostratum narrant. plerique laudem perhibent Gryllo Xenophontis F., Dioscorides (Plut. vit. Ages. 35.) Anticrati Lacedaemonio. — ἐδυνάσθησαν. formam magis Ionicam passim offerunt libri Xenophontis. Anab. VII, 6, 20. Cyrop. I, 1, 5. al. — διέπεσον, perrumpendo elabebantur, schlugen sich durch.

23. τοὐναντίον . . οὗ ἐνόμισαν, contra quam omnes arbitrarentur accidit. de Genit. v. M. §. 366. n. 2. — ἀντιτεταγμένων. cf. supra Lucian. IV, 4. Xen. I, 11 ibique cit. nostra quidem verba ut sint paullo insolentiora ob praegressum συνεληλυθυίας, tamen excidisse quidquam Schneidero non concesserim. ceterum triginta tria millia militum in utroque exercitu fuisse auctor est Diod. XV, 84. — ὥστε ἀμφότεροι ctt. consentit Diodorus. sunt autem qui Epaminondam solum renuncient victorem. Paus. IX, 15, 3. Strabo 8, 388.

24. ἀκρισία ctt. Dem. de cor. §. 18. ἡ Πελοπόννησος ἅπασα διειστήκει. · · ἦν ἄκριτος καὶ παρὰ τούτοις καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἔρις καὶ ταραχή. Diod. XV, 89. οἱ Ἕλληνες τῇ συνεχείᾳ τῶν κινδύνων καταπονούμενοι διελύσαντο πρὸς ἀλλήλους.

V.

Ἐπεὶ πρὸς Βαβυλῶνι ἦν ὁ Κῦρος, περιέστησε μὲν πᾶν τὸ 1
στράτευμα περὶ τὴν πόλιν, ἔπειτα αὐτὸς περιήλαυνε τὴν πόλιν σὺν
τοῖς φίλοις τε καὶ ἐπικαιρίοις τῶν συμμάχων. ἐπεὶ δὲ κατεθεά- 2
σατο τὰ τείχη, ἀπάγειν παρεσκευάσατο τὴν στρατιὰν ἀπὸ τῆς πό-
λεως· ἐξελθὼν δέ τις αὐτόμολος εἶπεν, ὅτι ἐπιτίθεσθαι μέλλοιεν
αὐτῷ ὁπότε ἀπάγοι τὸ στράτευμα· καταθεωμένοις γάρ, ἔφη, αὐ-
τοῖς ἀπὸ τοῦ τείχους ἀσθενὴς ἐδόκει εἶναι ἡ φάλαγξ. καὶ οὐδὲν
θαυμαστὸν ἦν οὕτως ἔχειν· περὶ γὰρ πολὺ τεῖχος κυκλουμένους
ἀνάγκη ἦν ἐπ' ὀλίγον τὸ βάθος γενέσθαι τὴν φάλαγγα. ἀκού- 3
σας οὖν ὁ Κῦρος ταῦτα, στὰς κατὰ μέσον τῆς αὐτοῦ στρατιᾶς σὺν
τοῖς περὶ αὐτὸν παρήγγειλεν ἀπὸ τοῦ ἄκρου ἑκατέρωθεν τοὺς ὁπλί-
τας ἀναπτύσσοντας τὴν φάλαγγα ἀπιέναι παρὰ τὸ ἑστηκὸς τοῦ στρα-
τεύματος, ἕως γένοιτο ἑκατέρωθεν τὸ ἄκρον καθ' ἑαυτὸν καὶ κατὰ
τὸ μέσον. οὕτως οὖν ποιούντων οἵ τε μένοντες εὐθὺς θαῤῥα- 4
λεώτεροι ἐγίγνοντο ἐπὶ διπλάσιον τὸ βάθος γιγνόμενοι, οἵ τ' ἀπιόν-
τες ὡσαύτως θαῤῥαλεώτεροι· εὐθὺς γὰρ οἱ μένοντες αὐτῶν πρὸς
τοῖς πολεμίοις ἐγίγνοντο. ἐπεὶ δὲ πορευόμενοι ἑκατέρωθεν συνῆψαν
τὰ ἄκρα, ἔστησαν ἰσχυρότεροι γεγενημένοι, οἵ τε ἀπεληλυθότες διὰ
τοὺς ἔμπροσθεν, οἵ τ' ἔμπροσθεν διὰ τοὺς ὄπισθεν προσγεγενημέ-
νους. ἀναπτυχθείσης δ' οὕτω τῆς φάλαγγος ἀνάγκη τοὺς πρώ- 5
τους ἀρίστους εἶναι καὶ τοὺς τελευταίους, ἐν μέσῳ δὲ τοὺς κακί-
στους τετάχθαι· ἡ δ' οὕτως ἔχουσα τάξις καὶ πρὸς τὸ μάχεσθαι
ἐδόκει εὖ παρεσκευάσθαι καὶ πρὸς τὸ μὴ φεύγειν. καὶ οἱ ἱππεῖς

V. *Κύρου παιδείας βιβλία ἡ.* Sunt autem duo quae sequuntur capita ex nobili illo libro Xenophontis excerpta, in quo scriptor institutione Cyri maioris enarrata usum quoque fructumque illius disciplinae explanandum sibi sumit. ac priori quidem capite (VII, 5, 1—34) Babylon urbs obsessa et occupata tenetur a Cyro. 538 a. C. n. Edd. I. G. Schneider. Lips. 1815. L. Dindorf. Berol. 1830. 8.

1. *ἐπικαιρίοις*, explicat Xenophon Cyrop. V, 5, 44. eosdem vocans *τῶν φίλων τοὺς ἱκανωτάτους καὶ φρονεῖν καὶ συμπράττειν, εἴ τι δέοι.*

2. *πολὺ τεῖχος.* Herod. I, 178. *Βαβυλὼν κέεται ἐν πεδίῳ μεγάλῳ, μέγαθος ἐοῦσα μέτωπον ἕκαστον εἴκοσι καὶ ἑκατὸν σταδίων ἐούσης τετραγώνου· οὗτοι στάδιοι τῆς περιόδου τῆς πόλιος γίνονται συνάπαντες ὀγδώκοντα καὶ τετρακόσιοι.* — *κυκλουμένους.* v. ad Paus. VI, 1.

3. *τὸ ἑστηκός*, i. q. modo dixerat *μέσον τῆς στρατιᾶς.* sic *ἡ ἑστηκυῖα ἡλικία* Plat. de legg. p. 802. d. *stans aetas, media*, quae paullisper quo progrediatur tempus videtur intermittere. — *ἕως γένοιτο* ctt. *donec utrinque extrema phalangis pars ad suum quaeque locum atque ad mediam aciem pervenerit.* constiterant quidem gravis armaturae milites in medio agmine. iam vero phalange explicata atque inversa (*ἀναπτύσσειν*) in utroque cornu positi ad mediam aciem singuli quique prodeunt, quo altiorem efficiant et ultimi ordinentur *οἱ ὁπλῖται.*

4. *μένοντες*, i. q. supra *τὸ ἑστηκός*, quippe qui loco non recessissent. hinc ex utroque latere in medium qui processerant *οἱ ἀπιόντες.* — *εὐθὺς γὰρ οἱ μ.* etenim signis conversis fieri poterat, ut aeque in hostem obverterentur *οἱ ὁπλῖται* atque in primo agmine collocati. — *συνῆψαν.* comp. ad Diod. III, 2 extr.

5. *ἐν μέσῳ δὲ τοὺς κ.* dicuntur ii, qui alias agmen fere claudere solent, *οἱ ἐπὶ πᾶσι, οἱ τελευταῖοι.* — *πρὸς τὸ μὴ φ.* impediebant milites gravis armaturae.

δὲ καὶ οἱ γυμνῆτες οἱ ἀπὸ τῶν κεράτων ἀεὶ ἐγγύτερον ἐγίγνοντο τοῦ ἄρχοντος τοσούτῳ ὅσῳ ἡ φάλαγξ βραχυτέρα ἐγίγνετο ἀναδιπλου-
6 μένη. ἐπεὶ δὲ οὕτω συνεσπειράθησαν, ἀπῄεσαν, ἕως μὲν ἐξικνεῖτο τὰ βέλη ἀπὸ τοῦ τείχους, ἐπὶ πόδα· ἐπεὶ δὲ ἔξω βελῶν ἐγένοντο, στραφέντες καὶ τὸ μὲν πρῶτον ὀλίγα βήματα προϊόντες μετεβάλλοντο ἐπ' ἀσπίδα, καὶ ἵσταντο πρὸς τὸ τεῖχος βλέποντες· ὅσῳ δὲ προσωτέρω ἐγίγνοντο, τοσῷδε μανότερον μετεβάλλοντο. ἐπεὶ δ' ἐν τῷ ἀσφαλεῖ ἐδόκουν εἶναι, ξυνεῖρον ἀπιόντες, ἔστε ἐπὶ ταῖς σκηναῖς ἐγένοντο.

7 Ἐπεὶ δὲ κατεστρατοπεδεύσαντο, συνεκάλεσεν ὁ Κῦρος τοὺς ἐπικαιρίους καὶ ἔλεξεν· Ἄνδρες ξύμμαχοι, τεθεάμεθα μὲν κύκλῳ τὴν πόλιν· ἐγὼ δὲ ὅπως μὲν ἄν τις τείχη οὕτως ἰσχυρὰ καὶ ὑψηλὰ προσμαχόμενος ἕλοι, οὐκ ἐνορᾶν μοι δοκῶ· ὅσῳ δὲ πλέονες ἄνθρωποι ἐν τῇ πόλει εἰσίν, ἐπείπερ οὐ μάχονται ἐξιόντες, τοσούτῳ ἂν θᾶττον λιμῷ αὐτοὺς ἡγοῦμαι ἁλῶναι. εἰ μή τινα οὖν ἄλλον τρόπον ἔχετε λέ-
8 γειν, τούτῳ πολιορκητέους φημὶ εἶναι τοὺς ἄνδρας. καὶ ὁ Χρυσάντας εἶπεν· Ὁ δὲ ποταμός, ἔφη, οὗτος οὐ διὰ μέσης τῆς πόλεως ῥεῖ πλάτος ἔχων πλεῖον, ἢ ἐπὶ δύο στάδια; Ναὶ μὰ Δί', ἔφη ὁ Γωβρύας, καὶ βάθος γ' ὡς οὐδ' ἂν δύο ἄνδρες ὁ ἕτερος ἐπὶ τοῦ ἑτέρου ἑστηκὼς τοῦ ὕδατος ὑπερέχοιεν· ὥστε τῷ ποταμῷ ἔτι ἰσχυροτέρα
9 ἐστὶν ἡ πόλις, ἢ τοῖς τείχεσι. καὶ ὁ Κῦρος· Ταῦτα μέν, ἔφη, ὦ Χρυσάντα, ἐῶμεν, ὅσα κρείττω ἐστὶ τῆς ἡμετέρας δυνάμεως· διαμετρησαμένους δὲ χρὴ ὡς τάχιστα τὸ μέρος ἑκάστου ἡμῶν ὀρύττειν τάφρον ὡς πλατυτάτην καὶ βαθυτάτην, ὅπως ὅτι ἐλαχίστων ἡμῖν τῶν
10 φυλάκων δέῃ. οὕτω δὴ κύκλῳ διαμετρήσας περὶ τὸ τεῖχος, ἀπολιπὼν ὅσον τύρσεσι μεγάλαις ἀπὸ τοῦ ποταμοῦ, ὤρυττεν ἔνθεν καὶ ἔνθεν τοῦ τείχους τάφρον ὑπερμεγέθη, καὶ τὴν γῆν ἀνέβαλλον πρὸς ἑαυ-
11 τούς. καὶ πρῶτον μὲν πύργους ἐπὶ τῷ ποταμῷ ᾠκοδόμει φοίνιξι θεμελιώσας οὐ μεῖον ἢ πλεθριαίοις· εἰσὶ γὰρ καὶ μείζονες ἢ τοσοῦτοι τὸ μῆκος πεφυκότες· καὶ γὰρ δὴ πιεζόμενοι οἱ φοίνικες ὑπὸ βάρους
12 ἄνω κυρτοῦνται, ὥσπερ οἱ ὄνοι οἱ κανθήλιοι· τούτους δ' ὑπετίθει

---

6. ἐπὶ πόδα. vid. ad Xen. II, 11. — ἐπ' ἀσπίδα, ut παρ' ἀσπίδας, ἐπ' ἀριστερὰ χειρὸς apud Homerum, *sinistrorsum*, quod sinistro brachio clypeum gerere solebant, unde opposita sunt ἐπὶ δόρυ, ἐπὶ δεξιά. — ξυνεῖρον, *se corripiebant, cursum capessebant*, ut alias dicunt λόγους συνείρειν ἀπνευστί. Demosth. τὰς ἐξῆς πράξεις σ. Diod. comp. Hor. Od. I, 3, 33. *corripuit gradum*, quibus ne inducaris ut nostro loco βήματα repetas ex praecedentibus.

7. ὅπως, h. l. relative. *qui fieri possit ut moenia capiantur, equidem non perspicere mihi videor.* μοι δοκῶ modestius, ut fit, eloquitur quae vix in controversia esse videantur. sic apud Platonem μοι δοκοῦμεν (Sophist. p. 229. b.), quibuscum cave confundas δοκεῖν Infinitivo futuri temporis iunctum. ἐγώ μοι δοκῶ κατακείσεσθαι, i. e. *placet mihi recumbere.* Plat. Phaedr. p. 230. e. ibique Heindorf.

8. ὑπερέχοιεν, c. Gen. v. M. §. 358, 2. Bernh. Synt. p. 170.

9. τὸ μέρος. cf. ad Diod. III, 2. — ἡμῖν . . δέῃ. δεῖ c. Dat. ut Plat. Phaedr. p. 229. e. πολλῆς αὐτῷ σχολῆς δεήσει. Xen. Anab. III, 4, 35. add. M. §. 391, 2. Bernh. Synt. p. 91.

10. ἀπολιπὼν ὅσον τύρσεσι ctt. *intervallo relicto quantum turribus sufficiens erat:* ὅσον ἐς s. πρὸς τύρσεις ἱκανόν, quam pleniorem dictionem Graeci non prorsus abiiciunt. cf. Ellendt ad Arrian. IV, 2, 3.

11. ἄνω κυρτοῦνται. haec Xenophontis narratio, palmas Babylonias *quum onere premantur sursum atque in sublime curvari velut asinos cli-*

τούτου ἕνεκα ὅπως ὅτι μάλιστα ἐοίκοι πολιορκήσειν παρασκευαζομένῳ, ὡς, εἰ καὶ διαφύγοι ὁ ποταμὸς εἰς τὴν τάφρον, μὴ ἀνέλοι τοὺς πύργους. ἀνίστη δὲ καὶ ἄλλους πολλοὺς πύργους ἐπὶ τῆς ἀμβολάδος γῆς, ὅπως ὅτι πλεῖστα φυλακτήρια εἴη. οἱ μὲν δὴ ταῦτ' ἐποίουν· οἱ 13
δὲ ἐν τῷ τείχει κατεγέλων τῆς πολιορκίας ὡς ἔχοντες τὰ ἐπιτήδεια πλέον ἢ εἴκοσιν ἐτῶν. ἀκούσας δὲ ταῦτα ὁ Κῦρος τὸ στράτευμα κατένειμε δώδεκα μέρη, ὡς μῆνα τοῦ ἐνιαυτοῦ ἕκαστον μέρος φυλάξον. οἱ δ' αὖ Βαβυλώνιοι ἀκούσαντες ταῦτα πολὺ ἔτι μᾶλλον κατε- 14
γέλων, ἐννοούμενοι εἰ σφᾶς Φρύγες καὶ Λυδοὶ καὶ Ἀράβιοι καὶ Καππαδόκαι φυλάξοιεν, οὓς σφίσιν ἐνόμιζον πάντας εὐμενεστέρους εἶναι ἢ Πέρσαις.

Καὶ αἱ μὲν τάφροι ἤδη ὀρωρυγμέναι ἦσαν. ὁ δὲ Κῦρος, ἐπειδὴ 15
ἑορτὴν ἐν Βαβυλῶνι ἤκουσεν εἶναι, ἐν ᾗ πάντες οἱ Βαβυλώνιοι ὅλην τὴν νύκτα πίνουσι καὶ κωμάζουσιν, ἐν ταύτῃ, ἐπειδὴ τάχιστα συνεσκότασε, λαβὼν πολλοὺς ἀνθρώπους ἀνεστόμωσε τὰς τάφρους τὰς πρὸς τὸν ποταμόν. ὡς δὲ τοῦτο ἐγένετο, τὸ ὕδωρ κατὰ τὰς τάφρους 16
ἐχώρει ἐν τῇ νυκτί· ἡ δὲ διὰ τῆς πόλεως τοῦ ποταμοῦ ὁδὸς πορεύσιμος ἀνθρώποις ἐγίγνετο. ὡς δὲ τὸ τοῦ ποταμοῦ οὕτως ἐπορσύνετο, πα- 17
ρηγγύησεν ὁ Κῦρος Πέρσαις χιλιάρχοις καὶ πεζῶν καὶ ἱππέων εἰς δύο ἄγοντας τὴν χιλιοστὺν παρεῖναι πρὸς αὐτόν, τοὺς δ' ἄλλους συμμάχους κατ' οὐρὰν τούτων ἕπεσθαι ἧπερ πρόσθεν τεταγμένους. οἱ 18
μὲν δὴ παρῆσαν· ὁ δὲ καταβιβάσας εἰς τὸ ξηρὸν τοῦ ποταμοῦ τοὺς ὑπηρέτας καὶ πεζοὺς καὶ ἱππέας ἐκέλευσε σκέψασθαι, εἰ πορεύσιμον εἴη τὸ ἔδαφος τοῦ ποταμοῦ. ἐπεὶ δὲ ἀπήγγειλαν, ὅτι πορεύσιμον εἴη, 19
ἐνταῦθα δὴ συγκαλέσας τοὺς ἡγεμόνας τῶν πεζῶν καὶ τῶν ἱππέων

---

tellarios, num probetur nostris physicis inquirere non ausim. veteres licet diserte hanc fuisse palmarum naturam tradant, Aristoteles et alii (Gell. III, 6.) in problemata atque res mirandas referunt.

12. *ὅτι μάλιστα*, ut mox *ὅτι πλεῖστα*. v. supra ad Xen. II, 16. — *εἰ καὶ* ctt. vid. ad Lucian. dial. mort. II, 5. — *διαφύγοι*, h. l. de flumine quasi furtim atque praeter exspectationem elabente, aggerem perrumpente, redundante. sunt enim nisi *φυλαττόμενοι* non facile *διαφυγόντες*. — *ἀμβολάδος γ.* Suidas s. v. *ἀμβολὰς γῆ· ἡ ὑπὸ τοῦ ὀρύγματος ὑψωθεῖσα· Ξενοφῶν*. cf. §. 10.

13. *κατένειμε δ. μέρη*. vid. supra ad Diod. III, 2. male igitur in quibusdam libris *εἰς δ. μέρη*. — *ὡς ... φυλάξον*. v. B. §. 145. not. 5. M. §. 568.

14. *εἰ σφᾶς ... φυλάξοιεν*, *secum cogitantes contra se in praesidiis fore*. de *εἰ* post verba animi affectum significantia illato v. B. §. 149 s. v. *εἰ*. M. §. 617. f. — *εὐμενεστέρους*, de fide sociorum a proditione perfidiaque alienorum, quo sensu apud reliquos prosae orationis scriptores legere non memini.

15. *ἤκουσεν εἶναι*, quam structuram cum Infin. qui proprie Xenophonteam exigit, redargui potest a Matth. §. 549. not. 2, ubi *ἀκούειν fama comperire*, *certiorem fieri* ita construi exemplis probatur. — *τὰς πρὸς τὸν π.* quae fossae sunt *fluvio vicinae* vel *fluviam versus*, ita ut eiusdem aquae perfosso solo facile possent adire. *πρὸς τοῦ ποταμοῦ* quid esset v. Xen. Anab. II, 2, 4. IV, 3, 26.

17. *εἰς δύο*, idem fere quod supra *ἐπ' ὀκτώ*, Xen. II, 12. ibique not. cf. Xen. Anab. II, 5, 26 Krüg. comp. ibidem VI, 2, 16. — *συμμάχους*, h. l. non *socios*, sed ut saepius *milites pugnando adiuvantes*.

18. *τὸ ξηρὸν τοῦ π.* de flumine ex quo aqua derivata est, *ξηροπόταμος*, cui opponitur *torrens*, *χειμαῤῥος*. sic apud Herodotum *ξηρὸς Κρᾶδις*. Virg. Georg. III, 151. *sicci ripa Tanagri*. nos: die Trockenheit, die Seichte des Flusses.

20 ἔλεξε τοιάδε· Ἄνδρες, ἔφη, φίλοι, ὁ μὲν ποταμὸς ἡμῖν παρακεχώρηκε τῆς εἰς τὴν πόλιν ὁδοῦ· ἡμεῖς δὲ θαῤῥοῦντες εἰσίωμεν δὴ μηδὲν φοβούμενοι εἴσω, ἐννοούμενοι ὅτι οὗτοι ἐφ' οὓς νῦν πορευσόμεθα ἐκεῖνοί εἰσιν, οὓς ἡμεῖς καὶ συμμάχους πρὸς ἑαυτοῖς ἔχοντας καὶ ἐγρηγορότας ἅπαντας καὶ νήφοντας καὶ ἐξωπλισμέ-
21 νους καὶ συντεταγμένους ἐνικῶμεν· νῦν δ' ἐπ' αὐτοὺς ἴμεν ἐν ᾧ πολλοὶ μὲν αὐτῶν καθεύδουσι, πολλοὶ δ' αὐτῶν μεθύουσι, πάντες δ' ἀσύντακτοί εἰσιν· ὅταν δὲ καὶ αἴσθωνται ἡμᾶς ἔνδον ὄντας, πολὺ ἂν ἔτι μᾶλλον ἢ νῦν ἀχρεῖοι ἔσονται ὑπὸ τοῦ ἐκπεπλῆχθαι.
22 εἰ δέ τις τοῦτο ἐννοεῖται, ὃ δὴ λέγεται φοβερὸν εἶναι τοῖς εἰς πόλιν εἰσιοῦσι, μὴ ἐπὶ τὰ τέγη ἀναβάντες βάλλωσιν ἔνθεν καὶ ἔνθεν, τοῦτο μάλιστα θαῤῥεῖτε· ἦν γὰρ ἀναβῶσί τινες ἐπὶ τὰς οἰκίας, ἔχομεν σύμμαχον θεὸν Ἥφαιστον. εὔφλεκτα δὲ τὰ πρόθυρα αὐτῶν, φοίνικος μὲν αἱ θύραι πεποιημέναι, ἀσφάλτῳ δὲ ὑπεκπαύ-
23 ματι κεχρισμέναι. ἡμεῖς δ' αὖ πολλὴν μὲν δᾷδα ἔχομεν, ἣ ταχὺ πολὺ πῦρ τέξεται, πολλὴν δὲ πίτταν καὶ στυπεῖον, ἃ ταχὺ παρακαλεῖ πολλὴν φλόγα· ὥστε ἀνάγκην εἶναι ἢ φεύγειν ταχὺ τοὺς ἀπὸ τῶν οἰκιῶν,
24 ἢ ταχὺ κατακεκαῦσθαι. ἀλλ' ἄγετε, λαμβάνετε τὰ ὅπλα· ἡγήσομαι δὲ ἐγὼ σὺν τοῖς θεοῖς. ὑμεῖς δ', ἔφη, ὦ Γαδάτα καὶ Γωβρύα, δείκνυτε τὰς ὁδούς· ἴστε γάρ· ὅταν δὲ ἐντὸς γενώμεθα, τὴν ταχίστην ἄγετε
25 ἐπὶ τὰ βασίλεια. καὶ μήν, ἔφασαν οἱ ἀμφὶ τὸν Γωβρύαν, οὐδὲν ἂν εἴη θαυμαστόν, εἰ καὶ ἄκλειστοι αἱ πύλαι αἱ τοῦ βασιλείου εἶεν· ὡς ἐν κώμῳ δοκεῖ γὰρ ἡ πόλις πᾶσα εἶναι τῇδε τῇ νυκτί. φυλακῇ μέντοι πρὸ τῶν πυλῶν ἐντευξόμεθα· ἔστι γὰρ αἰεὶ τεταγμένη. οὐκ ἂν ἀμελεῖν δέοι, ἔφη ὁ Κῦρος, ἀλλ' ἰέναι, ἵνα ἀπαρασκεύους ὡς μάλιστα λάβωμεν τοὺς ἄνδρας.

26 Ἐπεὶ δὲ ταῦτα ἐῤῥήθη, ἐπορεύοντο· τῶν δὲ ἁπαντώντων οἱ μὲν ἀπέθνησκον παιόμενοι, οἱ δ' ἔφευγον πάλιν ὀπίσω, οἱ δ' ἐβόων. οἱ δ' ἀμφὶ τὸν Γωβρύαν συνεβόων αὐτοῖς, ὡς κωμασταὶ ὄντες καὶ αὐτοί· καὶ ἰόντες ᾗ ἐδύναντο [ὡς] τάχιστα ἐπὶ τοῖς βασιλείοις ἐγένοντο.
27 καὶ οἱ μὲν σὺν τῷ Γωβρύᾳ καὶ Γαδάτᾳ τεταγμένοι κεκλεισμένας εὑρίσκουσι τὰς πύλας τοῦ βασιλείου· οἱ δ' ἐπὶ τοὺς φύλακας ταχθέντες

---

20. τῆς . . ὁδοῦ. Genitivum verbis cedendi, viam concedendi adnecti, ut Xen. VI, 5. ὑπείκειν supra demonstravimus similibus aliis. Pausan. IX, 2. Diod. I, 1. — μηδὲν φοβούμενοι, sunt qui ex interpretatione vocis θαῤῥοῦντες orta et expungenda censeant. vereor ut recte, idque propter ipsam vim sententiae. etenim interest aliquid, utrum dicas *fortes*, *fortiter ingrediamur*, an *fortes neque quidquam timentes*. adtingunt haec, ni fallor, usitatissima illa genera confirmationis per inversionem, ἐκόντες οὐκ ἄκοντες, γνωτὰ κοὐκ ἄγνωτα. v. Herm. ad Viger. p. 887. Krüg. ad Xen. Anab. III, 3, 15. — πρὸς ἑαυτοῖς ἔχ. *sibi ipsis adhaerentes*. Arist. Nubb. 1008. ἢν πρὸς τούτοις προσέχῃς τὸν νοῦν ctt. Xen. Conviv. IV, 27. τὸν ὦμον πρὸς τῷ ὤμῳ ἔχειν. add. Bernh. w. Synt. p. 263 sq.

22. πρόθυρα, *vestibulum*, interprete Gellio Noctt. Att. 16, 5, *non in ipsis aedibus*, — *sed locus ante ianuam domus vacuus, per quem a via aditus accessusque ad aedes est*. — φοίνικος. B. §. 132, 4, 3.

23. στυπεῖον, dedimus cum optimis libris scriptis. alii στυππεῖον. v. Lobeck ad Phryn. p. 261.

26. ᾗ ἐδύναντο ὡς τάχ. quam librorum lectionem mutavi monitu Dindorfii. misere enim friget illud ὡς intrusum, neque habeo equidem quo defendam a suspicione interpretamenti.

27. ἐπὶ τοὺς φύλακας τ. *qui consistunt in acie contra excubitores.*

ἐπεισπίπτουσιν αὐτοῖς πίνουσι πρὸς φῶς πολύ, καὶ εὐθὺς ὡς πολε-
μίοις ἐχρῶντο αὐτοῖς. ὡς δὲ κραυγὴ καὶ κτύπος ἐγίγνετο, αἰσθόμενοι 28
οἱ ἔνδον τοῦ θορύβου, κελεύσαντος τοῦ βασιλέως σκέψασθαι τί εἴη
τὸ πρᾶγμα, ἐκθέουσί τινες ἀνοίξαντες τὰς πύλας. οἱ δ' ἀμφὶ τὸν Γα- 29
δάταν ὡς εἶδον τὰς πύλας χαλώσας, εἰσπίπτουσι καὶ τοῖς πάλιν φεύ-
γουσιν εἴσω ἐφεπόμενοι καὶ παίοντες ἀφικνοῦνται πρὸς τὸν βασιλέα·
καὶ ἤδη ἑστηκότα αὐτὸν καὶ ἐσπασμένον ὃν εἶχεν ἀκινάκην εὑρίσκου-
σι. καὶ τοῦτον μὲν οἱ σὺν Γαδάτᾳ καὶ Γωβρύᾳ πολλοὶ ἐχειροῦντο· 30
καὶ οἱ σὺν αὐτῷ δὲ ἀπέθνησκον, ὁ μὲν προβαλλόμενός τι, ὁ δὲ φεύ-
γων, ὁ δέ γε καὶ ἀμυνόμενος ὅτῳ ἐδύνατο. ὁ δὲ Κῦρος διέπεμπε τὰς 31
τῶν ἱππέων τάξεις κατὰ τὰς ὁδούς, καὶ προεῖπεν οὓς μὲν ἔξω λαμ-
βάνοιεν καταφαίνειν, τοὺς δ' ἐν ταῖς οἰκίαις κηρύττειν τοὺς Συριστὶ
ἐπισταμένους ἔνδον μένειν· εἰ δέ τις ἔξω ληφθείη, ὅτι θανατώσοιτο.
οἱ μὲν δὴ ταῦτα ἐποίουν. Γαδάτας δὲ καὶ Γωβρύας ἧκον· καὶ θεοὺς 32
μὲν πρῶτον προσεκύνουν, ὅτι τετιμωρημένοι ἦσαν τὸν ἀνόσιον βα-
σιλέα, ἔπειτα δὲ Κύρου κατεφίλουν καὶ χεῖρας καὶ πόδας πολλὰ δα-
κρύοντες ἅμα χαρᾷ καὶ εὐφραινόμενοι. ἐπεὶ δὲ ἡμέρα ἐγένετο καὶ 33
ἥσθοντο οἱ τὰς ἄκρας ἔχοντες ἐλαωκυΐαν τε τὴν πόλιν καὶ τὸν βασι-
λέα τεθνηκότα, παραδιδόασι καὶ τὰς ἄκρας. ὁ δὲ Κῦρος τὰς μὲν 34
ἄκρας εὐθὺς παρελάμβανε καὶ φρουράρχους τε καὶ φρουροὺς εἰς ταύ-
τας ἀνέπεμπε, τοὺς δὲ τεθνηκότας θάπτειν ἐφῆκε τοῖς προσήκουσι·
τοὺς δὲ κήρυκας κηρύττειν ἐκέλευσεν ἀποφέρειν πάντας τὰ ὅπλα Βα-
βυλωνίους· ὅπου δὲ ληφθήσοιτο ὅπλα ἐν οἰκίᾳ προηγόρευεν, ὡς πάν-
τες οἱ ἔνδον ἀποθανοῖντο. οἱ μὲν δὴ ἀπέφερον· ὁ δὲ Κῦρος ταῦτα
εἰς τὰς ἄκρας κατέθετο, ὡς εἴη ἕτοιμα εἴ τί ποτε δέοι χρῆσθαι.

---

comp. τάττεσθαι ἐπί τι, constitui ad aliquid gerendum, atque de densatis vel extenuatis militum ordinibus ἐπὶ πολλούς, ἐπὶ λεπτὸν τετάχθαι. — πρὸς φῶς π. plane ut Cicero alicubi, ni fallor in Epp. *potare ad multum diem.*

28. κραυγή, i. q. βοή, *sonitus clamantium*, κτύπος vero ὅπλων, βελῶν, similium rerum. — οἱ ἔνδον . . ἐκθέουσί τινες, *singuli quidam prorumpunt*, qui sunt e numero illorum in arce, neque vero οἱ ἔνδον omnes. quare noli de Nominativo, quem dicunt, absoluto cogitare. comp. supra ad Lucian. II, 1.

31. κηρύττειν τοὺς Σ. ἐπισταμένους, pendent ex superiori προεῖπεν, quippe primaria sententia atque periodi subiectum. quod superest κηρύττειν *edicere*, *proclamare*, h. l. observa simili modo atque κελεύειν quarto casui iunctum, quum alias fere Dativum sibi adsciscat cum Infinitivo vel eam quam postea structuram ὅτι θανατώσοιτο.

32. κατεφίλουν, adulatio cumulatior ipso verbo composito, *usque deosculabantur manus et pedes*, quod maxime fuit illiberale atque vilissimi cuiusque dignioribus blandientis. — ἅμα, cave cum χαρᾷ iungas, velut Arist. Thesm. 148. ἐγὼ δὲ τὴν ἐσθῆθ' ἅμα γνώμῃ φορῶ. Plut. vit. Caes. c. 11. λέγεται τοὺς ἑταίρους ἅμα γέλωτι καὶ μετὰ παιδιᾶς — φάναι. quin contra duo h. l. Participia artius colligat. de Dativo χαρᾷ *prae gaudio* alter locus succurrit Hist. Gr. VII, 1, 32. κοινόν τι ἄρα χαρᾷ καὶ λύπῃ δάκρυά ἐστιν.

34. τ. προσήκουσι, h. e. γενεᾷ πρ., ἀναγκαίοις, ἐπιτηδείοις, non οἷς προσήκει ἀνθρώποις. — ἀποφέρειν, sic ἀποφορά, τὰ ἀπὸ τῶν δούλων τοῖς δεσπόταις παρεχόμενα χρήματα. Ammon. et Thom. M. — Βαβυλωνίους, *quippe Babylonios.*

VI.

1 „Παῖδες ἐμοὶ καὶ πάντες οἱ παρόντες φίλοι, ἐμοὶ μὲν τοῦ βίου τὸ τέλος ἤδη πάρεστιν· ἐκ πολλῶν τοῦτο σαφῶς γιγνώσκω· ὑμᾶς δὲ χρή, ὅταν τελευτήσω, ὡς περὶ εὐδαίμονος ἐμοῦ καὶ λέγειν καὶ ποιεῖν πάντα. ἐγὼ γὰρ παῖς τε ὢν τὰ ἐν παισὶ νομιζόμενα καλὰ δοκῶ κεκαρπῶσθαι, ἐπεί τε ἥβησα, τὰ ἐν νεανίσκοις, τέλειός τε ἀνὴρ γενόμενος τὰ ἐν ἀνδράσι· σὺν τῷ χρόνῳ τε προϊόντι ἀεὶ συναυξανομένην ἐπιγιγνώσκειν ἐδόκουν καὶ τὴν ἐμὴν δύναμιν, ὥστε καὶ τοὐμὸν γῆρας οὐδεπώποτε ᾐσθόμην τῆς ἐμῆς νεότητος ἀσθενέστερον γιγνόμενον,
2 καὶ οὔτ' ἐπιχειρήσας οὔτ' ἐπιθυμήσας οἶδα ὅτου ἠτύχησα. καὶ τοὺς μὲν φίλους ἐπεῖδον δι' ἐμοῦ εὐδαίμονας γενομένους, τοὺς δὲ πολεμίους ὑπ' ἐμοῦ δουλωθέντας· καὶ τὴν πατρίδα πρόσθεν ἰδιωτεύουσαν ἐν τῇ Ἀσίᾳ νῦν προτετιμημένην καταλείπω· ὧν τ' ἐκτησάμην οὐδὲν οἶδα, ὅ τι οὐ διεσωσάμην. καὶ τὸν μὲν παρελθόντα χρόνον ἔπραττον οὕτως, ὥσπερ εὐχόμην· φόβος δέ μοι συμπαρομαρτῶν, μή τι ἐν τῷ ἐπιόντι χρόνῳ ἢ ἴδοιμι ἢ ἀκούσαιμι ἢ πάθοιμι χαλεπόν, οὐκ εἴα τελέως
3 με μέγα φρονεῖν οὐδ' εὐφραίνεσθαι ἐκπεπταμένως. νῦν δ' ἣν τελευτήσω, καταλείπω μὲν ὑμᾶς, ὦ παῖδες, ζῶντας, οὕσπερ ἔδοσάν μοι οἱ θεοὶ γενέσθαι· καταλείπω δὲ πατρίδα καὶ φίλους εὐδαιμονοῦντας· ὥστε πῶς οὐκ ἂν ἐγὼ δικαίως μακαριζόμενος τὸν ἀεὶ χρόνον μνήμης τυγ-
4 χάνοιμι; δεῖ δὲ καὶ τὴν βασιλείαν με ἤδη σαφηνίσαντα καταλιπεῖν· ὡς ἂν μὴ ἀμφίλογος γενομένη πράγματα ὑμῖν παράσχῃ. ἐγὼ οὖν φιλῶ μὲν ἀμφοτέρους ὑμᾶς ὁμοίως, ω παῖδες· τὸ δὲ προβουλεύειν καὶ τὸ ἡγεῖσθαι ἐφ' ὅ τι ἂν καιρὸς δοκῇ εἶναι, τοῦτο προστάττω τῷ προ-
5 τέρῳ γενομένῳ καὶ πλειόνων κατὰ τὸ εἰκὸς ἐμπείρῳ. ἐπαιδεύθην δὲ καὶ αὐτὸς ῥῦτως ὑπὸ τῆσδε τῆς ἐμῆς τε καὶ ὑμετέρας πατρίδος, τοῖς πρεσβυτέροις οὐ μόνον ἀδελφοῖς, ἀλλὰ καὶ πολίταις καὶ ὁδῶν καὶ θάκων καὶ λόγων ὑπείκειν· καὶ ὑμᾶς δέ, ὦ παῖδες, οὕτως ἐξ ἀρχῆς ἐπαίδευον, τοὺς μὲν γεραιτέρους προτιμᾶν, τῶν δὲ νεωτέρων προτετιμῆ-

---

VI. L. VIII, 7, 6—28. Cyri morientis oratio ad filios et amicos. eiusdem mors anno 529 a. C. n. ceterum comp. inde a §. 12 Ciceronis Cat. m. c. XXII.

1. τὴν ἐμὴν δύναμιν, noli referre ad vires corporis, id quod verba proxime sequentia suadere tibi videntur, sed ad crescentes rerum publicarum facultates a bonorum principum potentia non divellendas. et nescio sane an nunquam voces αὐξάνειν, συναυξάνειν priori ista potestate dicantur. v. etiam Heindf. ad Plat. Theaet. §. 53.

2. ἐπεῖδον, de rebus quas ipse dum in vivis sum atque meo usu experior. Xen. Anab. III, 1, 13 Krüg. comp. Thom. M. s. v. ἐπεῖδεν. — ἔπρ. οὕτως, *fortuna sic usus s. perfunctus sum*, ut dicunt μεγάλα, ἄριστα πράττειν et id genus alia. — εὐχόμην, alii ηὐχόμην, neque desunt in hoc verbo additi Augmenti exempla, tamen noster scripter in plerisque libris eo videtur abstinuisse.

3. ἔδοσαν, sequente Infinitivo B. §. 140, 2. M. §. 535. not. 1. — πῶς οὐκ. infra §. 9. v. ad Lucian. III, 2. comp. ad Xen. II, 19.

4. σαφηνίσαντα, quae proclivia sunt ex vicinis verbis intellectu omittuntur. dicturus est: *oportet me facta declaratione* (quem mihi succedere velim) *decedere ex regno*. cf. Xen. Anab. IV, 4, 12. ἔσχιζεν καὶ ἄλλος ἐκείνον ἀφελόμενος, intellige τὴν ἀξίνην ex v. σχίζειν eximendam. — κ. τὸ εἰκός, *ut verisimile est*.

5. ὑπείκειν. supra Xen. V, 20. — προτετιμῆσθαι, c. Gen. ut reliqua

σθαι· ὡς οὖν παλαιὰ καὶ εἰθισμένα καὶ ἔννομα λέγοντος ἐμοῦ
οὕτως ἀποδέχεσθε. καὶ σὺ μέν, ὦ Καμβύση, τὴν βασιλείαν ἔχε θεῶν 6
τε διδόντων καὶ ἐμοῦ, ὅσον ἐν ἐμοί· σοὶ δέ, ὦ Ταναοξάρη, σατράπην εἶναι δίδωμι Μήδων τε καὶ Ἀρμενίων καὶ τρίτων Καδουσίων· ταῦτα δέ σοι διδοὺς νομίζω ἀρχὴν μὲν μείζω καὶ τοὔνομα τῆς βασιλείας τῷ πρεσβυτέρῳ καταλιπεῖν, εὐδαιμονίαν δὲ σοὶ ἀλυποτέραν. ὁποίας μὲν γὰρ ἀνθρωπίνης εὐφροσύνης ἐπιδεὴς ἔσῃ οὐχ ὁρῶ· ἀλλὰ 7
πάντα σοι τὰ δοκοῦντα ἀνθρώπους εὐφραίνειν παρέσται. τὸ δὲ δυσκαταπρακτοτέρων τε ἐρᾶν, καὶ τὸ πολλὰ μεριμνᾶν, καὶ τὸ μὴ δύνασθαι ἡσυχίαν ἔχειν, κεντριζόμενον ὑπὸ τῆς πρὸς τἀμὰ ἔργα φιλονεικίας, καὶ τὸ ἐπιβουλεύειν καὶ τὸ ἐπιβουλεύεσθαι, ταῦτα τῷ βασιλεύοντι ἀνάγκη σοῦ μᾶλλον συμπαρομαρτεῖν· ἅ, σάφ' ἴσθι, τῷ εὐφραίνεσθαι πολλὰς ἀσχολίας παρέχει. οἶσθα μὲν οὖν καὶ σύ, ὦ Καμ- 8
βύση, ὅτι οὐ τόδε τὸ χρυσοῦν σκῆπτρον τὸ τὴν βασιλείαν διασῶζόν ἐστιν, ἀλλ' οἱ πιστοὶ φίλοι σκῆπτρον βασιλεῦσιν ἀληθέστατον καὶ ἀσφαλέστατον. πιστοὺς δὲ μὴ νόμιζε φύσει φύεσθαι ἀνθρώπους· πᾶσι γὰρ ἂν οἱ αὐτοὶ πιστοὶ φαίνοιντο, ὥσπερ καὶ τἄλλα τὰ πεφυκότα πᾶσι τὰ αὐτὰ φαίνεται· ἀλλὰ τοὺς πιστοὺς τίθεσθαι δεῖ ἕκαστον ἑαυτῷ· ἡ δὲ κτῆσις αὐτῶν ἐστιν οὐδαμῶς σὺν τῇ βίᾳ, ἀλλὰ
μᾶλλον σὺν τῇ εὐεργεσίᾳ· εἰ οὖν καὶ ἄλλους τινὰς πειράσῃ συμφύ- 9
λακας τῆς βασιλείας ποιεῖσθαι, μηδαμόθεν πρότερον ἄρχου, ἢ ἀπὸ τοῦ ὁμόθεν γενομένου. καὶ πολῖταί τοι ἄνθρωποι ἀλλοδαπῶν οἰκειότεροι καὶ σύσσιτοι ἀποσκήνων· οἱ δὲ ἀπὸ τοῦ αὐτοῦ σπέρματος φύντες καὶ ὑπὸ τῆς αὐτῆς μητρὸς τραφέντες καὶ ἐν τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγαπώμενοι καὶ τὴν αὐτὴν μητέρα καὶ τὸν αὐτὸν πατέρα προσαγορεύοντες, πῶς οὐ πάντων οὗτοι οἰκειότατοι; μὴ οὖν ἃ οἱ θεοὶ ὑφήγηνται ἀγαθὰ εἰς οἰκειότητα ἀδελ- 10
φοῖς μάταιά ποτε ποιήσητε, ἀλλ' ἐπὶ ταῦτα εὐθὺς οἰκοδομεῖτε ἄλλα φιλικὰ ἔργα· καὶ οὕτως ἀεὶ ἀνυπέρβλητος ἄλλοις ἔσται ἡ ὑμετέρα φι-

verba, quae quem potiorem aliquo exhibent, etsi abundantius in Xen. Anab. I, 4, 14. τῶν ἄλλων πλέον προτιμήσεσθε. — ὡς . . λέγοντος ἐμοῦ. vid. ad Aelian. IV. ad Lucian. dial. mort. I, 4.

6. σοὶ δέ . . σατράπην ctt. v. supra ad Diod. III, 2 extr.

7. πάντα σοι τὰ δ. i. e. ὅ τι σοι δοκεῖ, *quidquid statuis apud animum tuum penes te erit facultas hominum oblectandorum.* — ἐρᾶν. B. §. 132, 5, 3. not. Bernh. Synt. p. 175. hinc ἐρᾶν amatoris est, φιλεῖν amici. — σοῦ μᾶλλον, i. e. μᾶλλον ἢ σοί. B. §. 132. not. 5. M. §. 454. infra Xen. VII, 2. comp. usum Romanorum et severiorem et minus ambiguum. — συμπαρομαρτεῖν. cf. ad Aelian. XXXII, 8.

8. φύσει φύεσθαι, prius vocabulum olim suspicionem movit. dicit *fideles non sola natura succrescere, — sed sua sibi quemque virtute fideles reddere.* egregie igitur intenditur significatio verbi tali iteratione, ut videre licet etiam Cyrop. V, 1, 24. βασιλεὺς ἔμοιγε δοκεῖς σὺ φύσει πεφυκέναι οὐδὲν ἧττον ἢ ὁ ἐν τῷ σμήνει φυόμενος τῶν μελιττῶν ἡγεμών. sic οἱ φύσει πεφυκότες, ipso naturae vinculo iuncti, *familiares.* huc pertinent illa apud Plat. φεύγειν φυγῇ, παιδιᾷ πεπαῖσθαι. Phaedr. p. 265. c. Symp. p. 195. b. Wess. ad Herod. VI. c. 30.

9. ὁμόθεν, i. q. ἐκ τοῦ αὐτοῦ γένους. Soph. El. 153. οἷς (βροτοῖς) ὁμόθεν εἶ καὶ γονᾶ ξύναιμος. Interpp. ad Hesiod. opp. et d. 108.

10. μὴ οὖν ἃ οἱ θεοὶ ctt. sensus hic est: *ne igitur unquam quae dii commonstrant bona ac iusta fratribus ad iungendam necessitatem irrita habeatis.* ὑφηγεῖσθαι, Thom. M. ὑποδεικνύναι, διδάσκειν, παραινεῖν. — οἰκοδομεῖτε, *firmiter collocate et adstruite.* cuius quidem metaphorae prae-

λία. ἑαυτοῦ τοι κήδεται ὁ προνοῶν ἀδελφοῦ· τίνι γὰρ ἄλλῳ ἀδελφὸς μέγας ὢν οὕτω καλὸν ὡς ἀδελφῷ; τίς δ' ἄλλος τιμήσεται δι' ἄνδρα μέγα δυνάμενον οὕτως ὡς ἀδελφός; τίνα δὲ φοβήσεταί τις ἀδικεῖν
11 ἀδελφοῦ μεγάλου ὄντος οὕτως ὡς τὸν ἀδελφόν; μήτε οὖν θᾶττον μηδεὶς σοῦ τούτῳ ὑπακουέτω, μήτε προθυμότερον παρέστω· οὐδενὶ γὰρ οἰκειότερα τὰ τούτου οὔτε ἀγαθὰ οὔτε δεινὰ ἢ σοί. ἐννόει δὲ καὶ τάδε, τίνι χαρισάμενος ἐλπίσαις ἂν μειζόνων τυχεῖν ἢ τούτῳ; τίνι δ' ἂν βοηθήσας ἰσχυρότερον σύμμαχον ἀντιλάβοις; τίνα δ' αἴσχιον μὴ φιλεῖν ἢ τὸν ἀδελφόν; τίνα δὲ ἁπάντων κάλλιον προτιμᾶν ἢ τὸν ἀδελφόν; μόνου τοι, ὦ Καμβύση, πρωτεύοντος ἀδελφοῦ παρ' ἀδελφῷ
12 οὐδὲ φθόνος παρὰ τῶν ἄλλων ἐφικνεῖται. ἀλλὰ πρὸς θεῶν πατρῴων, ὦ παῖδες, τιμᾶτε ἀλλήλους, εἴ τι καὶ τοῦ ἐμοὶ χαρίζεσθαι μέλει ὑμῖν· οὐ γὰρ δήπου τοῦτό γε σαφῶς δοκεῖτε εἰδέναι, ὡς οὐδὲν εἰμὶ ἐγὼ ἔτι, ἐπειδὰν τοῦ ἀνθρωπίνου βίου τελευτήσω· οὐδὲ γὰρ νῦν τοι τήν γ' ἐμὴν ψυχὴν ἑωρᾶτε, ἀλλ' οἷς διεπράττετο, τούτοις αὐτὴν ὡς οὖ-
13 σαν κατεφωρᾶτε. τὰς δὲ τῶν ἄδικα παθόντων ψυχὰς οὔπω κατενοήσατε, οἵους μὲν φόβους τοῖς μιαιφόνοις ἐμβάλλουσιν; οἵους δὲ παλαμναίους τοῖς ἀνοσίοις ἐπιπέμπουσι; τοῖς δὲ φθιμένοις τὰς τιμὰς διαμένειν ἔτι ἂν δοκεῖτε, εἰ μηδενὸς αὐτῶν αἱ ψυχαὶ κύριαι ἦσαν;
14 οὗτοι ἔγωγε, ὦ παῖδες, οὐδὲ τοῦτο πώποτε ἐπείσθην ὡς ἡ ψυχή, ἕως μὲν ἂν ἐν θνητῷ σώματι ᾖ, ζῇ· ὅταν δὲ τούτου ἀπαλλαγῇ, τέθνηκεν. ὁρῶ γάρ, ὅτι καὶ τὰ θνητὰ σώματα ὅσον ἂν ἐν αὐτοῖς χρό-
15 νον ᾖ ἡ ψυχὴ ζῶντα παρέχεται. οὐδέ γε ὅπως ἄφρων ἔσται ἡ ψυχή, ἐπειδὰν τοῦ ἄφρονος σώματος δίχα γένηται, οὐδὲ τοῦτο πέπεισμαι· ἀλλ' ὅταν ἄκρατος καὶ καθαρὸς ὁ νοῦς ἐκκριθῇ, τότε καὶ φρονιμώτατον εἰκὸς αὐτὸν εἶναι. διαλυομένου δὲ ἀνθρώπου δῆλά ἐστιν ἕκαστα ἀπιόντα πρὸς τὸ ὁμόφυλον πλὴν τῆς ψυχῆς· αὕτη δὲ μόνη οὔτε

---

sertim ut h. l. adhibitae (ἐπὶ ταῦτα, alii ἐπὶ τούτοις) certa exempla non succurrunt. — τιμήσεται. B. §. 113, 5. eiusdem Gram. mai. II. p. 53. 54. not.

11. ὑπακουέτω, c. Dat. ubi propriam suam parendi vel obsequendi significationem habet. cf. Bernh. Synt. p. 85. — ἀντιλάβοις, *vicissim accesperis*, si quidem tuas opes non denegaveris fratri. — ἁπάντων, iunge cum τίνα, licet hunc quoque verborum ordinem tenere posses: τίνα δὲ κάλλιον προτιμᾶν ἁπάντων ctt.

12. μέλει. v. ad Lucian. dial. mort. VI, 5. — οὐδὲν εἰμί, nostrates non secus, simillime etiam Romani: *nos plane aut nihil sumus, aut nobis quidem ipsis displicemus.* Cic. Epp. ad Div. 7, 33. — τελευτήσω, Genitivus huic verbo adpositus locum notabilem facit. Bernh. Synt. p. 180 adeo insolenter dictum censet, ut loquutionem minus emendatam arguat, quamvis altero loco Thucydidis (III, 59 med.) comprobatam. — ἀλλ' οἷς διεπράττετο ctt. Cic. Cat. mai. l. c. convertit: *sed eum* (animum) *esse in hoc corpore ex iis rebus, quas gerebam, intelligebatis.* de Attractione v. ad Xen. VII, 5.

13. παλαμναίους, h. l. alio sensu ac vulgo. qui Xenophonti simpliciter παλαμναῖοι, Timaeo Locro περὶ ψυχᾶς κόσμου p. 105. a. dicuntur δαίμονες παλαμναῖοι, *scelerum vindices*, Rachegeister. — φθιμένοις. Hesychio interprete θανόντες.

15. ὅπως . . ἔσται. B. §. 139, 4. — οὐδέ γε . . . οὐδέ, sic iteratum, priorem negationem intendit. *neque — ne hoc quidem* s. *neque — neque hoc inquam.* B. §. 149. p. 438. comp. tamen Xen. Anab. III, 1, 27. — ὅταν ἄκρατος ctt. Cicero l. c. *quum omni admistione corporis liberatus, purus et integer esse coepisset.* — διαλυομένου δ. ἀ. Cicero l. c. *quum hominis natura morte dissolvitur.*

παροῦσα οὔτε ἀπιοῦσα ὁρᾶται. ἐννοήσατε δέ, ἔφη, ὅτι ἐγγύτερον μὲν 16
τῷ ἀνθρωπίνῳ θανάτῳ οὐδέν ἐστιν ὕπνου· ἡ δὲ τοῦ ἀνθρώπου ψυχὴ
τότε δήπου θειοτάτη καταφαίνεται, καὶ τότε τι τῶν μελλόντων προο-
ρᾷ· τότε γάρ, ὡς ἔοικε, μάλιστα ἐλευθεροῦται. εἰ μὲν οὖν οὕτως
ἔχει ταῦτα, ὥσπερ ἐγὼ οἴομαι, καὶ ἡ ψυχὴ καταλείπει τὸ σῶμα, καὶ 17
τὴν ἐμὴν ψυχὴν καταιδούμενοι ποιεῖτε ἃ ἐγὼ δέομαι· εἰ δὲ μὴ οὕ-
τως, ἀλλὰ μένουσα ἐν τῷ σώματι ἡ ψυχὴ συναποθνήσκει, ἀλλὰ θεούς
γε τοὺς ἀεὶ ὄντας καὶ πάντ' ἐφορῶντας καὶ πάντα δυναμένους, οἳ καὶ
τήνδε τὴν τῶν ὅλων τάξιν συνέχουσιν ἀτριβῆ καὶ ἀγῆρατον καὶ ἀνα-
μάρτητον, καὶ ὑπὸ κάλλους καὶ μεγέθους ἀδιήγητον, τούτους φο-
βούμενοι μή ποτ' ἀσεβὲς μηδέν, μηδὲ ἀνόσιον μήτε ποιήσητε μήτε
βουλεύσητε. μετὰ μέντοι θεοὺς καὶ ἀνθρώπων τὸ πᾶν γένος τὸ ἀεὶ 18
ἐπιγιγνόμενον αἰδεῖσθε· οὐ γὰρ ἐν σκότῳ ὑμᾶς οἱ θεοὶ ἀποκρύπτον-
ται, ἀλλ' ἐμφανῆ πᾶσιν ἀνάγκη ἀεὶ ζῆν τὰ ὑμέτερα ἔργα· ἃ ἂν μὲν
καθαρὰ καὶ ἔξω τῶν ἀδίκων φαίνηται, δυνατοὺς ὑμᾶς ἐν πᾶσιν ἀν-
θρώποις ἀναδείξει· εἰ δὲ εἰς ἀλλήλους ἄδικόν τι φρονήσετε, ἐκ πάν-
των τῶν ἀνθρώπων τὸ ἀξιόπιστοι εἶναι ἀποβαλεῖτε· οὐδεὶς γὰρ ἂν
ἔτι πιστεῦσαι δύναιτο ὑμῖν, οὐδ' εἰ πάνυ προθυμοῖτο, ἰδὼν ἀδικού-
μενον τὸν μάλιστα φιλίᾳ προσήκοντα. εἰ μὲν οὖν ἐγὼ ὑμᾶς ἱκανῶς 19
διδάσκω, οἵους χρὴ πρὸς ἀλλήλους εἶναι· εἰ δὲ μή, καὶ παρὰ τῶν
προγεγενημένων μανθάνετε· αὕτη γὰρ ἀρίστη διδασκαλία. Οἱ μὲν
γὰρ πολλοὶ διαγεγένηνται φίλοι μὲν γονεῖς παισί, φίλοι δὲ ἀδελφοὶ
ἀδελφοῖς· ἤδη δέ τινες τούτων καὶ ἐναντία ἀλλήλους ἔπραξαν· ὁπο-
τέροις ἂν οὖν αἰσθάνησθε τὰ πραχθέντα συνενεγκόντα, ταῦτα δὴ αἱ-
ρούμενοι ὀρθῶς ἂν βουλεύοισθε. καὶ τούτων μὲν ἴσως ἤδη ἅλις. τὸ 20
δ' ἐμὸν σῶμα, ὦ παῖδες, ὅταν τελευτήσω, μήτε ἐν χρυσῷ θῆτε μήτε
ἐν ἀργύρῳ μηδὲ ἐν ἄλλῳ μηδενί, ἀλλὰ τῇ γῇ ὡς τάχιστα ἀπόδοτε. τί
γὰρ τούτου μακαριώτερον τοῦ γῇ μιχθῆναι, ἣ πάντα μὲν τὰ καλά,
πάντα δὲ τἀγαθὰ φύει τε καὶ τρέφει; ἐγὼ δὲ καὶ ἄλλως φιλάνθρω-

---

16. ἐγγύτερον . . . ὕπνου. ad rem comp. supra Aelian. IX. — τότε δήπου, Cicerone interprete, *quum remissi et liberi sunt animi.*

17. ἀλλὰ θεούς γε, haec in apodosi posita excipiunt priora εἰ δὲ μὴ — ἀλλὰ ctt. *sin minus, sed —, at certe quidem deos verebimini.* — τούτους φ. *hos inquam verentes*, nota epanalepsis pluribus interiectis. — μήποτ' . . μηδέν. B. §. 148, 6. M. §. 609.

18. τὸ ἀε[illegible] ἐπιγ. de posteritate nunquam exstinguenda, in secula propagata. — ἔξω τῶν ἀδ., quod alias dicitur ἐκτός c. Genit. *sine iniustitia.* cf. Lobeck ad Phryn. p. 128. — ἐκ πάντων τῶν ἀνθρ. haec egregie exaggerant vim sententiae: *ab omnibus hominibus depelletis, elevabitis fidem vestram.*

19. εἰ μὲν οὖν ἐγὼ ctt. Aposiopesis genus inde ab Homero tritissimum (Il. I, 135 sq.), ut oratio subito abrupta apodosi indigeat sic fere explenda: ἐξαρκεῖ μοι, καλῶς ἔχει. Xen. Anab. VII, 7, 15. εἰ μέν τι σὺ ἔχεις πρὸς ἡμᾶς λέγειν· εἰ δὲ μή, ἡμεῖς πρὸς σὲ ἔχομεν. comp. supra ad Xen. II, 5. — τούτων, pendet ex v. ἐναντία, ut centies apud Xenophontem. cf. M. §. 366. not. 2. — ἅλις, c. Gen. vid. M. §. 355. d. Bernh. Synt. p. 168.

20. τούτου μακαριώτερον, τοῦ γ. μ. observa τούτου Pronomen sequente altero Genitivo, quo non minus vulgatum τί τούτου μ. ἢ τὸ γ. μ. Dem. Phil. I. init. τί γὰρ ἂν γένοιτο τούτου καινότερον ἢ Μακεδὼν ἀνὴρ καταπολεμῶν τὴν Ἑλλάδα; cf. Heind. ad Plat. Gorg. §. 120. Zumpt ad Cic. Verr. IV, 35. §. 77. — καὶ ἄλλως . . καί, usitatius sane ἄλλως τε

πος ἐγενόμην, καὶ νῦν ἡδέως ἄν μοι δοκῶ κοινωνῆσαι τοῦ εὐεργε-
21τοῦντος ἀνθρώπους. ἀλλὰ γὰρ ἤδη, ἔφη, ἐκλιπεῖν μοι φαίνεται ἡ
ψυχή, ὅθενπερ, ὡς ἔοικε, πᾶσιν ἄρχεται ἀπολείπουσα. εἴ τις οὖν
ὑμῶν ἢ δεξιᾶς βούλεται τῆς ἐμῆς ἅψασθαι, ἢ ὄμμα τοὐμὸν ζῶντος
ἔτι προσιδεῖν ἐθέλει, προσίτω· ὅταν δ' ἐγὼ ἐγκαλύψωμαι, αἰτοῦμαι
ὑμᾶς, ὦ παῖδες, μηδεὶς ἔτ' ἀνθρώπων τοὐμὸν σῶμα ἰδέτω, μηδ'
22αὐτοὶ ὑμεῖς. Πέρσας μέντοι πάντας καὶ τοὺς συμμάχους ἐπὶ τὸ μνῆμα
τοὐμὸν παρακαλεῖτε, συνησθησομένους ἐμοί, ὅτι ἐν τῷ ἀσφαλεῖ ἤδη
ἔσομαι, ὡς μηδὲν ἂν ἔτι κακὸν παθεῖν, μήτε ἦν μετὰ τοῦ θείου γέ-
νωμαι, μήτε ἦν μηδὲν ἔτι ὦ· ὁπόσοι δ' ἂν ἔλθωσι, τούτους εὖ ποιή-
23σαντες ὁπόσα ἐπ' ἀνδρὶ εὐδαίμονι νομίζεται ἀποπέμπετε. καὶ τοῦτο,
ἔφη, μέμνησθέ μου τελευταῖον· τοὺς φίλους εὐεργετοῦντες καὶ τοὺς
ἐχθροὺς δυνήσεσθε κολάζειν. καὶ χαίρετε, ὦ φίλοι παῖδες, καὶ τῇ
μητρὶ ἀπαγγέλλετε ὡς παρ' ἐμοῦ· καὶ πάντες δὲ οἱ παρόντες καὶ οἱ
ἀπόντες φίλοι χαίρετε." Ταῦτ' εἰπὼν καὶ πάντας δεξιωσάμενος συν-
εκαλύψατο, καὶ οὕτως ἐτελεύτησεν.

VII.

1 Πρόδικος ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ τοῦ Ἡρακλέους,
ὅπερ δὴ καὶ πλείστοις ἐπιδείκνυται, περὶ τῆς ἀρετῆς ἀποφαίνεται ὧδέ
πως λέγων, ὅσα ἐγὼ μέμνημαι. φησὶ γὰρ Ἡρακλέα ἐπεὶ ἐκ παίδων
εἰς ἥβην ὡρμᾶτο, ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνόμενοι δηλοῦσιν, εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον εἴτε τὴν διὰ κακίας, ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι, ἀποροῦντα ὁποτέραν τῶν
2 ὁδῶν τράπηται· καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προσιέναι μεγάλας,

— καί, quum alias ob causas, tum praesertim. h. vero l. de tempore dictum ut Plat. Phaedon. p. 116. c. σὲ δ' ἐγὼ καὶ ἄλλως ἔγνωκα ἐν τούτῳ τῷ χρόνῳ γενναιότατον, — καὶ δὴ καὶ νῦν εὖ οἶδ' ὅτι οὐκ ἐμοὶ χαλεπαίνεις. cf. Plat. Lach. p. 181. a.

21. ὅθενπερ ctt. dicit manus, pedes, crura, unde frigere atque rigere solet moribundus. — ἐγκαλύψωμαι. mos fuit ut morientes veste cooperirentur. v. verba extr. §. 23. Plat. Phaedon. extr.

23. ἀπαγγ. ὡς παρ' ἐμοῦ. repete χαίρειν ex prioribus. ὡς autem peculiari quadam dicendi moderatione additur, quoniam Cyrus simul et vita et oratione finita iam vix poterat quidquam filiis deferre a se moriente, quin etiam mortuo mandatum.

VII. Ἀπομνημονευμάτων Σωκράτους βίβλοι δ'. Memorabilia eo consilio a Xenophonte annis ut putant 398—394 a. C. n. conscripta sunt, ut Socrates ab accusatorum criminationibus defenderetur et summae sibi quisque felicitatis exemplum expeteret a beatissimi hominis vita atque disciplina. ex his libris decerpemus fabulam Herculis in bivio (L. II. c. 2. §. 21—34.), quam Socrates e narratione Prodici Cei, sophistae illius aetatis celeberrimi, recitat Aristippum ad easdem, quas Hercules habebat, deliberationes de vitae ineundae ratione deque futura vita adhibiturus. Ed. G. A. Sauppe. Lips. 1834. 8.

1. συγγράμματι. Prodicus integro suo libro titulum scripserat Ὧραι, cuius partem fuisse coniiciunt quae hic legitur fabulam inscriptam Αἵρεσις Ἡρακλέους. — δηλοῦσιν, c. Part. ut solent Graeci. cf. Interpp. ad Herod. III, 73, 9. IV, 42, 3. Bernh. Synt. p. 478. — ἐξελθόντα ctt. Cic. Off. I, 32, 118 paene ad verbum reddidit: *Herculem Prodicium dicunt ... exisse in solitudinem atque ibi sedentem diu secum multumque dubitasse* ctt.

2. προσιέναι. sic optime Reiskius pro vulg. προϊέναι. cf. §. 3. —

τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν καὶ ἐλευθέριον φύσει, κεκοσμημένην τὸ μὲν σῶμα καθαρότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ· τὴν δὲ ἑτέραν τεθραμμένην μὲν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα, ὥστε λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι, τὸ δὲ σχῆμα ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι, τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δέ, ἐξ ἧς ἂν μάλιστα ὥρα διαλάμποι· κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτήν, ἐπισκοπεῖν δὲ καὶ εἴ τις ἄλλος αὐτὴν θεᾶται, πολλάκις δὲ καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀποβλέπειν. ὡς δ' ἐγένοντο 3
πλησιαίτερον τοῦ Ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον, τὴν δὲ ἑτέραν φθάσαι βουλομένην προσδραμεῖν τῷ Ἡρακλεῖ καὶ εἰπεῖν· Ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ. ἐὰν οὖν ἐμὲ φίλην ποιησάμενος, ἐπὶ τὴν ἡδίστην τε καὶ ῥᾴστην ὁδὸν ἄξω σε, καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσῃ, τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσῃ. πρῶτον μὲν γὰρ οὐ 4
πολέμων οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ σκοπούμενος διέσῃ, τί ἂν κεχαρισμένον ἢ σιτίον ἢ ποτὸν εὕροις, ἢ τί ἂν ἰδὼν ἢ τί ἀκούσας τερφθείης, ἢ τίνων ὀσφραινόμενος ἢ ἁπτόμενος ἡσθείης, τίσι δὲ παιδικοῖς ὁμιλῶν μάλιστ' ἂν εὐφρανθείης, καὶ πῶς ἂν μαλακώτατα καθεύδοις, καὶ πῶς ἂν ἀπονώτατα τούτων πάντων τυγχάνοις. ἐὰν δέ 5
ποτε γένηταί τις ὑποψία σπάνεως ἀφ' ὧν ἔσται ταῦτα, οὐ φόβος μή σε ἀγάγω ἐπὶ τὸ πονοῦντα καὶ ταλαιπωροῦντα τῷ σώματι καὶ τῇ ψυχῇ ταῦτα πορίζεσθαι· ἀλλ' οἷς ἂν οἱ ἄλλοι ἐργάζωνται, τούτοις σὺ χρήσῃ οὐδενὸς ἀπεχόμενος, ὅθεν ἂν δυνατὸν ᾖ τι κερδᾶναι. πανταχόθεν γὰρ ὠφελεῖσθαι τοῖς ἐμοὶ ξυνοῦσιν ἐξουσίαν ἔγωγε παρέχω. καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα· Ὦ γύναι, ἔφη, ὄνομα δέ σοι τί ἐστιν; 6
ἡ δέ· Οἱ μὲν ἐμοὶ φίλοι, ἔφη, καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ μισοῦντές με ὑποκοριζόμενοι ὀνομάζουσί με Κακίαν. καὶ ἐν τούτῳ ἡ 7

τοῦ ὄντος, i.e. ἢ τῷ ὄντι ἦν. supra Long. II, 1 extr. Xen. Anab. I, 9, 16. — δοκεῖν φαίνεσθαι. cf. Viger. p. 312 not. et quos locos Sauppe suppeditat, Plat. Phaedr. p. 261. d. Heind. Xen. Mem. III, 1, 4. similiter I, 4, 6. οὐ δοκεῖ σοι καὶ τόδε προνοίας ἔργον ἐοικέναι; — ὥρα, *flos aetatis, adulta aetas*, hinc i. q. εὐμορφία.

3. ὁδὸν ἐπὶ τὸν β., ut supra §. 1. Cicero l. c. convertit: *quam viam vivendi sis ingressurus.* — ἐὰν . . ποιησάμενος, tacite supplendum τράπῃ ὁδόν τινα. v. Herm. ad Vig. p. 776 sq., qui tantum abesse docet, ut ἐὰν cum Participio construi possit, ut particula verba respiciat omissa, sed ex superioribus repetenda. comp. supra ad Xen. VI, 19.

4. σκοπούμενος διέσῃ, *dispicere non desines, semper dispicies*, ut διατελεῖν, διαγίγνεσθαι, διάγειν, διαβιοῦν, alia c. Part. quum etiam simplex verbum εἶναι prorsus non insolenter occurrat eadem potestate, recte cavere videtur Sauppius, ne argutando, mutando huc illuc trahatur compositum plerisque omnibus Codd. probatum.

5. ἐὰν δέ ποτε ctt. sensus hic est: *si quando suspicio quaedam erit inopiae illarum rerum, ex quibus haec proficiscantur, non verendum* ctt. ταῦτα ea igitur sunt, quae §. 4. exhibentur. — οἷς . . . ἐργάζωνται, Attractio pronominis relativi satis frequens, ita ut scriptor quid postea dicturus sit animo prospiciat, ταύτοις σὺ χρήσῃ. supra Xen. VI, 12.

6. ὄνομα δέ. de positura δὲ particulae v. Herm. ad Vig. p. 846. add. Xen. Mem. II, 9, 2. εἰπέ μοι, ἔφη, ὦ Κρίτων κύνας δὲ τρέφεις; infra §. 10. ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις; — ὑποκοριζόμενοι, *invidioso nomine adpellantes.* vox poetis comicis accepta atque ironiae inserviens, quum proprie sit ὑποκοριζόμενος qui honesta turpibus vocabulis, turpia ho-

ἑτέρα γυνὴ προσελθοῦσα εἶπε· Καὶ ἐγὼ ἥκω πρὸς σέ, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε καὶ τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα, ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἐργάτην ἀγαθὸν γενέσθαι καὶ ἐμὲ ἔτι πολὺ ἐντιμοτέραν καὶ ἐπ' ἀγαθοῖς διαπρεπεστέραν φανῆναι. οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ' ᾗπερ οἱ θεοὶ διέθεσαν τὰ ὄντα
8 διηγήσομαι μετ' ἀληθείας. τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις, ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς, εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον, εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον, εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν, εἴτε γῆν βούλει σοι καρπούς ἀφθόνους φέρειν, τὴν γῆν θεραπευτέον, εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον, εἴτε διὰ πολέμου ὁρμᾷς αὔξεσθαι καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον καὶ ὅπως αὐταῖς δεῖ χρῆσθαι ἀσκητέον, εἰ δὲ καὶ τῷ σώματι βούλει δυνατὸς εἶναι τῇ γνώμῃ ὑπηρετεῖν, ἐθιστέον τὸ σῶμα καὶ γυμναστέον
9 σὺν πόνοις καὶ ἱδρῶτι. καὶ ἡ Κακία ὑπολαβοῦσα εἶπεν, ὥς φησι Πρόδικος· Ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν καὶ βρα-
10 χεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε. καὶ ἡ Ἀρετὴ εἶπεν· Ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις; ἢ τί ἡδὺ οἶσθα μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα; ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἐναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι πάντων ἐμπίπλασαι, πρὶν μὲν πεινῆν ἐσθίουσα, πρὶν δὲ διψῆν πίνουσα, ἵνα μὲν ἡδέως φάγῃς ὀψοποιοὺς μηχανωμένη, ἵνα δὲ ἡδέως πίῃς, οἴνους τε πολυτελεῖς παρασκευάζῃ καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς, ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον τὰς στρωμνὰς μαλακάς, ἀλλὰ καὶ τὰς κλίνας καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζεις. οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν ὅτι ποιῇς ὕπνου ἐπιθυμεῖς. τὰ δὲ ἀφροδίσια πρὸ τοῦ δέεσθαι ἀναγκάζεις πάντα μηχανωμένη καὶ γυναιξὶ καὶ ἀνδράσι χρωμέ-

---

nestis insigniat. — *Κακίαν*, *vitiositatem* Cic. Tusc. IV, 15, 34. *nam malitia*, ut idem ait, *certi cuiusdam vitii nomen est*; *vitiositas omnium*.

8. *τῶν γ. ὄντων*, *quae revera sunt*, quibus quae videantur esse (δοκοῦντα εἶναι) opponuntur. hinc τὸ ὄν philosophis fere id quod τὸ ἀληθές. — *θεραπευτέον*, Adi. verbalia generis neutrius solent structeram verbi sui servare. v. B. §. 134, 10. sic mox εὐεργετεῖν, ὠφελεῖν, ἐπιμελεῖσθαι ett.

10. *τούτων ἕνεκα*, h. e. ἃ ἡδέα καὶ ἀγαθά σοι εἶναι δοκεῖ pertinet enim ad utrumque. — *μηχανωμένη*, eodem fere modo dicitur, ut Ages: c. II, 5. Ἀγησίλαος ἐνενικήκει σὺν ᾧ αὐτὸς ἐμηχανήσατο ἱππικῷ. ubi alias legere meministis παρασκευάζειν, συλλέγειν, tamen sedulam quandam curam atque animi contentionem, qua quid comparetur, priori illi subesse etymon vocis docebit. — *χιόνα*, etiam nix vel potius aqua nivalis aestivo tempore recondita in scrobibus subterraneis luxuriosius viventium fuit, ut multis demonstrat Athenaeus, nostri loci non immemor. l. III. p. 123. f. p. 124. — *μαλακάς*, iunge cum verbo παρασκευάζεις, ut sit praedicati instar, nec solum στρωμνάς, sed etiam κλίνας et ὑπόβαθρα explicet definiendo. — *δέεσθαι*, formam solutam cum optimis libris retinui. cf. Buttm. verba anom. s. v. δέω. Ed. mai. supra ad Plut. V, 5 extr. — *ἀναγκάζεις*, *cogendo* vel

νη· οὕτω γὰρ παιδεύεις τοὺς ἑαυτῆς φίλους τῆς μὲν νυκτὸς ὑβρίζουσα, τῆς δὲ ημέρας τὸ χρησιμώτατον κατακοιμίζουσα. ἀθάνατος δὲ 11
οὖσα ἐκ θεῶν μὲν ἀπέῤῥιψαι, ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζῃ· τοῦ δὲ πάντων ἡδίστου ἀκούσματος, ἐπαίνου ἑαυτῆς, ἀνήκοος εἶ καὶ τοῦ πάντων ἡδίστου θεάματος ἀθέατος· οὐδὲν γὰρ πώποτε σεαυτῆς ἔργον καλὸν τεθέασαι. τίς δ' ἄν σοι λεγούσῃ τι πιστεύσειε; τίς δ' ἄν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ τίς ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσου τολμήσειεν εἶναι; οἱ νέοι μὲν ὄντες τοῖς σώμασιν ἀδύνατοί εἰσι, πρεσβύτεροι δὲ γενόμενοι ταῖς ψυχαῖς ἀνόητοι, ἀπόνως μὲν λιπαροὶ διὰ νεότητος φερόμενοι, ἐπιπόνως δὲ αὐχμηροὶ διὰ γήρως περῶντες, τοῖς μὲν πεπραγμένοις αἰσχυνόμενοι, τοῖς δὲ πραττομένοις βαρυνόμενοι, τὰ μὲν ἡδέα ἐν τῇ νεότητι διαδραμόντες, τὰ δὲ χαλεπὰ εἰς τὸ γῆρας ἀποθέμενοι. ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς 12
ἀγαθοῖς· ἔργον δὲ καλὸν οὔτε θεῖον οὔτε ἀνθρώπινον χωρὶς ἐμοῦ γίγνεται. τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις οἷς προσήκει, ἀγαπητὴ μὲν συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις, εὐμενὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός. ἔστι δὲ τοῖς μὲν ἐμοῖς φίλοις ἡδεῖα 13
μὲν καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπόλαυσις· ἀνέχονται γὰρ ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν. ὕπνος δὲ αὐτοῖς πάρεστιν ἡδίων ἢ τοῖς ἀμόχθοις καὶ οὔτε ἀπολείποντες αὐτὸν ἄχθονται οὔτε διὰ τοῦτον μεθιᾶσι τὰ δέοντα πράττειν. καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται, καὶ ἡδέως μὲν τῶν παλαιῶν πράξεων μέμνηνται, εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες διὰ ἐμὲ φίλοι μὲν θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. ὅταν δ' ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι

---

urguendo acceleras res venereas. non violenter, ni fallor, huc trahes Plat. Symp. p. 202. b. *μὴ τοίνυν ἀνάγκαζε ὃ μὴ καλόν ἐστιν αἰσχρὸν εἶναι.* cf. tamen Heind. ad Gorg. §. 61. Theaet. §. 27. sed sunt in Latinis quoque exempla simplicis verbi *cogere* eadem illa significatione adhibiti. Cic. Legg. II, 6, 14. *Plato hoc quoque legis putavit esse, persuadere aliquid, non omnia vi ac minis cogere.* — ἑαυτῆς. recentiores Editt. σεαυτῆς. cf. B. §. 127, 3. not. 5.

11. οἱ . . *ἀδύνατοί εἰσι.* repete ex θιάσου nomine collectivo θιασῶται. cf. ad Xen. I, 11. quod superest θίασος explicat Harpocration s. v. τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τελετῇ καὶ τιμῇ θεῶν. Ξενοφῶν ἐν β' Ἀπομνημονευμάτων. — αἰσχυνόμενοι, βαρυνόμενοι, c. Dat. cf. M. §. 399. c.

12. σύνειμι μὲν . . σ. δέ. sat frequens hoc genus Anaphorae in Atticis, ubi particulae non dirimunt, sed unam eandemque sententiam exornant, exaggerant. v. B. §. 149. p. 437. Krüg. ad Xen. Anab. I, 3, 16. — τοῖς ἀγ. hominibus *iisque bonis utor.* — οἷς προσήκει, Attractio si qua alia notissima. dicit enim παρ' οἷς προσήκει ἐμὲ τιμᾶσθαι. — φιλίας κοινωνός, *haec ipsa virtus*, ut cum Cicerone interpreter, *amicitiam et gignit et continet, nec sine virtute amicitia esse ullo pacto potest.*

13. τοῖς μὲν ἐμοῖς φ. ἡδεῖα μὲν ctt. constat Graecos cupidius geminasse hanc particulam in una periodo. atque prior etsi nihil habere videatur antitheti, facile sibi comparat ex iis, quae quasi opposita per totum permeant. exempla conflavit Dorv. ad Char. p. 543. — εὖ, iunge cum πράττοντες, quod utrumque adsciscit τὰς παρούσας (πράξεις). — ἄ. κεῖνται, *ignominiosi, infamia notati iacent.*

θάλλουσι. τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις, ἔξεστι δια-
14πονησαμένῳ τὴν μακαριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι. Οὕτω πως διώκει Πρόδικος τὴν ὑπ' Ἀρετῆς Ἡρακλέους παίδευσιν· ἐκόσμησε μέντοι τὰς γνώμας ἔτι μεγαλειοτέροις ῥήμασιν ἢ ἐγὼ νῦν. σοὶ δ' οὖν ἄξιον τούτων ἐνθυμουμένῳ πειρᾶσθαί τι καὶ τῶν εἰς τὸν μέλλοντα χρόνον τοῦ βίου φροντίζειν.

---

14. ὑπ' Ἀρετῆς παίδευσιν. sic ap. Plat. ἡ ὑπὸ τῶν πολλῶν δυναστεία. alia v. ap. Bernh. Synt. p. 268. — σοὶ δ' — Aristippum philosophum adloquitur.

ΑΡΡΙΑΝΟΥ ΝΙΚΟΜΗΔΕΩΣ.

I.

1. Δαρεῖος ὑπερβαλὼν τὸ ὄρος τὸ κατὰ τὰς πύλας τὰς Ἀμανικὰς καλουμένας ὡς ἐπὶ Ἰσσὸν προῆγε, καὶ ἐγένετο κατόπιν Ἀλεξάνδρου λαθών. τὴν δὲ Ἰσσὸν κατασχὼν ὅσους διὰ νόσον ὑπολελειμμένους αὐτοῦ τῶν Μακεδόνων κατέλαβε, τούτους χαλεπῶς αἰκισάμενος ἀπέκτεινεν· ἐς δὲ ὑστεραίαν προύχωρει ἐπὶ τὸν ποταμὸν τὸν Πίναρον. καὶ Ἀλέξανδρος ὡς ἤκουσεν ἐν τῷ ὄπισθεν αὐτοῦ ὄντα τὸν Δαρεῖον, ἐπεὶ οὐ πιστὸς αὐτῷ ὁ λόγος ἐφαίνετο, ἀναβιβάσας εἰς τριακόντορον τῶν ἑταίρων τινὰς ἀποπέμπει ὀπίσω ἐπὶ Ἰσσὸν κατασκεψομένους, εἰ τὰ ὄντα ἐξαγγέλλεται. οἱ δὲ ἀναπλεύσαντες τῇ τριακοντόρῳ, ὅτι κολπώδης ἦν ἡ ταύτῃ θάλασσα, μᾶλλόν τι εὐπετῶς κατέμαθον αὐτοῦ στρα-

---

Flavivs Arrianvs Nicomedensis, philosophus Epicteteus, sub Hadriano, Pio et Marco Antoninis Imperatoribus Romae vixit. civitate donatus Cappadociae praefuit provinciae (a. 134. p. C.), et pluribus deinceps stipendiis confectis magistratus in ipsa urbe haud inferioris iuris gessisse fertur. ex huius *νέου*, ut vocatur, *Ξενοφῶντος* expeditione Alexandri Magni (*Ἀναβάσεως Ἀλεξάνδρου βιβλία ἑπτά.*) primaria quaedam, quibus ingenium regis praecellit, facta dictaque emittemus, ut talis tanta maiestas animi humani tanquam summus cumulus accedat ceteris quos nostis antiquitatis heroibus. huius autem virtutis memoriam qui comprehenderit, praeter Arrianum fidelem istum sectatorem optimorum testium, Ptolemaei et Aristobuli contubernalium comitumque Alexandri, neminem esse video neque copiosiorem interpretem neque sinceriorem. — Edd. Jac. Gronovius. Lugd. Bat. 1704. fol. C. G. Krüger. Berol. 1835. 8.

I. (L. II. c. 7—12.) Cilicia omni subacta Alexander haud procul Isso oppido Persarum equites peditesque cruentissimo proelio superat anno 333 a. C. n. comp. Curtii de rebb. gestis Alex. l. III. c. 7 sq.

c. 1. 1. *ὡς ἐπὶ Ἰ. ὡς* particula Praepositionibus *ἐπί, πρός, εἰς* adiecta, qua vel studium vel consilium alicuius rei adpetendae temperatius paullo indicetur, vix cuiquam quam Arriano tritior. etiam has schedas scatere exemplis videbis. cf. ad Achill. Tat. extr. ad Xen. II, 16. Plut. I, 1 extr. — *προῆγε.* v. ad Athen. I, 5. — *ἐγένετο . . λαθών, ex necopinato a tergo regis fuit.* — *ἐς ὑστεραίαν*, extremum aliquod tempus indicitur, quo confecto res acta arguitur. nos: bis Ende des folgenden Tages, vel si mavis: während des f. T.

2. *κατασκεψομένους*, *speculaturos.* — *τὰ ὄντα.* v. ad Xen. VII, 8. ibid. 2. — *μᾶλλόν τι εὐπ.* nihil subaudiendum videtur, sed *μᾶλλόν τι* pro

τοπεδεύοντας τοὺς Πέρσας· καὶ ἀπαγγέλλουσιν Ἀλεξάνδρῳ ἐν χερσὶν
3 εἶναι Δαρεῖον. ὁ δὲ συγκαλέσας στρατηγούς τε καὶ ἰλάρχας καὶ τῶν
ξυμμάχων τοὺς ἡγεμόνας παρεκάλει θαῤῥεῖν μὲν ἐκ τῶν ἤδη σφίσι
καλῶς κεκινδυνευμένων, καὶ ὅτι πρὸς νενικημένους ὁ ἀγὼν νενικη-
κόσιν αὐτοῖς ἔσται, καὶ ὅτι ὁ θεὸς ὑπὲρ σφῶν στρατηγεῖ ἄμεινον,
ἐπὶ νοῦν Δαρείῳ ἀγαγὼν καθεῖρξαι τὴν δύναμιν ἐκ τῆς εὐρυχωρίας
ἐς τὰ στενόπορα, ἵνα σφίσι μὲν ξύμμετρον τὸ χωρίον ἀναπτύξαι τὴν
φάλαγγα, τοῖς δὲ ἄχρεῖον τὸ πλῆθος ὅτι ἔσται τῇ μάχῃ οὔτε τὰ σώ-
4 ματα οὔτε τὰς γνώμας παραπλησίοις. Μακεδόνας τε καὶ Πέρσαις καὶ
Μήδοις ἐκ πάνυ πολλοῦ τρυφῶσιν αὐτοὺς ἐν τοῖς πόνοις τοῖς πολε-
μικοῖς πάλαι ἤδη μετὰ κινδύνων ἀσκουμένους, ἄλλως τε καὶ δούλοις
ἀνθρώποις ἐλευθέρους ἐς χεῖρας ἥξειν. ὅσοι τε Ἕλληνες Ἕλλησιν,
οὐχ ὑπὲρ τῶν αὐτῶν μαχεῖσθαι, ἀλλὰ τοὺς μὲν ξὺν Δαρείῳ ἐπὶ μι-
σθῷ καὶ οὐδὲ τούτῳ πολλῷ κινδυνεύοντας, τοὺς δὲ ξὺν σφίσιν ὑπὲρ
5 τῆς Ἑλλάδος ἐκόντας ἀμυνομένους· βαρβάρων τε αὖ Θρᾷκας καὶ
Παίονας καὶ Ἰλλυριοὺς καὶ Ἀγριᾶνας τοὺς εὐρωστοτάτους τε τῶν
κατὰ τὴν Εὐρώπην καὶ μαχιμωτάτους πρὸς τὰ ἀπονωτατά τε καὶ
μαλακώτατα τῆς Ἀσίας γένη ἀντιτάξασθαι· ἐπὶ δὲ Ἀλέξανδρον ἀντι-
6 στρατηγεῖν Δαρείῳ. ταῦτα μὲν οὖν ἐς πλεονεξίαν τοῦ ἀγῶνος ἐπεξῄει.
τὰ δὲ ἆθλα ὅτι μεγάλα ἔσται σφίσι τοῦ κινδύνου ἐπεδείκνυεν. οὐ γὰρ
τοὺς σατράπας τοὺς Δαρείου ἐν τῷ τότε κρατήσειν, οὐδὲ τὴν ἵππον
τὴν ἐπὶ Γρανικῷ ταχθεῖσαν οὐδὲ τοὺς δισμυρίους ξένους τοὺς μισθο-
φόρους, ἀλλὰ Περσῶν τε ὅτιπερ ὄφελος καὶ Μήδων καὶ ὅσα ἄλλα
ἔθνη Πέρσαις καὶ Μήδοις ὑπήκοα ἐποικεῖ τὴν Ἀσίαν καὶ αὐτὸν μέ-

---

simplici σφόδρα accipiendum, quamquam nihil deterius: navi trigiata remorum adhibita *aliquanto quidem facilius*, quam lintre vel navicula aliqua, *cognoverunt Persas castra ibi ponere.*

3. ἐκ . . κεκινδυνευμένων; *ex iis bene sperare, quae iam prospere sibi evenissent.*

4. ἐκ πάνυ πολλοῦ τρ. iam Herodotus auctor est Persas nullam non admisisse luxuriem (I, c. 135.) iidemque Aeschylo vocantur ἁβροδίαιτοι καὶ πολύχρυσοι. — ἐς χεῖρας ἥξειν, h. l. ut alias εἰς χ. ἐλθεῖν, εἰς χ. συμμιγνύναι, *manus conserere.* cf. ad Xen. II, 12. nam altera illa significatio *in manus venire* alienior ab hoc loco. ceterum quae mox sequuntur ὅσοι τε Ἕλλ. expleas repetendo ἐς χ. ἥξουσιν.

5. ἀντιτάξασθαι. Krüger ex ingenio dedit ἀντιτάξεσθαι. mihi prius videtur praestare, ut initium significetur actionis, quam quisque sentit suscipiendam esse, ne dicam susceptam. haec Aoristi vis (v. supra ad Pausan. IX, 1 extr.) haud leviter firmatur sequenti tempore ἀντιστρατηγεῖν. cf. Thuc. VI, 24. Νικίας νομίζων τοὺς Ἀθηναίους . . ἢ ἀποτρέψειν, ἢ εἰ ἀναγκάζοιτο στρατεύεσθαι, μάλιστα οὕτως ἀσφαλῶς ἐκπλεῦσαι. — ἐπὶ δὲ Ἀ. h. l. adverbialiter. usus loquendi Ionicis carior non inusitatus Arriano. Arrian. I, 14, 3 quinquies legitur, primo loco positis quae interpretamenti vice fungi possunt, ἐπὶ δὲ τούτοις. v. etiam Bernh. Synt. p. 198.

6. κρατήσειν, quarto casu huic voci iuncto nihil frequentius praesertim significatu proprio *superare, vincere*, überwältigen. Xen. Mem. I, 3, 1. πῶς ἂν οἰηθείημεν . . τοὺς πολεμίους κρατῆσαι; Plat. Symp. p. 220. a. Σωκράτης πάντας ἐκράτει. similiter περιγίγνεσθαι Herod. IX, 2. cf. supra Achill. Tat. extr. — τὴν ἵππον. v. ad Diod. III, 3. med. — ὅτιπερ ὄφελος, *quodcunque in suo genere excellit atque summum est.* Hemsterh. ad Lucian. Tim. c. 55. comparat Thuc. IV, 133. ἐν τῇ μάχῃ ὅ τι ἦν αὐτῶν

γαν βασιλέα παρόντα, καὶ ὡς οὐδὲν ὑπολειφθήσεταί σφισιν ἐπὶ τῷδε τῷ ἀγῶνι ὅτι μὴ κρατεῖν τῆς Ἀσίας ξυμπάσης καὶ πέρας τοῖς πολλοῖς πόνοις ἐπιθεῖναι. ἐπὶ τούτοις δὲ τῶν τε εἰς τὸ κοινὸν ξὺν λαμπρό- 7
τητι ἤδη πεπραγμένων ὑπεμίμνησκε, καὶ εἰ δή τῳ ἰδίᾳ τι διαπρεπὲς ἐς κάλλος τετολμημένον, ὀνομαστὶ ἕκαστον ἐπὶ τῷ ἔργῳ ἀνακαλῶν. καὶ τὸ αὐτοῦ οὐκ ἀκίνδυνον ἐν ταῖς μάχαις ὡς ἀνεπαχθέστατα ἐπεξῄει. λέγεται δὲ καὶ Ξενοφῶντος καὶ τῶν ἅμα Ξενοφῶντι μυρίων ἐς 8
μνήμην ἐλθεῖν, ὡς οὐδέν τι οὔτε κατὰ πλῆθος οὔτε κατὰ τὴν ἄλλην ἀξίωσιν σφίσιν ἐπεοικότες· οὐδὲ ἱππέων αὐτοῖς παρόντων Θεσσαλῶν οὐδὲ Βοιωτῶν ἢ Πελοποννησίων, οὐδὲ Μακεδόνων ἢ Θρᾳκῶν, οὐδ' ὅση ἄλλη σφίσιν ἵππος ξυντέτακται, οὐδὲ τοξοτῶν ἢ σφενδονητῶν, ὅτι μὴ Κρητῶν ἢ Ῥοδίων ὀλίγων, καὶ τούτων ἐν τῷ κινδύνῳ ὑπὸ Ξενοφῶντος αὐτοσχεδιασθέντων, οἱ δὲ βασιλέα τε ξὺν πάσῃ τῇ δυνάμει πρὸς Βαβυλῶνι αὐτῇ ἐτρέψαντο, καὶ ἔθνη ὅσα ἄλλα κατιόντων εἰς τὸν Εὔξεινον πόντον καθ' ὁδόν σφισιν ἐπεγένετο, νικῶντες ἐπῆλθον· ὅσα τε ἄλλα ἐν τῷ τοιῷδε πρὸ τῶν κινδύνων ἐς παράκλησιν ἀνδράσιν ἀγαθοῖς ἐξ ἀγαθοῦ ἡγεμόνος παραινεῖσθαι εἰκός. οἱ δὲ ἄλλος ἄλλοθεν δεξιούμενοί τε τὸν βασιλέα καὶ τῷ λόγῳ ἐπαίροντες ἄγειν ἤδη ἐκέλευον.

2. Ὁ δὲ τότε μὲν δειπνοποιεῖσθαι παραγγέλλει, προπέμπει δὲ 1
τῶν ἱππέων ὀλίγους καὶ τῶν τοξοτῶν προκατασκεψομένους τὴν ὁδὸν τὴν ὀπίσω ὡς ἐπὶ τὰς πύλας καὶ αὐτὸς τῆς νυκτὸς ἀναλαβὼν τὴν στρατιὰν πᾶσαν ἤει ὡς κατασχεῖν αὖθις τὰς πύλας. ὡς δὲ ἀμφὶ μέσας 2
νύκτας ἐκράτησεν αὖθις τῶν παρόδων, ἀνέπαυε τὴν στρατιὰν τὸ λοιπὸν τῆς νυκτὸς αὐτοῦ ἐπὶ τῶν πετρῶν προφυλακὰς ἀκριβεῖς καταστησάμενος· ὑπὸ δὲ τὴν ἕω κατῄει ἀπὸ τῶν πυλῶν κατὰ τὴν ὁδόν· καὶ ἕως μὲν πάντη στενόπορα ἦν τὰ χωρία, ἐπὶ κέρως ἦγεν· ὡς δὲ διεχώρει ἐς πλάτος, ἀνέπτυσσεν ἀεὶ τὸ κέρας ἐς φάλαγγα, ἄλλην καὶ ἄλλην τῶν ὁπλιτῶν τάξιν παράγων, τῇ μὲν ὡς ἐπὶ τὸ ὄρος, ἐν ἀρι-
στερᾷ δὲ ὡς ἐπὶ τὴν θάλασσαν. οἱ δὲ ἱππεῖς αὐτῷ τέως μὲν κατόπιν 3
τῶν πεζῶν τεταγμένοι ἦσαν· ὡς δὲ ἐς τὴν εὐρυχωρίαν προήεσαν,

ἄνθος ἀπολώλει. — αὐτὸν μ. βασιλέα. de omisso Articulo v. ad Plut. V, 4. — ὅτι μή, negatione praegressa i. q. εἰ μή.

7. ἐς κάλλος. v. ad Lucian. dial. mort. IV, 7. Xen. Anab. VI, 3, 14. οὐ γὰρ δόξης ὁρῶ δεομένους ὑμᾶς εἰς ἀνδρειότητα.

8. ἐς μνήμην ἐλθεῖν, ut Latini: *etiam Xenophontis dicunt in mentem Alexandro venisse.* — ὡς ... ἐπεοικότες. deflectit paullum ab instituta structura, ex qua Genitivum exspectes ἐπεοικότων. tamen eiusmodi exempla ubivis quamlibet multa reperias. B. §. 151. II, 5. M. §. 556, 3. — αὐτοσχεδιασθέντων, h. l. de iis, quae ex tempore festinanterque perficiuntur, colliguntur, conscribuntur. — κατιόντων, intell. τῶν ἅμα Ξενοφῶντι μυρίων. saepius legimus, v. c. Plut. I, 4. Xen. II, 7. et aliis locis sic omisso Subi.

c. 2. 1. ὡς κατασχεῖν. vid. ad Lucian. dial. m. II, 2. Xen. IV, 3. saepius apud Nostrum. IV, 4, 8. ἐκτοξεύειν ἐκέλευσεν, ὡς μὴ πελάζειν. III, 30, 8. ταῦτα πρᾶξαι ἔφη, .. ὡς σωτηρίαν σφίσιν εὑρέσθαι.

2. ἐπὶ κέρως ἦγ. Aelian. Tact. c. 30. ὀρθία δέ ἐστι φάλαγξ, ὅταν ἐπὶ κέρας πορεύηται. cf. supra ad Xen. IV, 19. nostro loco opposita sunt ἀνέπτυσσεν ἀεὶ τὸ κέρας ἐς φάλαγγα, i. e. ita instruxit, *ut plures ordines alium post alium explicaret latiusque extenderet, et unum subinde densatum agmen fieret.*

3. τέως. Phavorinus: ἀντὶ τοῦ μέχρι τοῦ νῦν, vel Hesychio interprete

συνέτασσεν ἤδη τὴν στρατιὰν ὡς ἐς μάχην, πρώτους μὲν ἐπὶ τοῦ δεξιοῦ κέρως πρὸς τῷ ὄρει τῶν πεζῶν τό τε ἄγημα καὶ τοὺς ὑπασπιστάς, ὧν ἡγεῖτο Νικάνωρ ὁ Παρμενίωνος, ἐχομένην δὲ τούτων τὴν Κοίνου τάξιν, ἐπὶ δὲ τούτοις τὴν Περδίκκου. οὗτοι μὲν ἔστε ἐπὶ τὸ
4 μέσον τῶν ὁπλιτῶν ἀπὸ τοῦ δεξιοῦ ἀρξομένῳ τεταγμένοι ἦσαν. ἐπὶ δὲ τοῦ εὐωνύμου πρώτη μὲν Ἀμύντου τάξις ἦν, ἐπὶ δὲ ἡ Πτολεμαίου, ἐχομένη δὲ ταύτης ἡ Μελεάγρου. τοῦ δὲ εὐωνύμου τοῖς πεζοῖς μὲν Κρατερὸς ἐπετέτακτο ἄρχειν, τοῦ δὲ ξύμπαντος εὐωνύμου Παρμενίων ἡγεῖτο, καὶ παρήγγελτο αὐτῷ μὴ ἀπολείπειν τὴν θάλασσαν, ὡς μὴ κυκλωθεῖεν ἐκ τῶν βαρβάρων, ὅτι πάντη ὑπερφαλαγγή-
5 σειν αὐτῶν διὰ πλῆθος ἤμελλον. Δαρεῖος δέ, ἐπειδὴ ἐξηγγέλθη αὐτῷ προσάγων ἤδη Ἀλέξανδρος ὡς ἐς μάχην, τῶν μὲν ἱππέων διαβιβάζει πέραν τοῦ ποταμοῦ τοῦ Πινάρου ἐς τρισμυρίους μάλιστα τὸν ἀριθμόν, καὶ μετὰ τούτων τῶν πεζῶν ἐς δισμυρίους, ὅπως τὴν λοιπὴν δύναμιν καθ' ἡσυχίαν συντάξειε. καὶ πρώτους μὲν τοῦ ὁπλιτικοῦ τοὺς Ἕλληνας τοὺς μισθοφόρους ἔταξεν ἐς τρισμυρίους κατὰ τὴν φάλαγγα
6 τῶν Μακεδόνων· ἐπὶ δὲ τούτοις τῶν Καρδάκων καλουμένων ἔνθεν καὶ ἔνθεν ἐς ἑξακισμυρίους· ὁπλῖται δὲ ἦσαν καὶ οὗτοι. τοσούτους
7 γὰρ ἐπὶ φάλαγγος ἁπλῆς ἐδέχετο τὸ χωρίον ἵνα ἐτάσσοντο. ἐπέταξε δὲ καὶ τῷ ὄρει τῷ ἐν ἀριστερᾷ σφῶν κατὰ τὸ Ἀλεξάνδρου δεξιὸν ἐς δισμυρίους· καὶ τούτων ἔστιν οἳ κατὰ νώτου ἐγένοντο τῆς Ἀλεξάνδρου στρατιᾶς. τὸ γὰρ ὄρος ἵνα ἐπετάχθησαν πῇ μὲν διεχώρει ἐς βάθος καὶ κολπῶδές τι αὐτοῦ ὥσπερ ἐν θαλάσσῃ ἐγίνετο· ἔπειτα ἐς ἐπικαμπὴν προϊὸν τοὺς ἐπὶ ταῖς ὑπωρείαις τεταγμένους κατόπιν τοῦ
8 δεξιοῦ κέρως τοῦ Ἀλεξάνδρου ἐποίει· τὸ δὲ ἄλλο πλῆθος αὐτοῦ ψιλῶν τε καὶ ὁπλιτῶν, κατὰ ἔθνη συντεταγμένον ἐς βάθος οὐκ ὠφέλι-

---

τότε, τηνικαῦτα. — ἄγημα. usus vocis inde a temporibus Philippi Macedonis magis invaluit. hinc recte Suidas et Hesychius, agmen esse regem antecedens sive equitum sive peditum, tum vero etiam praestantissimam intelligi aciei Macedonicae partem armorum corporumque robore firmam. — ἐχομένην. v. ad Xen. IV, 21. Curt. l. c. cap. 9. §. 7. *huic* (Nicanori) *proximi stabant Coenos et Perdiccas et Meleager* ctt. — ἀρξομένῳ, pendet ex v. τεταγμένοι. recte igitur Gronovius vertit: *hos quidem ad medios usque gravis armaturae ordines ab dextra inchoaturo locaverat.* ἀπέχει (ποταμός). ἐπὶ τὸν Αἶμον ἰόντι σταθμοὺς τρεῖς. Arr. I, 2, 1. Interprett. ad Herod. VI, 103, 7.

4. Ἀμύντου τάξις. Krüger invitis libris reponit ἡ Ἀ. τάξις. recte si quid video, quum graeca consuetudo exigere videatur Articulum. cf. eiusdem adnot. ad Xen. Anab. I, 8, 13. — ὑπερφαλαγγήσειν. explicat Aelian. Tact. 49: ὅταν ἐξ ἑκατέρων τῶν μερῶν τῆς φάλαγγος ὑπερέχωμεν τῶν πολεμίων.

5. μάλιστα, cum numeralibus iunctum i. q. *ferme*, *circiter*. hoc vero loco praestat *ad summum*, *ut summum computemus*, ut infra §. 8. Thuc. IV, 8. Σφακτηρία πᾶσα .. μέγεθος περὶ πεντεκαίδεκα σταδίους μάλιστα (ἦν). — ἔνθεν καὶ ἔνθεν. vid. ad Xen. III, 17. dicit igitur: *ab utroque latere* Graecorum mercede conductorum *sexaginta millia Cardacum collocat.*

7. ἔστιν οἵ. vid. ad Pausan. VII, 2. ad Xen. IV, 14. — πῇ μέν, *aliqua parte*, quod mox oppositum habet ἔπειτα suppressa δὲ particula ex constanti prope optimorum scriptorum usu. εἶτα non secus. v. Heind. ad Plat. Phaedon. §. 81. §. 86. ceterum ἔπειτα h. l. observa adverbium non temporis, sed loci vel potius τάξεως. Hom. Odyss. IV, 354. νῆσος ἔπειτά τις ἐστι ctt. ibid. IX, 116. — ἐς ἐπικ. προϊόν, *in anfractum porrectus* (mons). supra Aelian. XXXII, 7. ὁ Πηνειὸς ποταμὸς σχολῇ καὶ πράως προϊών.

8. βάθος, h. l. *novissimum agmen*, *extrema acies*. Suidas: βάθος

μον, ὄπισθεν ἦν τῶν Ἑλλήνων τῶν μισθοφόρων καὶ τοῦ ἐπὶ φάλαγγος τεταγμένου βαρβαρικοῦ. ἐλέγετο γὰρ ἡ πᾶσα ξὺν Δαρείῳ στρατιὰ μάλιστα ἐς ἑξήκοντα μυριάδας μαχίμους εἶναι. Ἀλέξανδρος δέ, ὡς 9
αὐτῷ πρόσω ἰόντι τὸ χωρίον διέσχεν ὀλίγον ἐς πλάτος, παρήγαγε τοὺς ἱππέας, τούς τε ἑταίρους καλουμένους καὶ τοὺς Θεσσαλοὺς καὶ τοὺς Μακεδόνας. καὶ τούτους μὲν ἐπὶ τῷ δεξιῷ κέρᾳ ἅμα οἳ ἔταξε, τοὺς δὲ ἐκ Πελοποννήσου καὶ τὸ ἄλλο τὸ συμμαχικὸν ἐπὶ τὸ εὐώνυμον πέμπει ὡς Παρμενίωνα. Δαρεῖος δέ, ὡς συντεταγμένη ἤδη ἦν 10
αὐτῷ ἡ φάλαγξ, τοὺς ἱππέας, οὕστινας πρὸ τοῦ ποταμοῦ ἐπὶ τῷδε προτετάχει, ὅπως ἀσφαλῶς αὐτῷ ἡ ἔκταξις τῆς στρατιᾶς γένοιτο, ἀνεκάλεσεν ἀπὸ ξυνθήματος. καὶ τούτων τοὺς μὲν πολλοὺς ἐπὶ τῷ δεξιῷ κέρᾳ πρὸς τῇ θαλάσσῃ κατὰ Παρμενίωνα ἔταξεν, ὅτι ταύτῃ μᾶλλόν τι ἱππάσιμα ἦν· μέρος δέ τι αὐτῶν καὶ ἐπὶ τὸ εὐώνυμον πρὸς τὰ ὄρη παρήγαγεν. ὡς δὲ ἀχρεῖοι ἐνταῦθα διὰ στενότητα τῶν χωρίων ἐφαίνοντο, καὶ τούτων τοὺς πολλοὺς παριππεῦσαι ἐπὶ τὸ δεξιὸν κέρας σφῶν ἐκέλευσεν. αὐτὸς δὲ Δαρεῖος τὸ μέσον τῆς πάσης τάξεως ἐπεῖχε, καθάπερ νόμος τοῖς Περσῶν βασιλεῦσι τετάχθαι· καὶ τὸν νοῦν τῆς τάξεως ταύτης Ξενοφῶν ὁ τοῦ Γρύλλου ἀναγέγραφεν.

3. Ἐν τούτῳ δὲ Ἀλέξανδρος κατιδὼν ὀλίγου πᾶσαν τὴν τῶν Περ- 1
σῶν ἵππον μετακεχωρηκυῖαν ἐπὶ τὸ εὐώνυμον τὸ ἑαυτοῦ ὡς πρὸς τὴν θάλασσαν, αὐτῷ δὲ τοὺς Πελοποννησίους μόνους καὶ τοὺς ἄλλους τῶν ξυμμάχων ἱππέας ταύτῃ τεταγμένους, πέμπει κατὰ τάχος τοὺς Θεσσαλοὺς ἱππέας ἐπὶ τὸ εὐώνυμον, κελεύσας μὴ πρὸ τοῦ μετώπου τῆς πάσης τάξεως παριππεῦσαι τοῦ μὴ καταφανεῖς τοῖς πολεμίοις γενέσθαι μεταχωροῦντας, ἀλλὰ κατόπιν τῆς φάλαγγος ἀφανῶς διελθεῖν. προέταξε δὲ τῶν μὲν ἱππέων κατὰ τὸ δεξιὸν τοὺς προδρό- 2
μους, ὧν ἡγεῖτο Πρωτόμαχος, καὶ τοὺς Παίονας, ὧν ἡγεῖτο Ἀρίστων, τῶν δὲ πεζῶν τοὺς τοξότας, ὧν ἦρχεν Ἀντίοχος, τοὺς δὲ Ἀγριᾶνας, ὧν ἦρχεν Ἄτταλος, καὶ τῶν ἱππέων τινὰς καὶ τῶν τοξο-

---

ἐστὶ φάλαγγος τὸ μετὰ τὸ μέτωπον ἅπαν· καὶ ὁ ἀπὸ λοχαγοῦ ἐπὶ οὐραγὸν στίχος κατὰ βάθος λέγεται. quodsi τὸ βάθος a fronte ad tergum, τὸ μῆκος a dextera ad sinistram tendit.

9. ἑταίρους, *amicorum* sive *sodalium* nomine insignes robur erant equestris militiae iidemque, quibuscum rex hostibus versis fugientium terga cecidisse dicitur. Diod. XVII. c. 37. Ἀλέξανδρος δὲ μετὰ τῆς ἑταιρικῆς ἵππου καὶ τῶν ἄλλων ἀρίστων ἱππέων ἐποιεῖτο τὸν διωγμόν. praeter illos tamen alios quoque equites *Macedones* interfuisse pugnae coniicere licet ex sequentibus. accedit quod rex Graecos, quibus maxime adsueverat, Persasque nobiles aeque recepit in cohortem amicorum ac populares suos. — ὡς Π. v. ad Aelian. XX. Bernh. Synt. p. 215.

10. ἀπὸ ξυνθήματος. cf. ad Pausan. VIII, 3. — τὸν νοῦν τ. τάξεως ctt. *rationem aciei ita instructae X. descripsit.* cf. Xen. Anab. I, 8, 21. Cyrop. IV, 2, 27. VIII, 5, 8.

c. 3. 1. ὀλίγου, i. q. alias atque plenius ὀλίγου δεῖν, *haud multum abfuit quin universum equitatum animadverteret*, h. e. paene omnes equites. similiter πολλοῦ, μικροῦ. cf. M. §. 355. not. 2. Bernh. Synt. p. 138. τοῦ μὴ . . γενέσθαι, Genitivus causam indicans, cui succurrere Grammatici solent offerendo ἕνεκα. sic infra c. 4, 3. eodem modo intercipi *causa*, *nomine* apud Romanos graecissantes res nota. cf. Tacit. Ann. II, 59, 2. III, 7, 13 ibique Interpp. alia exempla notata Lucian. IV, 2.

τῶν ἐς ἐπικαμπὴν πρὸς τὸ ὄρος τὸ κατὰ νώτου ἔταξεν, ὥστε κατὰ τὸ δεξιὸν αὐτῷ τὴν φάλαγγα ἐς δύο κέρατα διέχουσαν τετάχθαι, τὸ μὲν ὡς πρὸς Δαρεῖόν τε καὶ τοὺς πέραν τοῦ ποταμοῦ τοὺς πάντας Πέρσας, τὸ δὲ ὡς πρὸς τοὺς ἐπὶ τῷ ὄρει κατὰ νώτου σφῶν τεταγμένους.
3 τοῦ δὲ εὐωνύμου προετάχθησαν τῶν μὲν πεζῶν οἵ τε Κρῆτες τοξόται καὶ οἱ Θρᾷκες, ὧν ἡγεῖτο Σιτάλκης· πρὸ τούτων δὲ ἡ ἵππος ἡ κατὰ τὸ εὐώνυμον· οἱ δὲ μισθοφόροι ξένοι πᾶσιν ἐπετάχθησαν. ἐπεὶ δὲ οὔτε πυκνὴ αὐτῷ ἡ φάλαγξ κατὰ τὸ δεξιὸν τὸ ἑαυτοῦ ἐφαίνετο, πολύ τε ταύτῃ ὑπερφαλαγγήσειν οἱ Πέρσαι ἐδόκουν, ἐκ τοῦ μέσου ἐκέλευσε δύο ἴλας τῶν ἑταίρων τήν τε Ἀνθεμουσίαν, ἧς ἴλαρχης ἦν Περοίδας ὁ Μενεσθέως, καὶ τὴν Λευγαίαν καλουμένην, ἧς ἡγεῖτο Παντόρδα-
4 νος ὁ Κλεάνδρου, ἐπὶ τὸ δεξιὸν ἀφανῶς παρελθεῖν. καὶ τοὺς τοξότας δὲ καὶ μέρος τῶν Ἀγριάνων καὶ τῶν Ἑλλήνων μισθοφόρων ἔστιν οὓς κατὰ τὸ δεξιὸν τὸ αὐτοῦ ἐπὶ μετώπου παραγαγὼν ἐξέτεινεν ὑπὲρ τοῦ τῶν Περσῶν κέρας τὴν φάλαγγα. ἐπεὶ γὰρ οἱ ὑπὲρ τοῦ ὄρους τεταγμένοι οὔτε κατῄεσαν, ἐκδρομῆς τε ἐπ' αὐτοὺς τῶν Ἀγριάνων καὶ τῶν τοξοτῶν ὀλίγων κατὰ πρόσταξιν Ἀλεξάνδρου γενομένης ῥᾳδίως ἀπὸ τῆς ὑπωρείας ἀνασταλέντες ἐς τὸ ἄκρον ἀνέφυγον, ἔγνω καὶ τοῖς κατ' αὐτοὺς τεταγμένοις δυνατὸν ὂν χρήσασθαι ἐς ἀναπλήρωσιν τῆς φάλαγγος, ἐκείνοις δὲ ἱππέας τριακοσίους ἐπιτάξαι ἐξήρκεσεν.
1 4. Οὕτω δὴ τεταγμένους χρόνον μέν τινα προῆγεν ἀναπαύων, ὥστε καὶ πάνυ ἔδοξε σχολαία γενέσθαι αὐτῷ ἡ πρόσοδος. τοὺς γὰρ βαρβάρους, ὅπως τὰ πρῶτα ἐτάχθησαν, οὐκέτι ἀντεπῆγε Δαρεῖος, ἀλλ' ἐπὶ τοῦ ποταμοῦ ταῖς ὄχθαις πολλαχῇ μὲν ἀποκρήμνοις οὔσαις, ἔστι δὲ ὅπου καὶ χάρακα παρατείνας αὐταῖς, ἵνα εὐεφοδώτερα ἐφαίνετο, οὕτως ἔμενεν. καὶ ταύτῃ εὐθὺς δῆλος ἐγένετο τοῖς ἀμφ' Ἀλέ-

---

2. ἐς ἐπικαμπὴν πρὸς τὸ ὄρος ctt. Gronovius recte: *in obliquum* vel *inflexum ad montem a tergo constituit nonnullos equitum* ctt. hinc ἐπικάμπιος τάξις incurva acies, in effigiem forficis instructa (sichelförmig), ita ut ea cui adhibebant phalangis pars ἀμφίστομος esset et in duo cornua divisa adpareret. Diod. 19, 27 extr. ἔταξεν ἐλέφαντας ἐν ἐπικαμπίῳ. Polyb. 5, 82, 9. ἱππεῖς ἐν ἐπικαμπίῳ παρενέβαλε.

3. πᾶσιν ἐπετάχθησαν, *a tergo omnium collocati, omnibus postposiri sunt.* Xenophon iubet ἐπιτάττεσθαι τῇ φάλαγγι λόχους φύλακας ἐπιβοηθήσοντας (Anab. VI, 3, 9), cohortes subsidiarias dicit, ubi ad *triarios* res rediit in pugnis Romanorum. — ἴλας τῶν ἑτ., *turmas amicorum*, quarum octo erant et principem locum tenebat ea, quam ipse rex ducebat, ἴλη βασιλική. ceterum v. ad c. 2, 9.

4. ἐπὶ μετώπου, *ad frontem, lata fronte*, die Fronte entlang, ut legimus ἐπὶ φάλαγγος, *alius prope alium*, neben einander. comp. ἐπὶ κέρως supra c. 2, 2 ibique notata. — ὑπὲρ τοῦ ὄρους τεταγμ. fere idem quod c. 2, 7 τοὺς ἐπὶ ταῖς ὑπωρείαις τεταγμένους, *qui in cacumine montis collocati sunt*, quo significatu ὑπὲρ de terrarum locorumque situ frequens. cf. Dissen ad Pind. Nem. VII, 64. comp. supra ad Plut. V, 3. — ὑπωρείας, noli interpretari neque de summa neque de ima, sed de media quadam atque procliviore montis parte; τὸ κάτω μέρος τοῦ ὄρους, μικρὸν ἀκρωτήριον interprete Hesychio.

c. 4, 1. ἔστι δὲ ὅπου καὶ χ. παρατείνας, verbum ἔστι omnis generis relativis praeponi saepius dictum, hoc vero loco tenendum Participium sequi pro vulgatiori structura Indicativi, ubi facilius est perspectu, quam prope formula illa absit ab Adverbio loci vel temporis. Arrian. l. V. c. 9 extr. ὀλίγοι (ποταμοί) . . καθαροὶ ἰδεῖν καὶ ἔστιν ὅπου περάσιμοι, h. e. ἐνιαχοῦ. sic ἔστιν ὅτε pro ποτέ, ἐνίοτε. ἔστιν οἵ pro τινές. cf. Viger.

ξανδρον τῇ γνώμῃ δεδουλωμένος. ὡς δὲ ὁμοῦ ἤδη ἦν τὰ στρατόπεδα, 2
ἐνταῦθα παριππεύων πάντῃ Ἀλέξανδρος παρεκάλει ἄνδρας ἀγαθοὺς
γίγνεσθαι, οὐ τῶν ἡγεμόνων μόνον τὰ ὀνόματα ξὺν τῷ πρέποντι
κόσμῳ ἀνακαλῶν, ἀλλὰ καὶ ἰλάρχας καὶ λοχαγοὺς ὀνομαστί, καὶ τῶν
ξένων τῶν μισθοφόρων ὅσοι κατ' ἀξίωσιν ἤ τινα ἀρετὴν γνωριμώτεροι
ἦσαν· καὶ αὐτῷ πανταχόθεν βοὴ ἐγένετο μὴ διατρίβειν, ἀλλὰ ἐσβάλ-
λειν ἐς τοὺς πολεμίους. ὁ δὲ ἡγεν ἐν τάξει ἔτι τὰ μὲν πρῶτα, καίπερ 3
ἐν ἀπόπτῳ ἤδη ἔχων τὴν Δαρείου δύναμιν, βάδην τοῦ μὴ διασπα-
σθῆναί τι ἐν τῇ ξυντονωτέρᾳ πορείᾳ κυμῆναν τῆς φάλαγγος. ὡς δὲ
ἐντὸς βέλους ἐγίγνοντο, πρῶτοι δὴ οἱ κατ' Ἀλέξανδρον καὶ αὐτὸς
Ἀλέξανδρος ἐπὶ τοῦ δεξιοῦ τεταγμένος δρόμῳ ἐς τὸν ποταμὸν ἐνέβαλ-
λον, ὡς τῇ τε ὀξύτητι τῆς ἐφόδου ἐκπλῆξαι τοὺς Πέρσας καὶ τοῦ
θᾶσσον ἐς χεῖρας ἐλθόντας ὀλίγα πρὸς τῶν τοξοτῶν βλάπτεσθαι. καὶ
ξυνέβη ὅπως εἴκασεν Ἀλέξανδρος. εὐθὺς γὰρ ὡς ἐν χερσὶν ἡ μάχη 4
ἐγένετο, τρέπονται τοῦ Περσικοῦ στρατεύματος οἱ τῷ ἀριστερῷ κέρᾳ
ἐπιτεταγμένοι· καὶ ταύτῃ μὲν ἐνίκα λαμπρῶς Ἀλέξανδρός τε καὶ οἱ
ἀμφ' αὐτόν· οἱ δὲ Ἕλληνες οἱ μισθοφόροι οἱ σὺν Δαρείῳ, ᾗ διέσχε
τῶν Μακεδόνων ἡ φάλαγξ ὡς ἐπὶ τὸ δεξιὸν κέρας παραῤῥαγεῖσα, ὅτι
Ἀλέξανδρος μὲν σπουδῇ ἐς τὸν ποταμὸν ἐμβαλὼν καὶ ἐν χερσὶ τὴν μά-
χην ποιήσας ἐξώθει ἤδη τοὺς ταύτῃ τεταγμένους τῶν Περσῶν, οἱ δὲ
κατὰ μέσον τῶν Μακεδόνων οὔτε τῇ ἴσῃ σπουδῇ ἤψαντο τοῦ ἔργου,
καὶ πολλαχῇ κρημνώδεσι ταῖς ὄχθαις ἐντυγχάνοντες τὸ μέτωπον τῆς
φάλαγγος οὐ δυνατοὶ ἐγένοντο ἐν τῇ αὐτῇ τάξει διασώσασθαι, ταύτῃ
ἐμβάλλουσιν οἱ Ἕλληνες τοῖς Μακεδόσιν ᾗ μάλιστα διεσπασμένην αὐ-
τοῖς τὴν φάλαγγα κατεῖδον. καὶ τὸ ἔργον ἐνταῦθα καρτερὸν ἦν, τῶν 5
μὲν ἐς τὸν ποταμὸν ἀπώσασθαι τοὺς Μακεδόνας καὶ τὴν νίκην τοῖς
ἤδη φεύγουσιν αὐτῶν ἀνασώσασθαι, τῶν Μακεδόνων δὲ τῆς τε Ἀλε-
ξάνδρου ἤδη φαινομένης εὐπραγίας μὴ λειφθῆναι καὶ τὴν δόξαν τῆς
φάλαγγος ὡς ἀμάχου δὴ ἐς τὸ τότε διαβεβοημένης μὴ ἀφανίσαι. καί 6

---

p. 235 sq. — τῇ γνώμῃ δεδουλ. similiter καθειμένος, τεταπεινωμένος φόβῳ, διεφθαρμένος ταῖς γνώμαις. nostra ex Thucydide fluxisse existimant, IV, 34. πρῶτον ἀπέβαινον τῇ γνώμῃ δεδουλωμένοι ὡς ἐπὶ Λακεδαιμονίους.

2. στρατόπεδα, h. l. pro στράτευμα, quae significatio aeque legitima optimisque Atticis probata atque vulgaris ista. cf. Timaei Lex. Plat. s. v. ibique Ruhnk. comp. *signa, castra.* — κατ' ἀξίωσιν. v. ad Diod. IV, 1 extr. — αὐτῷ .. βοὴ ἐγ., ut Xen. Anab. I, 8, 1. πᾶσιν οἷς ἐτύγχανεν ἐβόα.

3. ἐν ἀπόπτῳ, *in conspectu*, tametsi haec quoque sententia subest Persas oculis esse remotiores atque eminus conspici, deinde postea *intra teli iactum* ventum esse. cf. Lobeck ad Soph. Aiac. 14. p. 77 sq. Ed. II. — ξυντονωτέρᾳ. B. §. 60, 4. not. 4. — κυμῆναν, ut infra c. 5, 1 τὸ παρεῤῥωγός, de quorum Part. usu v. notata ad Diod. II, 1 extr. ad usum tropicum huius vocis gemella sunt verba Xen. Anab. I, 8, 18. ἐξεκύμαινέ τι τῆς φάλαγγος. quam loquutionem respicit Demetr. de Eloq. 85. τὴν τῆς τάξεως παρεκτροπὴν ἐκκυμαινούσῃ θαλάσσῃ εἴκασε. — ὅπως, vi relativa ut centies.

4. ᾗ διέσχε ctt. periodus paullo perplexior pluribusque interpositis turbata. quae enim initio ponuntur, *qua parte Macedonum phalanx divisa erat et discissa* (παραῤῥαγεῖσα), iterum enuntiantur in apodosi (ταύτῃ ἐμβάλλουσιν) verbis leviter immutatis: *qua parte maxime conspexerunt divulsam* (διεσπασμένην) *aciem Macedonum.* — ἐξώθει, adtendite neglectum Augmentum, huic verbo ab Arriano fere denegatum. idem praefert ἀπωσάμην, infra c. 5, 1 et ἀπώσθην. ὤθουν infr. II, 2, 1.

5. τῶν μέν, intell. Περσῶν. — ὡς ἀμάχου δή, *quippe invictae qui-*

τι καὶ τοῖς γένεσι τῷ τε Ἑλληνικῷ καὶ τῷ Μακεδονικῷ φιλοτιμίας ἐνέπεσεν ἐς ἀλλήλους. καὶ ἐνταῦθα πίπτει Πτολεμαῖός τε ὁ Σελεύκου ἀνὴρ ἀγαθὸς γενόμενος καὶ ἄλλοι ἐς εἴκοσι μάλιστα καὶ ἑκατὸν τῶν οὐκ ἠμελημένων Μακεδόνων.

1 5. Ἐν τούτῳ δὲ αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως τάξεις τετραμμένους ἤδη τοὺς κατὰ σφᾶς τῶν Περσῶν ὁρῶντες, ἐπὶ τοὺς ξένους τε τοὺς μισθοφόρους τοὺς Δαρείου καὶ τὸ πονούμενον σφῶν ἐπικάμψαντες ἀπὸ τοῦ ποταμοῦ ἀπώσαντο αὐτούς· καὶ κατὰ τὸ παρεῤῥωγὸς τοῦ Περσικοῦ στρατεύματος ὑπερφαλαγγήσαντες ἐς τὰ πλάγια ἐμβεβληκό-
2 τες ἤδη ἔκοπτον τοὺς ξένους. καὶ οἱ ἱππεῖς δὲ οἱ τῶν Περσῶν κατὰ τοὺς Θετταλοὺς τεταγμένοι οὐκ ἔμειναν ἐντὸς τοῦ ποταμοῦ ἐν αὐτῷ τῷ ἔργῳ, ἀλλ' ἐπιδιαβάντες εὐρώστως ἐνέβαλλον εἰς τὰς ἴλας τῶν Θετταλῶν. καὶ ταύτῃ ξυνέστη ἱππομαχία καρτερά· οὐδὲ πρόσθεν ἐνέκλιναν οἱ Πέρσαι, πρὶν Δαρεῖόν τε πεφευγότα ᾔσθοντο καὶ πρὶν ἀποῤῥαγῆναι σφῶν τοὺς μισθοφόρους συγκοπέντας ὑπὸ τῆς φάλαγ-
3 γος. τότε δὲ ἤδη λαμπρά τε καὶ ἐκ πάντων ἡ φυγὴ ἐγίγνετο· καὶ οἵ τε τῶν Περσῶν ἵπποι ἐν τῇ ἀναχωρήσει ἐκακοπάθουν βαρέως ὡπλισμένους τοὺς ἀμβάτας σφῶν φέροντες, καὶ αὐτοὶ οἱ ἱππεῖς κατὰ στενὰς ὁδοὺς πλήθει τε πολλοὶ καὶ πεφοβημένως σὺν ἀταξίᾳ ἀποχωροῦντες, οὐ μεῖον ὑπ' ἀλλήλων καταπατούμενοι ἢ πρὸς τῆς διώξεως τῶν πολεμίων ἐβλάπτοντο. καὶ οἱ Θεσσαλοὶ εὐρώστως αὐτοῖς ἐπέκειντο, ὥστε οὐ μεῖον ἢ ὡς πεζῶν φόνος ἐν τῇ φυγῇ τῶν ἱππέων ἐγίγνετο.
4 Δαρεῖος δὲ ὡς αὐτῷ τὸ πρῶτον ὑπ' Ἀλεξάνδρου ἐφοβήθη τὸ κέρας τὸ εὐώνυμον καὶ ταύτῃ ἀποῤῥηγνύμενον κατεῖδε τοῦ ἄλλου στρατοπέδου, εὐθὺς ὡς εἶχεν ἐπὶ τοῦ ἅρματος σὺν τοῖς πρώτοις ἔφευγε καὶ ἔστε μὲν ὁμαλοῖς χωρίοις ἐν τῇ φυγῇ ἐτύγχανεν, ἐπὶ τοῦ ἅρματος
5 διεσώζετο. ὡς δὲ φάραγξί τε καὶ ἄλλαις δυσχωρίαις ἐνέκυρσε, τὸ μὲν ἅρμα ἀπολείπει αὐτοῦ καὶ τὴν ἀσπίδα καὶ τὸν κάνδυν ἐκδύς· ὁ δὲ

---

dem adhuc ctt., nunc vero nondum parata victoria res videri poterat incerta esse et damnum aliquod pristinae famae restitui debere. hinc δὴ vocula adiecta. cf. ad Xenoph. III, 5.

c. 5, 1. τὸ πονούμενον, *belli labore adfectos*, ut saepius legere meministis πόνος de aerumnis operibusque pugnantium. Rutil. Lupus de fig. p. 31 ex Graecis Sosicratis oratoris: *in ipso belli labore ac periculo deseruit nos Philippus.* sic *laborantes* Caes. B. G. I, 52 extr. Curt. IX, 1, 15 et multis aliis locis.

2. ἐντὸς τοῦ π. *citra flumen.* cf. Xen. Anab. VI, 3, 7. neque secus de tempore nondum exacto. ἐντὸς ἡμερῶν εἴκοσιν, h. e. spatio viginti dierum nondum completo. ἐντὸς τριάκοντα ἐτῶν γεγονώς, citra spatium trigintа annorum, qui trigesimum annum non adtigit, nedum implevit. — πρὶν . . ᾔσθοντο, mox ἀποῤῥαγῆναι. I. E. Ellendt h. l. exemplis ostendit, Arrianum fere ubique Infinitivum πρὶν particulae adnectere solere sive de re praeterita sive de futura dicatur (cf. B. §. 149. p. 440. M. §. 522, 2.), tum vero potius habere tempus finitum, quum Participium alterius verbi (h. l. πεφευγότα) adstruatur. infra §. 7.

3. ἀμβάτας, quae forma per se bona (Lobeck ad Phryn. p. 340.) atque Arriano accepta (V, 19, 5. VI, 14, 3. cf. IV, 30, 8.) tanti aestimanda videtur, ut vulgatam ἐμβάτας cum Schneidero Krügeroque reprobemus. ἐμβάτης vide ut incorruptis testimoniis firmare possis.

4. εὐθὺς ὡς εἶχεν, sogleich, wie er war. Curt. VIII, 3, 10. *sicut erat* cruenta veste in castra pervenit. sic ὡς s. ὥσπερ ἔχομεν et reliquae personae, neque necesse est εὐθὺς adiiciatur. at cave huc trahas ἔχω ὡς ἔχω, de quo supra ad Aelian. XIII.

καὶ τὸ τόξον ἀπολείπει ἐπὶ τοῦ ἅρματος, αὐτὸς δὲ ἵππου ἐπιβὰς
ἔφευγε. καὶ ἡ νὺξ οὐ διὰ μακροῦ ἐπιγινομένη ἀφείλετο αὐτὸν τὸ
πρὸς Ἀλέξανδρον ἁλῶναι. Ἀλέξανδρος γὰρ ἔστε μὲν φάος ἦν ἀνὰ κρά- 6
τος ἐδίωκεν· ὡς δὲ συνεσκόταζέ τε ἤδη καὶ τὰ πρὸ ποδῶν ἀφανῆ ἦν,
ἐς τὸ ἔμπαλιν ἐτράπετο ὡς ἐπὶ τὸ στρατόπεδον· τὸ μέντοι ἅρμα τὸ
Δαρείου ἔλαβε καὶ τὴν ἀσπίδα ἐπ' αὐτῷ καὶ τὸν κάνδυν καὶ τὸ τόξον.
καὶ γὰρ καὶ ἡ δίωξις βραδυτέρα αὐτῷ ἐγεγόνει, ὅτι ἐν τῇ πρώτῃ πα- 7
ραῤῥήξει τῆς φάλαγγος ἐπιστρέψας καὶ αὐτὸς οὐ πρόσθεν ἐς τὸ διώ-
κειν ἐτράπετο, πρὶν τούς τε μισθοφόρους τοὺς ξένους καὶ τὸ τῶν
Περσῶν ἱππικὸν ἀπὸ τοῦ ποταμοῦ ἀπωσθέντας κατεῖδε. τῶν δὲ Περ- 8
σῶν ἀπέθανον μὲν Ἀρσάμης καὶ Ῥεομίθρης καὶ Ἀτιζύης τῶν ἐπὶ
Γρανικῷ ἡγησαμένων τοῦ ἱππικοῦ· ἀποθνήσκει δὲ καὶ Σαβάκης ὁ
Αἰγύπτου σατράπης καὶ Βουβάκης τῶν ἐντίμων Περσῶν. τὸ δὲ ἄλλο
πλῆθος εἰς δέκα μάλιστα μυριάδας καὶ ἐν τούτοις ἱππεῖς ὑπὲρ τοὺς
μυρίους, ὥστε λέγει Πτολεμαῖος ὁ Λάγου, ξυνεπισπόμενος τότε Ἀλε-
ξάνδρῳ, τοὺς μετὰ σφῶν διώκοντας Δαρεῖον, ὡς ἐπὶ φάραγγί τινι
ἐν τῇ διώξει ἐγένοντο, ἐπὶ τῶν νεκρῶν διαβῆναι τὴν φάραγγα. τό τε 9
στρατόπεδον τὸ Δαρείου εὐθὺς ἐξ ἐφόδου ἑάλω καὶ ἡ μήτηρ καὶ ἡ
γυνή, αὐτὴ δὲ καὶ ἡ ἀδελφὴ Δαρείου καὶ υἱὸς Δαρείου νήπιος. καὶ
θυγατέρες δύο ἑάλωσαν καὶ ἄλλαι ἀμφ' αὐτὰς Περσῶν τῶν ὁμοτίμων
γυναῖκες οὐ πολλαί· οἱ γὰρ ἄλλοι Πέρσαι τὰς γυναῖκας σφῶν ξὺν τῇ
ἄλλῃ κατασκευῇ ἐς Δαμασκὸν ἔτυχον ἐσταλκότες· ἐπεὶ καὶ Δαρεῖος 10
τῶν τε χρημάτων τὰ πολλὰ καὶ ὅσα ἄλλα μεγάλῳ βασιλεῖ ἐς πολυτελῆ
δίαιταν καὶ στρατευομένῳ ὅμως συνέπεται πεπόμφει ἐς Δαμασκόν,
ὥστε ἐν τῷ στρατεύματι οὐ πλείονα ἢ τρισχίλια τάλαντα ἑάλω. ἀλλὰ

---

5. ἵππου ἐπιβάς, Genitivus huic verbo iunctus inde ab Homero receptus. magis, quo offendaris, insolitum videri possit compositum ἐπιβαίνειν, cuius usum apud melioris notae scriptores etiamnunc perstiterim ad ea revocare, quae supra Athen. II, 5 praecepta sunt. saepius apud Nostrum legimus eodem verborum nexu, quo h. l. neque desunt exempla Achillis Tatii. p. 161, 14. ἐπιβὰς ἵππῳ, ibique Iacobs animadv. p. 904. — πρὸς Ἀλέξανδρον ἁλ. exspectes ut dicatur πρὸς Ἀλεξάνδρου, id quod renitente librorum auctoritate a quibusdam correctum est. ego quidem hodieque tueri prius illud ausim memor eorum, quae scripsi ad Pausan. IV, 3. recte igitur Ellendtius sensum cepit: *nox obveniens impediit, quominus captus ad Alexandrum deferretur.* add. Bernh. w. Synt. p. 265.

6. μέντοι, quod alias legimus ἀλλὰ μήν, οὐ μὴν ἀλλά, wenigstens iedoch. tenebrae obortae vetuerunt quidem regem ulterius insectari, *verumtamen cepit* ctt. — τὸ Δ. infra §. 9. de Articulo iterato v. B. §. 125, 3. not. 2.

7. καὶ γὰρ καί, est explicantis cum adfirmatione quadam et novum argumentum adferentis. Lucian. dial. deor. XX, 8. καὶ γὰρ αὖ καὶ τόδε, *etenim accedit etiam hoc.*

8. τῶν Περσῶν, de Genit. ex nomine proprio pendente v. Xen. II, 5. — Πτολεμαῖος. quamquam magnus exstitit eorum qui de Alexandri rebus scribebant proventus, nemo consensu omnium magis abstinuit mendaciis humiliqne adulatione, quam Ptolemaeus rex Aegypti († 284.).

9. ἐξ ἐφόδου, *primo impetu.* — νήπιος. Valck. ap. Lennep. Etym. p. 609: „puer qui nondum fari potest, *non fans* vel *infans*, ex νη- et ἔπος (cf. supra ad Pausan. II, 1.) Graecis dicitur νήπιος." qui h. l. νήπιος, filiolus Darii captus, Diodoro easdem res perscribenti vocatur υἱὸς παῖς τὴν ἡλικίαν. l. 17. c. 36.

10. ὅμως, regem quamquam militias sustinentem *tamen* s. *nihilo tamen minus* comitantur. cf. M. §. 566, 3. infr. II, 2, 4 et 7. — πεπόμφει. v. ad

καὶ τα ἐν Δαμασκῷ χρήματα ὀλίγον ὕστερον ἑάλω ὑπὸ Παρμενίωνος ἐπ' αὐτὸ τοῦτο σταλέντος. τοῦτο τὸ τέλος τῇ μάχῃ ἐκείνῃ ἐγένετο ἐπὶ
11 ἄρχοντος Ἀθηναίοις Νικοστράτου μηνὸς Μαιμακτηριῶνος. τῇ δὲ ὑστεραίᾳ, καίπερ τετρωμένος τὸν μηρὸν Ἀλέξανδρος ξίφει, ὁ δὲ τοὺς τραυματίας ἐπῆλθε καὶ τοὺς νεκροὺς ξυναγαγὼν ἔθαψε μεγαλοπρεπῶς σὺν τῇ δυνάμει πάσῃ ἐκτεταγμένῃ λαμπρότατα ὡς ἐς πόλεμον· καὶ λόγῳ τε ἐπεκόσμησεν ὅσοις τι διαπρεπὲς ἔργον ἐν τῇ μάχῃ ἢ αὐτὸς ξυνέγνω εἰργασμένον ἢ ἀκοῇ συμφωνούμενον ἔμαθε· καὶ χρημάτων ἐπιδόσει ὡς ἑκάστους σὺν τῇ ἀξίᾳ ἐτίμησεν.

II.

1 1. Ἀπέχει ἡ Γάζα τῆς μὲν θαλάσσης εἴκοσι μάλιστα σταδίους, καὶ ἔστι ψαμμώδης καὶ βαθεῖα ἐς αὐτὴν ἡ ἄνοδος καὶ ἡ θάλασσα ἡ κατὰ τὴν πόλιν τεναγώδης πᾶσα. μεγάλη δὲ πόλις ἡ Γάζα ἦν καὶ ἐπὶ χώματος ὑψηλοῦ ὤκιστο καὶ τεῖχος περιεβέβλητο αὐτῇ ὀχυρόν. ἐσχάτη δὲ ὠκεῖτο ὡς ἐπ' Αἴγυπτον ἐκ Φοινίκης ἰόντι ἐπὶ τῇ ἀρχῇ τῆς
2 ἐρήμου. Ἀλέξανδρος δὲ ὡς ἀφίκετο πρὸς τὴν πόλιν, τῇ μὲν πρώτῃ κατεστρατοπέδευσεν ᾗ μάλιστα ἐπίμαχον αὐτῷ ἐφαίνετο τὸ τεῖχος, καὶ μηχανὰς συμπηγνύναι ἐκέλευσεν. οἱ δὲ μηχανοποιοὶ γνώμην ἀπεδεί-
3 κνυντο ἄπορον εἶναι βίᾳ ἑλεῖν τὸ τεῖχος διὰ ὕψος τοῦ χώματος. ἀλλ' Ἀλεξάνδρῳ ἐδόκει αἱρετέον ὅσῳ ἀπορώτερον· ἐκπλήξειν γὰρ τοὺς πολεμίους τὸ ἔργον τῷ παραλόγῳ ἐπὶ μέγα, καὶ τὸ μὴ ἑλεῖν αἰσχρὸν εἶ-

---

Xen. I, 5. — Νικοστράτου. Diod. l. 17. c. 29. ἐπ' ἄρχοντος Ἀθήνησι Νικοκράτους. cui quum alii scriptores adstipulantur, tum Nostratium plerique omnes. Clinton. Fast. Hell. p. 162. Ed. Krüg.

11. καίπερ τετρωμένος . . ὁ δέ, genus Anacoluthi admodum frequens, quod eo effectum videtur, ut scriptor ipsis his minus accurate oppositis (καίπερ — ὁ δέ.) Alexandrum *quamvis vulneratum, tamen visentem aegros sauciosque* in lucem proferret tanto clariorem. Arrian. I, 23, 4. Ἀλεξάνδρῳ δὲ ὡς ἀπηγγέλθη ταῦτα . . , ὁ δὲ καὶ ὡς ἐξαγαγὼν ἔκτεινεν ctt. Xen. Anab. I, 9, 27 ibique Interpp. ex parte huc pertinent quae monuimus ad Lucian. II, 1. — ἐκτεταγμένῃ λ. ὡς ἐς π. *quae quasi ad pugnam ordinata erat splendidissime.* ὡς enim h. l. sensu proprio, si quid in locum alterius cuiusdam rei supponas. supra c. 1, 1. Herm. ad Soph. Phil. 58. comp. ὅσα infra II, 2, 7. — ἀκοῇ συμφ. ἔμ. *vel si quid fama acceperat omnium consensu probatum.* Diod. III, 72. συμφωνουμένην ἀποδεικνύειν μαρτυρίαν, et saepius hac significatione apud scriptores labentis Graecitatis. — ὡς ἑκάστους . . ἐτίμησεν, *pro sua singulos quosque dignitate honoravit.* cf. supra ad Pausan. V, 1. Herm. ad Viger. p. 853.

II. (Lib. II. c. 26. 27.) Gaza urbs non procul mari mediterraneo sita ab Alexandro obsessa, mox expugnata. a. 332 a. C. n. quae dum geruntur, „iisdem fere diebus solemne erat ludicrum Isthmiorum.“ Curt. IV, 5, 11.

c. 1, 1. ψαμμώδης. *quippe multam arenam vicinum mare evomit.* Curt. IV, 6, 8. — ἦν . . περιεβέβλητο, quibus temporibus etiam ob id uti poterat, quod civibus Gazae ad unum omnibus caesis, uxoribus liberisque in servitutem abstractis, ad pristinam dignitatem urbs non rediit.

3. αἱρετέον, debebat τόσῳ s. τοσούτῳ μᾶλλον αἱρ. ἐδόκει ctt. eadem Ellipsis occurrit Xen. Cyrop. V, 3, 27. σπεύσει ὅσῳ σὺ πρόσω δοκεῖς ἀπεῖναι. Arrian. VII, 12, 5. πράγματα, ὅσῳ ἐπικρύπτεται, τοσῷδε φιλοτιμότερον ἐξηγεῖσθαι. et Latinorum eundem morem esse docebit Tacit. Annal. IV, 48. *tanto infensius caesi, quanto . . incusabantur.* ibid. VI, 45.

ναί οἱ λεγόμενον ἔς τε τοὺς Ἕλληνας καὶ ἐς Δαρεῖον. ἐδόκει δὴ χῶμα ἐν κύκλῳ τῆς πόλεως χωννύναι, ὡς ἐξ ἴσου ἀπὸ τοῦ χωσθέντος ἐπάγεσθαι τὰς μηχανὰς τοῖς τείχεσι. καὶ ἐχώννυτο κατὰ τὸ νότιον μάλιστα τῆς πόλεως τεῖχος, ἵνα ἐπιμαχώτερα ἐφαίνετο. ὡς δὲ ἐδόκει ἐξῆρθαι συμμέτρως τὸ χῶμα, μηχανὰς ἐπιστήσαντες οἱ Μακεδόνες ἐπῆγον ὡς ἐπὶ τὸ τεῖχος τῶν Γαζαίων. καὶ ἐν τούτῳ θύοντι Ἀλεξάνδρῳ καὶ ἐστεφανωμένῳ τε καὶ κατάρχεσθαι μέλλοντι τοῦ πρώτου ἱερείου κατὰ νόμον τῶν τις σαρκοφάγων ὀρνίθων ὑπερπετόμενος ὑπὲρ τοῦ βωμοῦ λίθον ἐμβάλλει εἰς τὴν κεφαλὴν ὅντινα τοῖν πρόδοιν ἔφερε. καὶ Ἀλέξανδρος ἤρετο Ἀρίστανδρον τὸν μάντιν ὅ τι νοοῖ ὁ οἰωνός· ὁ δὲ ἀποκρίνεται, ὅτι, ὦ βασιλεῦ, τὴν μὲν πόλιν αἱρήσεις, αὐτῷ δέ σοι φυλακτέα ἐστὶν ἐπὶ τῇδε τῇ ἡμέρᾳ. 4

2. Ταῦτα ἀκούσας Ἀλέξανδρος τέως μὲν πρὸς ταῖς μηχαναῖς ἔξω βέλους αὐτὸν εἶχεν· ὡς δὲ ἐκδρομή τε ἐκ τῆς πόλεως καρτερὰ ἐγένετο, καὶ πῦρ τε ἐπέφερον ταῖς μηχαναῖς οἱ Ἄραβες καὶ τοὺς Μακεδόνας ἀμυνομένους κάτωθεν αὐτοὶ ἐξ ὑπερδεξίου τοῦ χωρίου ἔβαλλόν τε καὶ ὤθουν κατὰ τοῦ ποιητοῦ χώματος, ἐνταῦθα ἢ ἑκὼν ἀπειθεῖ Ἀλέξανδρος τῷ μάντει, ἢ ἐκπλαγεὶς ἐν τῷ ἔργῳ οὐκ ἐμνημόνευσε τῆς μαντείας, ἀλλ' ἀναλαβὼν τοὺς ὑπασπιστὰς παρεβοήθει ἵνα μάλιστα ἐπιέζοντο οἱ Μακεδόνες. καὶ τούτους μὲν ἔσχε τοῦ μὴ οὐκ αἰσχρᾷ φυγῇ ὠσθῆναι κατὰ τοῦ χώματος· αὐτὸς δὲ βάλλεται καταπέλτῃ διὰ τῆς ἀσπίδος διαμπὰξ καὶ τοῦ θώρακος ἐς τὸν ὦμον. ὡς δὲ ἔγνω τὰ ἀμφὶ τὸ τραῦμα ἀληθεύσαντα Ἀρίστανδρον, ἐχάρη, ὅτι καὶ τὴν πόλιν δὴ αἱρήσειν ἐδόκει Ἀριστάνδρου ἕνεκα. καὶ αὐτὸς μὲν τὸ τραῦμα ἐθεραπεύετο χαλεπῶς· ἀφικνοῦνται δ' αὐτῷ μετάπεμπτοι ἀπὸ θαλάσσης αἱ μηχαναὶ αἷς Τύρον εἷλε. καὶ χῶμα χωννύναι ἐν κύκλῳ πάντο- 1 2 3

— ἐπὶ μέγα, *vehementer*. Viger. p. 628. — λεγόμενον, *quum perferretur* ad Graecos, dedecori sibi fore. — χῶμα ctt. Curtio l. c. auctore rex *agi cuniculos* et *turres admoveri* iussit corona circumdatas, quae quomodo potuerit exsequi desidente arena operibusque cedente difficile intellectu. — ἐπιμαχώτερα, ne ἐπιμαχώτερον s. ἐπιμαχωτέρα desideres v. ad Lucian. IV, 5. Plut. III, 2.

4. τῶν τις σ. de positura Pron. indefiniti Herodoto maxime accepta v. ad Long. II, 2. Interpp. ad Herod. VIII, 90.

c. 2, 1. ἔβαλλον, *eminus petebant* telis, sagittis, lapidibus, aliis e longinquo missis; ὤθουν (cf. ad Arrian. I. c. 4, 4.) *detrudebant*, *loco pellebant*, postquam ventum est ad pugnandum cominus. pugnator quidam Marathonius apud Herod. VI, 117 dicitur οὔτε πληγεὶς οὐδὲν τοῦ σώματος οὔτε βληθείς. comp. infr. Arrian. IV. c. 2, 2.

2. ἔσχε τοῦ μὴ οὐκ . . ὠσθῆναι, *retinuit ne propellerentur*. ἔχειν ut παύειν, ἀπέχειν, alia significatu *prohibendi* cum Genit. et μὴ vel μὴ οὐ negationibus Infinitivo adiunctis. Xen. hist. Gr. IV, 8, 5. τοιαῦτα λέγων ἔσχε τοῦ μὴ ἐκπεπλῆχθαι. tamen non prorsus perinde esse, hoc nexu verborum dicas μὴ an μὴ οὔ, Herm. docet ad Viger. p. 800 sq. cf. B. §. 148, 6. not. 6. 7. M. §. 609. p. 1228. — τὰ ἀμφὶ τὸ τρ. nihil aliud est quam τὰ τοῦ τραύματος, de qua periphrasi dictum est ad Plut. II, 3. III, 2. similiter cum casu tertio Arrian. VI, 1, 5. ἀτρεκέστερον ἐξήλεγξε τὰ ἀμφὶ τῷ ποταμῷ τῷ Ἰνδῷ, et saepius. quamquam utrumque Herodoto et poetis quam solutae orationis Atticae principibus familiarius. — Ἀ. ἕνεκα, *Aristandrum quod attinet*. cf. Lucian. dial. mort. VI, 2. comp. Xen. II, 9. infra Arr. III, 2, 2. IV, 1, 1.

3. Τύρον. Tyrus septimo mense huius ipsius anni, quo Gaza obsideri coepta est, sub ditionem regis ceciderat. de machinis Tyro fere advectis longum esset dicere et Curtium consulere non abnuo.

θεν τῆς πόλεως ἐκέλευσεν, εὖρος μὲν ἐς δύο σταδίους, ὕψος δὲ ἐς
4 πόδας πεντήκοντα καὶ διακοσίους. ὡς δὲ αἵ τε μηχαναὶ αὐτῷ ἐποιήθησαν καὶ ἐπαχθεῖσαι κατὰ τὸ χῶμα κατέσεισαν τοῦ τείχους ἐπὶ πολύ, ὑπονόμων τε ἄλλῃ καὶ ἄλλῃ ὀρυσσομένων καὶ τοῦ χοῦ ἀφανῶς ἐκφερομένου τὸ τεῖχος πολλαχῇ ἠρείπετο ὑφιζάνον κατὰ τὸ κενούμενον, τοῖς τε βέλεσιν ἐπὶ πολὺ κατεῖχον οἱ Μακεδόνες ἀναστέλλοντες τοὺς προμαχομένους ἐκ τῶν πύργων· ἐς μὲν τρεῖς προσβολὰς οἱ ἐκ τῆς πόλεως ἀποθνησκόντων τε αὐτοῖς πολλῶν καὶ τιτρωσκομένων ὅμως
5 ἀντεῖχον· τῇ τετάρτῃ δὲ τῶν Μακεδόνων τὴν φάλαγγα πάντοθεν προσαγαγὼν Ἀλέξανδρος τῇ μὲν ὑπορυσσόμενον τὸ τεῖχος καταβάλλει, τῇ δὲ παιόμενον ταῖς μηχαναῖς κατασείει ἐπὶ πολύ, ὡς μὴ χαλεπὴν ταῖς κλίμαξι τὴν προσβολὴν κατὰ τὰ ἐρηριμμένα ἐνδοῦναι. αἵ τε οὖν κλί-
6 μακες προσήγοντο τῷ τείχει καὶ ἔρις πολλὴ ἦν τῶν Μακεδόνων ὅσοι τι ἀρετῆς μετεποιοῦντο, ὅστις πρῶτος αἱρήσει τὸ τεῖχος· καὶ αἱρεῖ πρῶτος Νεοπτόλεμος τῶν ἑταίρων τοῦ Αἰακιδῶν γένους· ἐπὶ δὲ αὐτῷ
7 ἄλλαι καὶ ἄλλαι τάξεις ὁμοῦ τοῖς ἡγεμόσιν ἀνέβαινον. ὡς δὲ ἅπαξ παρῆλθόν τινες ἐντὸς τοῦ τείχους τῶν Μακεδόνων κατασχίσαντες ἄλλας καὶ ἄλλας πύλας, ὅσαις ἕκαστοι ἐπετύγχανον, δέχονται εἴσω τὴν στρατιὰν πᾶσαν. οἱ δὲ Γαζαῖοι καὶ τῆς πόλεως σφισιν ἤδη ἐχομένης ξυνεσηνκότες ὅμως ἐμάχοντο· καὶ ἀπέθανον πάντες αὐτοῦ μαχόμενοι ὡς ἕκαστοι ἐτάχθησαν. παῖδας δὲ καὶ γυναῖκας ἐξηνδραπόδισεν αὐτῶν Ἀλέξανδρος· τὴν πόλιν δὲ ξυνοικίσας ἐκ τῶν περιοίκων ἐχρῆτο ὅσα φρουρίῳ ἐς τὸν πόλεμον.

III.

1 1. Πῶρος μεγάλα ἔργα ἐν τῇ μάχῃ ἀποδειξάμενος μὴ ὅτι στρα-

---

4. τοῦ τείχους, in Genitivo partitio inest ex verbis ἐπὶ πολὺ effecta. idem Arrianus de muris Tyriis ab Alexandro concussis: πρῶτα μὲν κατέσεισε τοῦ τείχους ἐπὶ μέγα. neque rarius de spatio quodam temporis: ὄμβρος ἐπὶ πολὺ τῆς νυκτὸς κατασχών. Arr. V, 13, 3. — χοῦ, quam formam ex plurimis optimisque libris receptam recentioribus Grammaticis restituas. B. §. 58. s. v. M. §. 90. — ὅμως. cf. ad Arrian. I, 5, 10.

6. ὅσοι . . μετεποιοῦντο, sua Arrianus irrigavit ut saepius Thucydidis, II, 51, ubi de conflictatis gravi ista pestilentia: διεφθείροντο, καὶ μάλιστα οἱ ἀρετῆς τι μεταποιούμενοι. quae verba respiciens Suidas (μεταποιούμενοι· σημαίνει ἀντιποιούμενοι) etiam nostris lucem attulit. etenim utroque loco ii sunt, *qui ambitiosa quadam contentione virtutem s. constantiam prae se ferebant.*

7. ὡς δὲ ἅπαξ π. *ut semel penetraverunt nonnulli Macedonum* ctt. ἅπαξ igitur sine numeri significatione, ut solet ὡς, ἐπεί, ἐπειδή, ἤν, ἐάν, ὅς, ὅσπερ similibusque adnexis. comp. ὡς, ἐπεί, ὅτε πρῶτον. — παῖδας κ. γυναῖκας, quamquam de certis quibusdam omisso Articulo. cf. ad Diodor. I, 5. — ὅσα, *tamquam.* Arrian. II, 5, 9. Ἀλέξανδρος Ἀμφιλόχῳ ὅσα ἥρωϊ ἐνήγισε. comp. ὡς supra I, 5, 11.

III. (Lib. V. c. 18, 4. c. 19.) Porus rex Indorum in proelio fortis, in clade nobilis. Alexander etiam in virtute aliorum agnoscenda magnus. Curt. L. VIII. c, 13. 14. Plut. Alex. c. 60.

c. 1, 1. μάχῃ, in qua pugna anno 327 a. C. n. (teste Arriano: ἐπ' ἄρχοντος Ἀθηναίοις Ἡγεμόνος μηνὸς Μεταγειτνιῶνος) ad ripam Hydaspis commissa duo Pori filii interfecti, ter millia equitum, viginti millia peditum caede confecta sunt. — ἀποδειξάμενος (ἔργα), formula Herodoto acceptissima de eo, *qui egregium aliquod facinus ediderit.* Interpp. ad Her. II,

τηγοῦ, ἀλλὰ καὶ στρατιώτου γενναίου, ὡς τῶν τε ἱππέων τὸν φόνον κατεῖδε καὶ τῶν ἐλεφάντων τοὺς μὲν αὐτοῦ πεπτωκότας, τοὺς δὲ ἐρήμους τῶν ἡγεμόνων λυπηροὺς πεπλανημένους, τῶν δὲ πεζῶν αὐτῷ οἱ πλείονς ἀπολώλεσαν, οὐχ ὥσπερ Δαρεῖος ὁ μέγας βασιλεὺς ἐξάρχων τοῖς ἀμφ' αὐτὸν τῆς φυγῆς ἀπεχώρει, ἀλλὰ ἔστε γὰρ ὑπέμενέ τι τῶν Ἰνδῶν ἐν τῇ μάχῃ ξυνεστηκός, ἐς τοσάνδε ἀγωνισάμενος· τετρω- 2
μένος δὲ τὸν δεξιὸν ὦμον, ὃν δὴ γυμνὸν μόνον ἔχων ἐν τῇ μάχῃ ἀνεστρέφετο, — ἀπὸ γὰρ τοῦ ἄλλου σώματος ἤρκει αὐτῷ τὰ βέλη ὁ θώραξ περιττὸς ὢν κατά τε τὴν ἰσχὺν καὶ τὴν ἁρμονίαν, ὡς ὕστερον καταμαθεῖν θεωμένοις ἦν, — τότε δὴ καὶ αὐτὸς ἀπεχώρει ἐπιστρέψας τὸν ἐλέφαντα. καὶ Ἀλέξανδρος μέγαν τε αὐτὸν καὶ γενναῖον ἄν- 3
δρα ἰδὼν ἐν τῇ μάχῃ σῶσαι ἐπεθύμησε. πέμπει δὴ παρ' αὐτὸν πρῶτα μὲν Ταξίλην τὸν Ἰνδόν· καὶ Ταξίλης προσιππεύσας ἐφ' ὅσον οἱ ἀσφαλὲς ἐφαίνετο τῷ ἐλέφαντι ὃς ἔφερε τὸν Πῶρον ἐπιστῆσαί τε ἠξίου τὸ θηρίον, οὐ γὰρ εἶναί οἱ ἔτι φεύγειν, καὶ ἀκοῦσαι τῶν παρ' Ἀλεξάν- 4
δρου λόγων. ὁ δὲ ἰδὼν ἄνδρα ἐχθρὸν ἐκ παλαιοῦ τὸν Ταξίλην ἐπιστρέψας ἀνήγετο ὡς ἀκοντίσων· καὶ ἂν καὶ κατέκανεν ἂν τυχόν, εἰ μὴ ὑποφθάσας ἐκεῖνος ἀπέλασεν ἀπὸ τοῦ Πώρου πρόσω τὸν ἵππον. Ἀλέξανδρος δὲ οὐδὲ ἐπὶ τῷδε τῷ Πώρῳ χαλεπὸς ἐγένετο, ἀλλ' ἄλλους τε ἐν μέρει ἔπεμπε καὶ δὴ καὶ Μερόην ἄνδρα Ἰνδόν, ὅτι φίλον εἶναι ἐκ παλαιοῦ τῷ Πώρῳ τὸν Μερόην ἔμαθε. Πῶρος δὲ ὡς τὰ παρὰ 5
τοῦ Μερόου ἤκουσε καὶ ἐκ τοῦ δίφρου ἅμα ἐκρατεῖτο, ἐπέστησέ τε τὸν ἐλέφαντα καὶ κατέβη ἀπ' αὐτοῦ· ὡς δὲ ἐπιέ τε καὶ ἀνέψυξεν, ἄγειν αὐτὸν σπουδῇ ἐκέλευσε παρὰ Ἀλέξανδρον.

2. Καὶ ὁ μὲν ἤγετο· Ἀλέξανδρος δὲ ὡς προσάγοντα ἐπύθετο, 1
προσιππεύσας πρὸ τῆς τάξεως ξὺν ὀλίγοις τῶν ἑταίρων ἁπαντᾷ τῷ Πώρῳ· καὶ ἐπιστήσας τὸν ἵππον τό τε μέγεθος ἐθαύμαζεν ὑπὲρ πέντε πήχεις μάλιστα ξυμβαῖνον, καὶ τὸ κάλλος τοῦ Πώρου, καὶ ὅτι οὐ δε-

---

148, 2. — μὴ ὅτι. cf. B. §. 150. p. 444. M. §. 624, 4. — λυπηρούς, recte Gronov. *tristes*, *agnoscentes quasi cladem suam*. θυμόσοφος γάρ, ut refert Arrian. Hist. Ind. c. 14. ὁ ἐλέφας· καί τινες ἤδη αὐτῶν τοὺς ἀμβάτας σφῶν ἐν πολέμῳ ἀποθανόντας ἄραντες αὐτοὶ ἐξήνεγκαν ἐς ταφήν, . . ὁ δέ τις πρὸς ὀργὴν ἀποκτείνας τὸν ἀμβάτην ὑπὸ μετανοίης τε καὶ ἀθυμίης ἀπέθανεν. — ἀπολώλεσαν, mira enallage constructionis. ex lege sermonis posceres ἀπολωλότας. similia congessit M. §. 631, 3. 4. — τι τῶν Ἰ. etiam omisso Genit. Xen. Cyrop. V, 3, 57. εἴ τί που (sc. τῶν πολεμίων) ἐναντιοῖτο αὐτῷ, — εἴ τέ τί κου φεῦγον ὀφθείη ctt.

2. ἔχων . . ἀνεστρέφετο, sufficeret εἶχεν extremo verbo finito suppresso. iam vero bis posuit apodosin ἀνεστρέφετο et prolixiore parenthesi interiecta τότε δὴ ἀπεχώρει, ut eo esset apertius, qui denique factum sit, ut ipse pedem retulerit Porus. — ἁρμονίαν. Xen. Memor. III, 10, 11. θώραξ ἁρμόττων σώματι, *corpori congruens*, singulis et corporis et thoracis partibus inter se concinentibus.

4. καὶ ἂν καὶ κ. ἂν τ. posterius ἂν spectat ad τυχὸν vocem dubitationi obnoxiam, *si forte fieri potuisset*. nos: vielleicht etwa würde er ihn sogar getödtet haben ctt. sic ἴσως ἄν, τάχ' ἄν, id genus alia abundantiam quandam redolentia. Arr. V, 5, 3. τυχὸν . . τυγχάνει ὄν. Demosth. p. Phorm. p. 961. τάχ' ἄν, εἰ τύχοι, καὶ τοῦτον ἠδίκει. Arist. Vesp. 1456. τάχα δ' ἂν ἴσως οὐκ ἐθέλοι. de Part. illa geminata Herm. ad Viger. p. 814 sq. — ἐν μέρει, *per vices*. — καὶ δὴ καί, vim habet restringendi admodum gravem. πάντες ἐβοήθεον, καὶ δὴ καὶ οἱ παῖδες. Herod. VI, 138, 4. ἄλλα τε ἔχειν χωρία, καὶ δὴ καὶ Λῆμνον. ibid. 137, 7 ibique Interpp.

δουλωμένος τῇ γνώμῃ ἐφαίνετο, ἀλλ' ὥσπερ ἀνὴρ ἀγαθὸς ἀνδρὶ ἀγαθῷ προσέλθοι ὑπὲρ βασιλείας τῆς αὐτοῦ πρὸς βασιλέα ἄλλον καλῶς ἠγωνισμένος. ἔνθα δὴ Ἀλέξανδρος πρῶτος προσειπὼν αὐτὸν λέγειν ἐκέλευσεν ὅ τι οἱ γενέσθαι ἐθέλοι. Πῶρον δὲ ἀποκρίνασθαι λόγος, ὅτι βασιλικῶς μοι χρῆσαι, ὦ Ἀλέξανδρε· καὶ Ἀλέξανδρος ἡσθεὶς τῷ λόγῳ, τοῦτο μὲν ἔσται σοι, Πῶρε, ἔφη, ἐμοῦ ἕνεκα· σὺ δὲ σαυτοῦ ἕνεκα, ὅ τι σοὶ φίλον, ἀξίου. ὁ δὲ πάντα ἔφη ἐν τούτῳ ἐνεῖναι· καὶ Ἀλέξανδρος τούτῳ ἔτι μᾶλλον τῷ λόγῳ ἡσθεὶς τήν τε ἀρχὴν τῷ Πώρῳ τῶν τε αὐτῶν Ἰνδῶν ἔδωκε καὶ ἄλλην ἔτι χώραν πρὸς τῇ παλαι οὔσῃ πλείονα τῆς πρόσθεν προσέθηκε· καὶ οὕτως αὐτός τε βασιλικῶς κεχρημένος ἦν ἀνδρὶ ἀγαθῷ καὶ ἐκείνῳ ἐκ τούτου ἐς ἅπαντα πιστῷ ἐχρήσατο.

IV.

1. „Οὐχ ὑπὲρ τοῦ καταπαῦσαι ὑμῶν τὴν οἴκαδε ὁρμήν, ὦ Μακεδόνες, λεχθήσεταί μοι ὅδε ὁ λόγος, — ἔξεστι γὰρ ὑμῖν ἀπιέναι ὅποι βούλεσθε ἐμοῦ γε ἕνεκα, — ἀλλ' ὡς γνῶναι ὑμᾶς πρὸς ὁποίους τινὰς ὑμᾶς ὄντας ὁποῖοί τινες αὐτοὶ γενόμενοι ἀπαλλάσσεσθε. καὶ πρῶτά γε ἀπὸ Φιλίππου τοῦ πατρός, ἥπερ καὶ εἰκός, τοῦ λόγου ἄρξομαι. Φίλιππος γὰρ παραλαβὼν ὑμᾶς πλανήτας καὶ ἀπόρους, ἐν διφθέραις τοὺς πολλοὺς νέμοντας ἀνὰ τὰ ὄρη πρόβατα ὀλίγα καὶ ὑπὲρ τούτων κακῶς μαχομένους Ἰλλυριοῖς τε καὶ Τριβαλλοῖς καὶ τοῖς ὁμόροις Θρᾳξί, χλαμύδας μὲν ὑμῖν ἀντὶ τῶν διφθερῶν φορεῖν ἔδωκε, κατήγαγε δὲ ἐκ τῶν ὀρῶν ἐς τὰ πεδία ἀξιομάχους καταστήσας τοῖς προσχώροις τῶν βαρβάρων, ὡς μὴ χωρίων ἔτι ὀχυρότητι πιστεύοντας μᾶλλον, ἢ τῇ οἰκείᾳ ἀρετῇ σώζεσθαι· πόλεών τε οἰκήτορας ἀπέφηνε

---

c. 2, 1. ἐφαίνετο . . προσέλθοι. haec extrema voluit ex sententia Alexandri dicta. hinc modorum commutatio explicanda. cf. supra ad Pausan. IV, 1.

2. λόγος, sic solet Herodotus maxime in fabulosis pro λέγεται sive addito ἐστί, sive omisso ut h. l. Herod. III, 5. ἐν Σερβωνίδι λίμνῃ λόγος τὸν Τυφὼ κεκρύφθαι. Interpp. ad VII, 198. — ὅτι. B. §. 149 s. v.

3. τῶν τε αὐτῶν Ἰ. Krüg. exhibet τ. τ. αὐτοῦ Ἰ. commendatur certe verbis Plutarchi vit. Alex. c. 60 extr. οὐ μόνον ἀφῆκεν αὐτὸν ἄρχειν ὧν ἐβασίλευε σατράπην καλούμενον, ἀλλὰ καὶ προσέθηκε χώραν ctt. ceterum cf. Curt. VIII, 14, 45 ibique Freinsh.

IV. (Lib. VII. c. 9 — 11.) Alexander Opim reversus (a. 325 a. C.) senes mutilatosque domum remitti iusserat, quam missionem milites secus ac debebant interpretati castra seditiosis vocibus compleverant. principibus turbarum ad supplicium datis, reliquis subito metu adtonitis, rex adscenso suggestu hunc fere in modum disserit.

c. 1, 1. ἐμοῦ γε ἕνεκα. ad Arr. II, 2, 2. — πρὸς ὁποίους τ. ὑμᾶς ὄντας ctt. *ad quales quidem vos qui* (nunc) *estis quales ipsi denique facti* (i. e. quam mutati) *discedatis.* fingit igitur Macedones ad semet ipsos quidem abeuntes, neque tamen ad se eosdem, sed paullatim certe immutatos. ὄντας tempus indicat praesens, quo ipsi meliores iam redditi exsistunt, γενόμενοι praeteritum vel potius id, quod auspicia capiens a prima mutatione rerum praesentem statum adtingit. hinc non est cur cum viris quibusdam criticis coniiciamus legendum: ἡμᾶς ὄντας. distinguuntur non personae, sed tempora.

2. φορεῖν, Lobeck ad Phryn. p. 585. „dicimur ea (φορεῖν), quae nobiscum circumferimus, quibus amicti indutique sumus, tum quae ad habitum corporis pertinent.“ cf. supra ad Aesop. fab. IV. tamen scriptores non

καὶ νόμοις καὶ ἤθεσι χρηστοῖς ἐκόσμησεν. αὐτῶν δὲ ἐκείνων τῶν βαρ- 3
βάρων, ὑφ' ὧν πρόσθεν ἤγεσθε καὶ ἐφέρεσθε αὐτοί τε καὶ τὰ ὑμέτερα, ἡγεμόνας κατέστησεν ἐκ δούλων καὶ ὑπηκόων, καὶ τῆς Θρᾴκης τὰ πολλὰ τῇ Μακεδονίᾳ προσέθηκε καὶ τῶν ἐπὶ τῇ θαλάττῃ χωρίων τὰ ἐπικαιρότατα καταλαβόμενος τὴν ἐμπορίαν τῇ χώρᾳ ἀνεπέτασε, καὶ τῶν μετάλλων τὴν ἐργασίαν ἀδεῆ παρέσχε. Θεσσαλῶν δὲ ἄρχοντας, 4
οὓς πάλαι ἐτεθνήκειτε τῷ δέει, ἀπέφηνε· καὶ τὸ Φωκέων ἔθνος τα-
πεινώσας τὴν ἐς τὴν Ἑλλάδα πάροδον πλατεῖαν καὶ εὔπορον ἀντὶ στε-
νῆς τε καὶ ἀπόρου ὑμῖν ἐποίησεν· Ἀθηναίους τε καὶ Θηβαίους ἐφε-
δρεύοντας ἀεὶ τῇ Μακεδονίᾳ ἐς τοσόνδε ἐταπείνωσεν, ἤδη ταῦτά γε
καὶ ἡμῶν αὐτῷ ξυμπονούντων, ὡς ἀντὶ τοῦ φόρους τελεῖν Ἀθη-
ναίοις καὶ ὑπακούειν Θηβαίων παρ' ἡμῶν ἐν τῷ μέρει ἐκείνους τὴν
ἀσφάλειαν σφισι πορίζεσθαι. ἐς Πελοπόννησον δὲ παρελθὼν τά ἐκεῖ 5
αὖ ἐκόσμησε· καὶ ἡγεμὼν αὐτοκράτωρ συμπάσης τῆς ἄλλης Ἑλλάδος
ἀποδειχθεὶς τῆς ἐπὶ τὸν Πέρσην στρατιᾶς οὐχ ἑαυτῷ μᾶλλόν τι τὴν
δόξαν τήνδε ἢ τῷ κοινῷ τῶν Μακεδόνων προσέθηκε. ταῦτα μὲν τὰ 6
ἐκ τοῦ πατρὸς τοῦ ἐμοῦ ἐς ὑμᾶς ὑπηργμένα, ὡς μὲν αὐτὰ ἐφ' ἑαυ-
τῶν σκέψασθαι, μεγάλα, μικρὰ δέ, ὥς γε δὴ πρὸς τὰ ἡμέτερα ξυμ-
βαλεῖν. ὃς παραλαβὼν παρὰ τοῦ πατρὸς χρυσᾶ μὲν καὶ ἀργυρᾶ ἐκπώ-
ματα ὀλίγα, τάλαντα δὲ οὐδὲ ἑξήκοντα ἐν τοῖς θησαυροῖς, χρεῶν δὲ
ὀφειλόμενα ὑπὸ Φιλίππου ἐς πεντακόσια τάλαντα, δανεισάμενος ἐπὶ
τούτοις αὐτὸς ἄλλα ὀκτακόσια, ὁρμηθεὶς ἐκ τῆς χώρας τῆς γε οὐδὲ
ὑμᾶς αὐτοὺς βοσκούσης καλῶς εὐθὺς μὲν τοῦ Ἑλλησπόντου ὑμῖν τὸν
πόρον θαλασσοκρατούντων ἐν τῷ τότε Περσῶν ἀνεπέτασα· κρατήσας 7
δὲ τῇ ἵππῳ τοὺς σατράπας τοῦ Δαρείου τήν τε Ἰωνίαν πᾶσαν τῇ

---

raro egredi illud praeceptum eodem loco nos edocet vir doctus. — ἤθεσι. cf. ad Plut. II, 1.

3. ἤγεσθε . . ὑμέτερα, inest in his aliquid Zeugmatis, quum αὐτοί proprie respiciat prius verbum, τὰ ὑμέτερα alterum tantum. ἄγεται μὲν γάρ, ut ait Ammonius, τὰ ἔμψυχα· φέρεται δὲ τὰ ἄψυχα. — ἀνεπέτασε, *viam patefecit*, significatu tropico, ut paullo infra §. 6. aperuit autem Philippus eo praesertim negotiandi copiam, quod oppida maritima sibi subegit, ut recte Ellendtius.

4. οὓς π. ἐτεθνήκειτε τ. δέει, Accusativum pendentem facias a voce δέος vel potius ab eiusdem vi transeundi in eum, quem abhorremus. sic τεθνάναι τῷ φόβῳ τινά, ubi alias atque id in vulgus vel Genit. vel ἀπὸ cum Genit. pluribus exemplis docet Bernhardy Synt. pag. 114. — ἤδη ταῦτά γε κ. ἡμῶν αὐτῷ ξ. *iam, id quod accedit ad hoc* (ταῦτά γε), *etiam nobis eosdem secum una militiae labores sustinentibus.* — ἀντὶ τοῦ φ. τ. Dem. Olynth. 3. p. 35. ὑπήκουε δὲ ὁ ταύτην τὴν χώραν (Atticam) ἔχων αὐτοῖς βασιλεύς, ὥσπερ ἐστὶ προσῆκον βάρβαρον Ἕλλησι. cf. Iustin. VIII, 1. — ἐν τῷ μέρει. infr. c. 2, 1 ἐν μέρει. cf. ad Arr. III, 1, 4.

5. τῆς . . στρατιᾶς, pendet ab ἡγεμών. nihil saepius fit, quam ut duo Genitivi ut h. l. ex uno aliquo nomine aptentur. Dem. Olynth. 2. p. 19. τούτων οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν, *quorum nunc non video tempus esse dicendi.* hinc nostra converte: *summus totius Graeciae praefectus designatus castrorum cum Persa conferendorum s. exercitus ducendi.* nihili est mutatio στρατείας. quod superest de numero singulari τὸν Πέρσην v. Bernh. Synt. p. 59 sq.

6. ὡς . . σκέψασθαι. cf. ad Xen. IV, 3. Arrian. I. c. 2, 1. — τῆς γε οὐδὲ ὑμᾶς αὐτοὺς β. ad expeditionem profectus ex Macedonia *ne vos quidem solos bene alere valida.* αὐτὸς igitur i. q. μόνος. v. ad Lucian. I, 1. Xen. III, 19.

ὑμετέρᾳ ἀρχῇ προσέθηκα καὶ τὴν Αἰολίδα πᾶσαν καὶ Φρύγας ἀμφοτέρους καὶ Λυδοὺς καὶ Μίλητον εἷλον πολιορκίᾳ· τὰ δὲ ἄλλα πάντα
8 ἑκόντα προσχωρήσαντα λαβὼν ὑμῖν καρποῦσθαι ἔδωκα. καὶ τὰ ἐξ Αἰγύπτου καὶ Κυρήνης ἀγαθά, ὅσα ἀμαχεὶ ἐκτησάμην, ὑμῖν ἔρχεται· ἥ τε κοίλη Συρία καὶ ἡ Παλαιστίνη καὶ ἡ μέση τῶν ποταμῶν ὑμέτερον κτῆμά εἰσι· καὶ Βαβυλὼν καὶ Βάκτρα καὶ Σοῦσα ὑμέτερα· καὶ ὁ Λυδῶν πλοῦτος καὶ οἱ Περσῶν θησαυροὶ καὶ τὰ Ἰνδῶν ἀγαθὰ καὶ
9 ἡ ἔξω θάλασσα ὑμέτερα· ὑμεῖς σατράπαι, ὑμεῖς στρατηγοί, ὑμεῖς ταξιάρχαι· ὡς ἔμοιγε αὐτῷ τί περίεστιν ἀπὸ τούτων τῶν πόνων, ὅτι μὴ αὕτη ἡ πορφύρα καὶ τὸ διάδημα τοῦτο; κέκτημαι δὲ ἰδίᾳ οὐδέν, οὐδὲ ἔχει τις ἀποδεῖξαι θησαυροὺς ἐμούς, ὅτι μὴ ταῦτα ὑμέτερα κτήματα ἢ ὅσα ἕνεκα ὑμῶν φυλάττεται. ἐπεὶ οὐδὲ ἔστιν ἰδίᾳ μοι ἐς ὅ τι φυλάξω αὐτοὺς σιτουμένῳ τε τὰ αὐτὰ ὑμῖν σιτία καὶ ὕπνον τὸν αὐτὸν αἱρουμένῳ· καί τοι οὐδὲ σιτία ἐμοὶ δοκῶ τὰ αὐτὰ τοῖς τρυφῶσιν ὑμῶν σιτεῖσθαι· προαγρυπνῶν δὲ ὑμῶν οἶδα, ὡς καθεύδειν ἔχετε ὑμεῖς.

1 2. Ἀλλὰ ταῦτα γὰρ ὑμῶν πονούντων καὶ ταλαιπωρουμένων ἐκτησάμην αὐτὸς ἀπόνως καὶ ἀταλαιπώρως ἐξηγούμενος. καὶ τίς ὑμῶν ἢ πονήσας οἶδεν ἐμοῦ μᾶλλον ἢ ἐγὼ ὑπὲρ ἐκείνου; ἄγε δὴ καὶ ὅτῳ τραύματα ὑμῶν ἐστί, γυμνώσας αὐτὰ ἐπιδειξάτω καὶ ἐγὼ τἀμὰ ἐπι-
2 δείξω ἐν μέρει· ὡς ἔμοιγε οὐκ ἔστιν ὅ τι τοῦ σώματος, τῶν γε δὴ ἔμπροσθεν μερῶν, ἄτρωτον ὑπολέλειπται· οὐδὲ ὅπλον τι ἔστιν ἢ ἐκ χειρὸς ἢ τῶν ἀφιεμένων, οὗ γε οὐκ ἴχνη ἐν ἐμαυτῷ φέρω· ἀλλὰ καὶ ξίφει ἐκ χειρὸς τέτρωμαι καὶ τετόξευμαι ἤδη καὶ ἀπὸ μηχανῆς βέβλημαι, καὶ λίθοις πολλάχῃ καὶ ξύλοις παιόμενος ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας δόξης καὶ τοῦ ὑμετέρου πλούτου νικῶντας ὑμᾶς ἄγω διὰ

---

7. κρατήσας. cf. ad Arrian. I. c. 1, 6. — Φρ. ἀμφοτέρους, dicit incolas maioris et minoris Phrygiae, alterius utpote Hellesponto propioris a Strabone Plinioque etiam Hellespontiae vocatae, quae Troada complectitur, alterius ab Hellesponto remotioris sub Bithynia circa Olympum habitatae.

8. ὑμῖν ἔρχεται, de rebus inanimatis, *vobis adferuntur*. Xen. Hier. I, 13. ἔρχεται αὐτοῖς τὰ τοιαῦτα καὶ οἰκοι μένουσι. sic de bonis haereditariis Herod. II, 36, 2 ibique Interpp. Cic. p. Flacc. 36. *hereditatem, quae ad utrumque lege venisset* ctt. de Invent. I, 45. *neque emisti* (equum) *neque hereditate venit.* — ἡ μέση τ. π. *Mesopotamia*, quam ab oriente Tigris flumen claudit, ab occidente Euphrates.

9. ὅτι μή. v. ad Arrian. I. c. 1, 6. — πορφύρα, h. e. ἐσθὴς περιπόρφυρος, clavus ille purpureus tunicarum, etiam Persarum et Romanorum regium insigne. ceterum Lucianus supra dial. mort. IV, 6 eundem Alexandrum tangit taeniam candidam purpureamque vestem gerentem. — ἐπεὶ οὐδὲ ἔστιν, *quandoquidem non est, quippe qui non habeam*. supra Arr. I. c. 5, 10. cf. M. §. 618. — προαγρυπνῶν ctt. *vigilando quod ego quidem vos anteeo, dormiendi copiam video esse vobis.*

c. 2, 1. ἀλλὰ . . γάρ, *at enim*. ἀλλὰ ad sensum voci ἐκτησάμην adstruendam est, sed particulae illae quamquam duas proprie orationis partes indicantes, in unum solent confundi et cum ironia quadam vel corrigentis esse vel opponentis. nos: aber freilich wohl; aber vielleicht etwa. — ἀπόνως, idem fere quod modo legimus ἀμαχεί. — τίς ὑμῶν ἢ . . ἢ -, *quis vestrum scit, utrum ipse plures pro me labores subierit, an ego pro illo?*

2. οὐκ ἔ. ὅ τι, i. e. οὐδὲν τοῦ σ. vid. ad Arrian. I. c. 2, 7. c. 4, 1. — ὅπλον ἐκ χειρός, *quae cominus tractantur arma*, quibus opposita sunt τὰ ἀφιέμενα, *tela ex machinis atque eminus excussa*. hinc λίθοι, βέλη ἀπὸ μηχανῆς ἀφιέμενα. — παιόμενος, ut latine *ferire* pariter dicunt π. μαχαίρᾳ, σιδήρῳ, ποσίν, ac π. λόγχαις, τοξεύμασιν, σφενδόναις. cf. ad Arr. II. c. 2, 1.

πάσης γῆς καὶ θαλάσσης καὶ πάντων ποταμῶν καὶ ὀρῶν καὶ πεδίων πάντων· γάμους τε ὑμῖν τοὺς αὐτοὺς γεγάμηκα καὶ πολλῶν ὑμῶν οἱ 3
παῖδες συγγενεῖς ἔσονται τοῖς παισὶ τοῖς ἐμοῖς· ἔτι τε ᾧ χρέα ἦν, οὐ πολυπραγμονήσας ἐφ' ὅτῳ ἐγένετο, τοσαῦτα μὲν μισθοφορούντων, τοσαῦτα δὲ ἁρπαζόντων, ὁπότε ἐκ πολιορκίας ἁρπαγὴ γίγνοιτο, διαλέλυμαι ταῦτα· στέφανοί τε χρυσοῖ τοῖς πλείστοις ὑμῶν εἰσὶ μνημεῖα τῆς τε ἀρετῆς τῆς ὑμετέρας καὶ τῆς ἐξ ἐμοῦ τιμῆς ἀθάνατα. ὅστις δὲ 4
δὴ καὶ ἀπέθανεν, εὐκλεὴς μὲν αὐτῷ ἡ τελευτὴ ἐγένετο, περιφανὴς δὲ ὁ τάφος· χαλκαῖ δὲ αἱ εἰκόνες τῶν πλείστων οἴκοι ἑστᾶσιν, οἱ γονεῖς δ' ἔντιμοί εἰσι λειτουργίας τε ξυμπάσης καὶ εἰσφορᾶς ἀπηλλαγμένοι· οὐ γάρ τίς γε φεύγων ὑμῶν ἐτελεύτα ἐμοῦ ἄγοντος. καὶ νῦν τοὺς 5
ἀπολέμους ὑμῶν ζηλωτοὺς τοῖς οἴκοι ἀποπέμψειν ἔμελλον· ἀλλ' ἐπειδὴ πάντες ἀπιέναι βούλεσθε, ἄπιτε πάντες· καὶ ἀπελθόντες οἴκοι ἀπαγγείλατε, ὅτι τὸν βασιλέα ὑμῶν Ἀλέξανδρον, νικῶντα μὲν Πέρσας καὶ Μήδους καὶ Βακτρίους καὶ Σάκας, καταστρεψάμενον δὲ Οὐξίους τε καὶ Ἀραχώτους καὶ Δράγγας, κεκτημένον δὲ καὶ Παρθυαίους καὶ Χωρασμίους καὶ Ὑρκανίους ἔστε ἐπὶ τὴν θάλασσαν τὴν 6
Κασπίαν, ὑπερβάντα δὲ τὸν Καύκασον ὑπὲρ τὰς Κασπίας πύλας καὶ περάσαντα Ὠξόν τε τὸν ποταμὸν καὶ Τάναϊν, ἔτι δὲ τὸν Ἰνδὸν ποταμὸν οὐδενὶ ἄλλῳ ὅτι μὴ Διονύσῳ περαθέντα, καὶ τὸν Ὑδάσπην καὶ τὸν Ἀκεσίνην καὶ τὸν Ὑδραώτην, καὶ τὸν Ὕφασιν διαπεράσαντα 7
ἄν, εἰ μὴ καὶ ὑμεῖς ἀπωκνήσατε, καὶ εἰς τὴν μεγάλην θάλασσαν κατ' ἀμφότερα τοῦ Ἰνδοῦ τὰ στόματα ἐμβαλόντα καὶ διὰ τῆς Γαδρωσίας τῆς ἐρήμου ἐλθόντα, ᾗ οὐδείς πω πρόσθεν ξὺν στρατιᾷ ἦλθε, καὶ Καρμανίαν ἐν παρόδῳ προσκτησάμενον καὶ τὴν Ὠρειτῶν γῆν· περιπεπλευκότος δὲ ἤδη αὐτῷ τοῦ ναυτικοῦ τὴν ἀπ' Ἰνδῶν γῆς εἰς Πέρ-

---

3. ἐφ' ὅτῳ ἐγ. non sedulo inquirens, *cuius boni causa* s. *in quem usum fuerit contractum* (aes alienum). comp. ad Xen. I, 10. II, 16. — ὁπότε .. γίγνοιτο, *quandocumque fieret.* de Optat. v. B. §. 139, 14. not. 6. — στέφανοί τε χρ. ab agonibus translatum (στεφανίτης ἀγών), quamquam et ipsi cives bene de re publica meriti coronas adepti perhibentur, unde Soph. Antig. 695. οὐχ ἥδε (Ἀντιγόνη) χρυσῆς ἀξία τιμῆς λαχεῖν;

4. λειτουργίας. vox ipsa (λήϊτον, λεῖτον) significat *munera publica*, munera quae communi omnium utilitati deferebantur (λειτουργεῖν, ut Grammatici interpretantur, εἰς τὸ δημόσιον ἐργάζεσθαι, τῷ δημοσίῳ ὑπηρετεῖν), cuiusmodi erant ἐστίασις, τριηραρχία, γυμνασιαρχία, χορηγία (cf. ad Diod. IV, 3 extr.). cum his ne confundas alterum genus εἰσφοράν, quae, nisi qui testata inopia premeretur, unicuique erat iniuncta habito censu, ut nos diceremus Vermögenssteuer. ceterum cf. Wolf. Proleg. Dem. or. adv. Lept. p. XCIV. Boeckh Sttshhltg. d. Ath. I. p. 481 sq. — οὐ γάρ τίς γε φ. *nam nemo quidem vestrum cecidit fugiens.* adimit quippe γὲ particula quod graviter sit adseverantis. igitur minus recte Ellendt: *nec sane quidem vestrum quisquam* ctt. tum scribendum fuisset: οὐ γὰρ δὴ φεύγων γε ctt.

5. ὅτι τὸν β. pluribus hac in periodo oratorie exaggeratis ad se ornandum rex terminos denique orationis ponit §. 7 verbis ἀπολιπόντες οἴχεσθε, quae arcte coniungenda cum nostris.

6. Κασπίας πύλας. cf. supra ad Athen. I, 1. — Διονύσῳ. Bacchi triumphos Indicos quum aliis tum poetis veteribus celebratissimos esse constat. copiosius de hac expeditione facundissimis instructa fabellis Diod. II. c. 38. φασὶ γὰρ παραγενέσθαι τὸν Διόνυσον ἐκ τῶν πρὸς ἑσπέραν τόπων ἔχοντα δύναμιν ἀξιόλογον· ἐπελθεῖν δὲ τὴν Ἰνδικὴν ἅπασαν μηδεμιᾶς οὔσης ἀξιολόγου πόλεως τῆς δυναμένης ἀντιτάξασθαι ctt.

σας θάλασσαν ὡς εἰς Σοῦσα ἐπανηγάγετε, ἀπολιποντες οἴχεσθε παραδόντες φυλάσσειν τοῖς νενικημένοις βαρβάροις. ταῦτα ὑμῖν καὶ πρὸς ἀνθρώπων ἴσως εὐκλεᾶ καὶ πρὸς θεῶν ὅσια δήπου ἔσται ἀπαγγελθέντα· ἄπιτε."

8 Ταῦτα εἰπὼν κατεπήδησέ τε ἀπὸ τοῦ βήματος ὀξέως καὶ ἐς τὰ βασίλεια παρελθὼν οὔτε ἐθεράπευσε τὸ σῶμα οὔτε τῳ ὤφθη τῶν ἑταίρων· ἀλλ' οὐδὲ ἐς τὴν ὑστεραίαν ὤφθη· τῇ τρίτῃ δὲ καλέσας εἴσω τῶν Περσῶν τοὺς ἐπιλέκτους τάς τε ἡγεμονίας αὐτοῖς τῶν τάξεων διένειμε καὶ ὅσους συγγενεῖς ἀπέφηνε, τούτοις δὲ νόμιμον ἐποίησε φιλεῖν αὐτὸν μόνοις. οἱ δὲ Μακεδόνες ἔν τε τῷ παραυτίκα ἀκούσαντες τῶν λόγων ἐκπεπληγμένοι σιγῇ ἔμενον αὐτοῦ πρὸς τῷ βήματι, οὐδέ τις ἠκολούθησε τῷ βασιλεῖ ἀπαλλαττομένῳ ὅτι μὴ οἱ ἀμφ' αὐτὸν ἑταῖροί τε καὶ οἱ σωματοφύλακες· οἱ δὲ πολλοὶ οὔτε μένοντες ὅ τι πράττουσιν ἢ λέγουσιν εἶχον, οὔτε ἀπαλλάττεσθαι ἤθελον.

---

7. ἐπανηγάγετε, h. l. sensu intransitivo ἐπάνοδον ποιεῖσθαι, ut centies et huius verbi composita et id genus alia, supra Arrian. I. c. 1, 1. Diod. III, 2 med. ἐπιστρέφειν. ibid. III, 3 extr. IV, 3 extr. 4 extr. ἀνακάμπτειν. cf. ad Aelian. XXII. Long. II, 2. Athen. II, 8. Pausan. III, 4. IX, 2 extr. add. Bernh. Synt. p. 339 sq. — ἴσως, h. l. ut saepius pro Attica quadam urbanitate atque ironia *scilicet*, *utique*, *sane quidem*. comp. οἶμαι interpositum (v. supra ad Lucian. dial. m. VII, 1. VIII, 4. ad Long. II, 4.) mox δήπου *nimirum*, et Lat. *fortasse*. Hor. Sat. I, 6, 98 ibique Heind.

8. οὐδὲ ἐς τὴν ὑ. vid. supra ad Arrian. I. c. 1, 1. add. Pausan. VII, 3. — τούτοις δέ, observa δὲ adversativum ex constanti fere usu Arriani sic in Apodosi positum, quantumvis supervacuum crediderís. lib. I, 23, 4. ὅσοι δὲ . . καταλαμβάνοιντο, τούτους δὲ σώζειν παρήγγειλεν. ibique Interpp. — φιλεῖν, ad viros translatum eorumque necessitudinem i. q. ἀγαπᾶν, ξενίζειν, κατὰ ψυχήν, ut aiunt Grammatici, φιλεῖν; nostro vero loco i. q. κυνεῖν, τοῖς χείλεσιν ἀσπάζεσθαι. — οἱ σωματοφ. Krüg. Articulum uncis sepsit. v. ad Xen. III, 1. — οὔτε μένοντες, exspectes vel ordine inverso, de quo hyperbati genere Herm. ad Soph. Trach. 382. Xen. Anab. VII, 2, 33. ὅπως ζῴην μὴ εἰς τὴν ἐκείνου τράπεζαν ἀποβλέπων. comp. ad Long. II, 3, vel potius: οὔτε μένειν ὅ τι πρ. ἢ λ. ἀγνοοῦντες, οὔτε ἀπαλλ. ἤθελον.

[In Corinthiorum Socios Oratio funebris.]

ΛΥΣΙΟΥ ΑΘΗΝΑΙΟΥ.

Εἰ μὲν ἡγούμην οἷόν τε εἶναι, ὦ παρόντες ἐπὶ τῷδε τῷ τάφῳ, 1
λόγῳ δηλῶσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετήν, ἐμεμψάμην
ἂν τοῖς ἐπαγγείλασιν ἐπ' αὐτοῖς ἐξ ὀλίγων ἡμερῶν λέγειν. ἐπειδὴ δὲ
πᾶσιν ἀνθρωποις ὁ πᾶς χρόνος οὐχ ἱκανὸς λόγον ἴσον παρασκευάσαι
τοῖς τούτων ἔργοις, διὰ τοῦτο καὶ ἡ πόλις μοι δοκεῖ, προνοουμένη
τῶν ἐνθάδε λεγόντων, ἐξ ὀλίγου τὴν πρόσταξιν ποιεῖσθαι, ἡγουμένη
οὕτως ἂν μάλιστα συγγνώμης αὐτοὺς παρὰ τῶν ἀκουσάντων τυγχά-
νειν. ὅμως δὲ ὁ μὲν λόγος μοι περὶ τούτων, ὁ δ' ἀγὼν οὐ πρὸς τὰ 2
τούτων ἔργα, ἀλλὰ πρὸς τοὺς πρότερον ἐπ' αὐτοῖς εἰρηκότας. τοσαύ-
την γὰρ ἀφθονίαν παρεσκεύασεν ἡ τούτων ἀρετὴ καὶ τοῖς ποιεῖν δυ-
νομένοις καὶ τοῖς εἰπεῖν βουληθεῖσιν, ὥστε καλὰ μὲν πολλὰ τοῖς προ-

---

Lysias filius Cephali Syracusii, ortu Atheniensis anno 458 a. C. Olymp. 80, 3 in lucem editus est omnibus ex re avita vivendi copiis abundans. quindecim annos natus cum Herodoto historico Thurios profectus, sex subinde septemve lustra peregrinator in patriam rediit et ipsius moribus artibusque Tisiae (ad. Diod. II, 1) scholis rhetoricis excultis et rebus publicis aliquantum mutatis. regnabant enim triginta viri, a quibus exsul factus annuus, e Megaride mox redux cum Socrate vixit familiarissime et diem denique obiit octogenarius a. 378. Orationes Lysias scripsit quadringentas viginti quinque teste Plutarcho, in iisque egregie res Atheniensium civiles depictas qui accuratius examinaverit profitebitur. quod quanto minus velim de panegyrica dictum, qualis haec est oratio (Ἐπιτάφιος τοῖς Κορινθίων βοηθοῖς), tanto eam spero intellectu faciliorem vobis fore legentibus. continet autem laudes Atheniensium initio belli Corinthiaci occisorum ($\frac{395}{394}$ a. C.), quas ut rite Lysias persequatur, ab ovo ut aiunt ordiendum ceuset celebratissima quaeque, quibus et Graeciae et omnium rerum Graecarum immortalitas maxime parta, breviter atque in transcursu adtingens. — Edd. I. I. Reiske. Lips. 1772. 8. I. Bekker. Berol. 1823. 8. cf. Wolf ad Dem. Lept. p. 363. Bernhardy w. Synt. p. 310. quibus vereor ne nimis cupide νοθείας condemnetur oratio nostra.

1. τῶν ἐνθάδε κ. i. e. *in Ceramico* sepultorum, bello Corinthiaco caesorum. v. ad Plut. V, 1. — ἐμεμψάμην ἄν. cf. ad Lucian. dial. m. IV, 1. add. M. §. 508. b. — ἐξ ὀλίγων ἡμερῶν λέγειν, quae quamquam copulanda, in mente tenet quod modo dixerat τοῖς ἐπαγγείλασιν, cui verbo etiam magis videatur ἐξ Praepositio convenire, quum λέγειν, εἰπεῖν ἐκ τινος fere *conditionem* vel *causam* indicet, *cur quis dicat*. iam vero pro iis, *qui mandata dederant paucis ante diebus* per synchysin quandam sententiarum ipse dicitur *inde a paucis diebus disserens*, h. e. *orationi exercendae vacans*.

2. τοῖς ποιεῖν δ. *canendi*, *carminum faciendorum potentibus*, quibus

τέροις περὶ αὐτῶν εἰρῆσθαι, πολλὰ δὲ καὶ ἐκείνοις παραλελεῖφθαι, ἱκανὰ δὲ καὶ τοῖς ἐπιγιγνομένοις ἐξεῖναι εἰπεῖν. οὔτε γὰρ γῆς ἄπειροι, οὔτε θαλάττης οὐδεμιᾶς, πανταχοῦ δὲ καὶ παρὰ πᾶσιν ἀνθρώποις οἱ τὰ αὐτῶν πενθοῦντες κακὰ τὰς τούτων ἀρετὰς ὑμνοῦσι.

3 Πρῶτον μὲν οὖν τοὺς παλαιοὺς κινδύνους τῶν προγόνων δίειμι μνήμην παρὰ τῆς φήμης λαβών. ἄξιον γὰρ πᾶσιν ἀνθρώποις κἀκείνων μεμνῆσθαι, ὑμνοῦντας μὲν ἐν ταῖς ᾠδαῖς, λέγοντας δ' ἐν ταῖς τῶν ἀγαθῶν μνήμαις, τιμῶντας δ' ἐν τοῖς καιροῖς τοῖς τοιούτοις, παιδεύοντας δ' ἐν τοῖς τῶν τεθνεώτων ἔργοις τοὺς ζῶντας.

4 Ἀμαζόνες γὰρ Ἄρεος μὲν τὸ παλαιὸν ἦσαν θυγατέρες, οἰκοῦσαι δὲ παρὰ τὸν Θερμώδοντα ποταμόν, μόναι μὲν ὡπλισμέναι σιδήρῳ τῶν περὶ αὐτάς, πρῶται δὲ τῶν πάντων ἐφ' ἵππους ἀναβᾶσαι, οἷς ἀνελπίστως δι' ἀπειρίαν τῶν ἐναντίων ἤρουν μὲν τοὺς φεύγοντας, ἀπέλειπον δὲ τοὺς διώκοντας· ἐνομίζοντο δὲ διὰ τὴν εὐψυχίαν μᾶλλον ἄνδρες, ἢ διὰ τὴν φύσιν γυναῖκες· πλέον γὰρ ἐδόκουν 5 τῶν ἀνδρῶν ταῖς ψυχαῖς διαφέρειν, ἢ ταῖς ἰδέαις ἐλλείπειν. ἄρχουσαι δὲ πολλῶν ἐθνῶν, καὶ ἔργῳ μὲν τοὺς περὶ αὐτὰς καταδεδουλωμένας, λόγῳ δὲ περὶ τῆσδε τῆς χώρας ἀκούουσαι κλέος μέγα, πολλῆς δόξης καὶ μεγάλης ἐλπίδος χάριν παραλαβοῦσαι τὰ μαχιμώτατα τῶν ἐθνῶν ἐστράτευσαν ἐπὶ τήνδε τὴν πόλιν. τυχοῦσαι δ' ἀγαθῶν ἀνδρῶν ὁμοίας ἐκτήσαντο τὰς ψυχὰς τῇ φύσει, καὶ ἐναντίαν τὴν δόξαν τῆς προτέρας λαβοῦσαι μᾶλλον ἐκ τῶν κινδύνων ἢ ἐκ τῶν σωμά- 6 των ἔδοξαν εἶναι γυναῖκες. μόναις δ' αὐταῖς οὐκ ἐξεγένετο ἐκ τῶν ἡμαρτημένων μαθούσαις περὶ τῶν λοιπῶν ἄμεινον βουλεύσασθαι, οὐδ'

---

oppositi οἱ εἰπεῖν βουληθέντες. iuvat comparare λόγος καὶ ἔργον, λέγειν καὶ πράττειν frequenter coniuncta, ut Lat. *factum et dictum, facere et dicere*, ad universam agendi sentiendique rationem alicuius complectendam. v. supra Arr. IV. c. 2 extr. et saepius. — οἱ τὰ αὐτῶν κ. multi corrigunt αὐτῶν, quo quamquam apto huic loco non indigemus, modo capias verba ex mente aut cogitatione oratoris dicta. cf. B. §. 127, 3. n. 4 ibique eit. — ὑμνοῦσι. ὕμνος, [illegible] de solis diis solemnis, ὑμνεῖν promiscue de rebus et coelestibus et terrestribus. eodem usu *cantare* ap. Ciceronem non adeo infrequens.

3. ὑμνοῦντας ctt. de hoc genere Attractionis per casuum enallagen subito interruptae saepius monitum. v. ad Pausan. VIII, 3. IX, 2. all. — ᾠδαῖς, in carminibus praesertim iis, quae inter convivia ad citharam canebantur, quibusque laudes heroum ac deorum in posteros propagare mos erat. altera ratio ea est, qua narrabimus (λέγοντας) istos in commemoratione quorumlibet virorum bonorum. paucis ut complectar, nihil fere aliud est, quam quod similibus oppositis Xen. Cyrop. I, 4, 45. πάντες τὸν Κῦρον διὰ στόματος εἶχον καὶ ἐν λόγῳ καὶ ἐν ᾠδαῖς. ibid. II, 2, 13.

4. ὡπλισμέναι σ. Xen. Anab. IV, 4, 16. φαρέτραν καὶ σάγαριν οἵαν περ καὶ αἱ Ἀμαζόνες ἔχουσιν. Virg. Aen. XI, 660. *et pictis bellantur Amazones armis.* — ἐφ' ἵππ. ἀναβᾶσαι. cf. ad Arrian. I. c. 5, 5. — οἷς .. ἤρουν, *quibus subito provectae fugientes persequendo adsequebantur.* sic iubet quod his opponitur ἀπέλειπον δὲ τ. δ. — ψυχαῖς, *vi animi*, ἰδέαις, *indole atque natura corporis.*

5. παραλαβοῦσαι τὰ μ. Amazones et ipsae ex Scythico genere exortae alias Scytharum gentes in societatem adscivisse perhibentur. Iustin. II, 4.

6. οὐκ ἐξεγένετο, impers. nihil igitur aliud quam οὐκ ἐνῆν, οὐκ ἐνεχώρει. v. supra ad Xen. I, 11. — ἐκ τῶν ἡμ. μαθ. respicere videtur proverbium inde ab Hesiodo opp. et d. 216. Herodotoque I, 207 passim obvium. Plat. Symp. p. 222. b. σοὶ λέγω .. ἀπὸ τῶν ἡμετέρων παθημάτων γνόντα εὐλαβηθῆναι καὶ μή, κατὰ τὴν παροιμίαν, παθόντα γνῶναι. Soph. Trach.

οἴκαδε ἀπελθούσαις ἀπαγγεῖλαι τήν τε σφετέραν αὐτῶν δυστυχίαν καὶ τὴν τῶν ἡμετέρων προγόνων ἀρετήν. αὐτοῦ γὰρ ἀποθανοῦσαι καὶ δίκην τῆς ἀνοίας δοῦσαι τῆσδε μὲν τῆς πόλεως διὰ τὴν ἀρετὴν ἀθάνατον μνήμην ἐποιήσαντο, τὴν δὲ ἑαυτῶν πατρίδα διὰ τὴν ἐνθάδε συμφορὰν ἀνώνυμον κατέστησαν. ἐκεῖναι μὲν οὖν τῆς ἀλλοτρίας ἀδίκως ἐπιθυμήσασαι τὴν ἑαυτῶν δικαίως ἀπώλεσαν. Ἀδράστου δὲ καὶ Πολυνείκους ἐπὶ Θήβας στρατευσάντων καὶ ἡττηθέντων μάχῃ, οὐκ ἐώντων Καδμείων θάπτειν τοὺς νεκρούς, Ἀθηναῖοι ἡγησάμενοι ἐκείνους μέν, εἴ τι ἠδίκουν, ἀποθανόντας δίκην ἔχειν τὴν μεγίστην, τοὺς δὲ κάτω τὰ αὐτῶν οὐ κομίζεσθαι, ἱερῶν δὲ μιαινομένων τοὺς ἄνω θεοὺς ἀσεβεῖσθαι, τὸ μὲν πρῶτον πέμψαντες κήρυκας ἐδέοντο αὐτῶν δοῦναι τὴν τῶν νεκρῶν ἀναίρεσιν, νομίζοντες ἀνδρῶν μὲν ἀγαθῶν εἶναι ζῶντας τοὺς ἐχθροὺς τιμωρήσασθαι, ἀπιστούντων δὲ σφίσιν αὐτοῖς ἐν τοῖς τῶν τεθνεώτων σώμασι τὴν εὐψυχίαν ἐπιδείκνυσθαι. οὐ δυνάμενοι δὲ τούτων τυχεῖν ἐστράτευσαν ἐπ' αὐτούς, οὐδεμιᾶς διαφορᾶς πρότερον πρὸς Καδμείους ὑπαρχούσης, οὐδὲ τοῖς ζῶσιν Ἀργείων χαριζόμενοι, ἀλλὰ τοὺς τεθνεῶτας ἐν τῷ πολέμῳ ἀξιοῦντες τῶν νομιζομένων τυγχάνειν πρὸς τοὺς ἑτέρους ὑπὲρ ἀμφοτέρων ἐκινδύνευσαν· ὑπὲρ μὲν τῶν, ἵνα μηκέτι εἰς τοὺς τεθνεῶτας ἐξαμαρτάνοντες πλείω περὶ τοὺς θεοὺς ἐξυβρίσωσιν, ὑπὲρ δὲ τῶν ἑτέρων, ἵνα μὴ πρότερον εἰς τὴν αὐτῶν ἀπέλθωσι πατρίου τιμῆς ἀτυχήσαντες καὶ Ἑλληνικοῦ νόμου στερηθέντες καὶ κοινῆς ἐλπίδος ἡμαρτηκότες. ταῦτα διανοηθέντες καὶ τὰς ἐπὶ τῷ πολέμῳ τύχας κοινὰς ἁπάντων ἀνθρώπων νομίζοντες, πολλοὺς μὲν πολεμίους κτώμενοι, τὸ δὲ δίκαιον ἔχοντες σύμμαχον ἐνίκων μαχόμενοι. καὶ οὐχ ὑπὸ

7 8 9 10

---

142. μή τ' ἐκμάθοις παθοῦσα. — ἀθάνατον, mox ἀνώνυμον, id continet quod ex dementia Amazonum consequitur, ut utrumque usu proleptico vim sustineat Praedicati. tenendum autem μνήμην ex iis voculis esse, quae Articulo facile careant. alias exspectes ἀθ. τὴν μνήμην s. τὴν μν. ἀθ. ἐποιήσαντο. vid. §. 3. comp. infra §. 81.

7. ἠδίκουν, *si quid deliquissent.* cum conditione enuntiatur res e praeterito tempore continuata in praesens. M. §. 508. b. — δίκην ἔχειν, *illis satisfactum esse, illos suas sibi poenas habere.* Dem. Mid. p. 521. e. τὴν ὑπὲρ αὐτῶν δίκην ἔχουσιν οἵ γε πεισθέντες. comp. ad Plut. IV, 4 extr. minus accurate h. l. dixisset δ. δοῦναι. — νομίζεσθαι, i. q. ἀπολαμβάνειν, ἀποφέρειν (Xen. V, 34). comp. infra §. 15 εὑρίσκεσθαι. prius tamen illud h. l. aptissimum utpote solemne de honoribus mortuis rite tribuendis.

8. ἐπιδείκνυσθαι, dicuntur quicunque speciem aliquam virtutis edunt. Aesop. f. III. comp. ἀποδείξασθαι, Arrian. III. c. 1 init. — τῶν νομιζομένων, quae apud mortuos sunt sancita, ταφῆς τῆς νομιζομένης.

9. ὑπὲρ μ. τῶν, Articulus pro demonstr. Pron. τούτων. quem usum quamquam rariorem apud Atticos nolim tantopere crimineris (vid. Bernh. Synt. p. 310), ut inde aliquid extrices, quo arguatur oratio subditicia et non Lysiaca. ut alia taceam (cf. M. §. 287), quid facias eiusdem Lysiae oratione adv. Pancleonem §. 8? καὶ τόν, ὃς ἔφη δεσπότης τούτου εἶναι, παρέξομαι (μάρτυρα). — ἐξυβρίσωσιν .. ἀπέλθωσι, Optativus suo iure h. l. ferendus sententiam pendentem faceret ex cogitatione pugnantium, nunc vero res significatur effecta, tanquam in ipsa actione posita. cf. Herm. ad Viger. p. 850. Thuc. I, 91. ἐφοβεῖτο μὴ οἱ Λακεδαιμόνιοι σφᾶς οὐκέτι ἀφῶσιν. VI, 42. ἐκλήρωσαν, ἵνα μήτε ἀπορῶσιν ὕδατος .. καὶ ῥᾴους ἄρχειν ὦσι. — πρότερον, prius quam res Atheniensibus acta esset, i. e. ut infecta re in patriam ne redirent. cf. ad Arrian. I, 1, 2. ubi Ellipsis membri comparativi violentior.

τῆς τύχης ἐπαρθέντες μείζονος παρὰ Καδμείων τιμωρίας ἐπεθύμησαν, ἀλλ' ἐκείνοις μὲν ἀντὶ τῆς ἀσεβείας τὴν ἑαυτῶν ἀρετὴν ἐπεδείξαντο, αὐτοὶ δὲ λαβόντες τὰ ἆθλα ὧνπερ ἕνεκα ἀφίκοντο, τοὺς Ἀργείων νεκροὺς ἔθαψαν ἐν τῇ αὐτῶν Ἐλευσῖνι.

11 Περὶ μὲν οὖν τοὺς ἀποθανόντας τῶν ἑπτὰ ἐπὶ Θήβας τοιοῦτοι γεγόνασιν· ὑστέρῳ δὲ χρόνῳ, ἐπειδὴ Ἡρακλῆς μὲν ἐξ ἀνθρώπων ἠφανίσθη, οἱ δὲ παῖδες αὐτοῦ ἔφευγον μὲν Εὐρυσθέα, ἐξηλαύνοντο δὲ ὑπὸ πάντων τῶν Ἑλλήνων, αἰσχυνομένων μὲν τοῖς ἔργοις, φοβουμένων δὲ τὴν Εὐρυσθέως δύναμιν, ἀφικόμενοι εἰς τήνδε τὴν πόλιν 12 ἱκέται ἐπὶ τὸν βωμὸν ἐκαθέζοντο· ἐξαιτουμένου δὲ αὐτοὺς Εὐρυσθέως Ἀθηναῖοι οὐκ ἠθέλησαν ἐκδοῦναι, ἀλλὰ τὴν Ἡρακλέους ἀρετὴν μᾶλλον ᾠδοῦντο, ἢ τὸν κίνδυνον τὸν ἑαυτῶν ἐφοβοῦντο· καὶ ἠξίουν ὑπὲρ τῶν ἀσθενεστέρων μετὰ τοῦ δικαίου διαμάχεσθαι μᾶλλον, ἢ τοῖς δυναμένοις χαριζόμενοι τοὺς ὑπ' ἐκείνων ἀδικουμένους 13 ἐκδοῦναι. ἐπιστρατεύσαντος δ' Εὐρυσθέως μετὰ τῶν ἐν ἐκείνῳ τῷ χρόνῳ Πελοπόννησον ἐχόντων, οὐκ ἐγγὺς τῶν δεινῶν γενόμενοι μετέγνωσαν, ἀλλὰ τὴν αὐτὴν εἶχον γνώμην ἥνπερ πρότερον, ἀγαθὸν μὲν οὐδὲν ἰδίᾳ ὑπὸ τοῦ πατρὸς αὐτῶν πεπονθότες ἐκείνους τ' οὐκ 14 εἰδότες ὁποῖοί τινες ἄνδρες ἔσονται γενόμενοι· δίκαιον δὲ νομίζοντες εἶναι, οὐ προτέρας ἔχθρας ὑπαρχούσης πρὸς Εὐρυσθέα, οὐδὲ κέρδους προκειμένου πλὴν δόξης ἀγαθῆς, τοσοῦτον κίνδυνον ὑπὲρ αὐτῶν ἤραντο, τοὺς μὲν ἀδικουμένους ἐλεοῦντες, τοὺς δ' ὑβρίζοντας μισοῦντες· καὶ τοὺς μὲν κωλύειν ἐπιχειροῦντες, τοῖς δ' ἐπικουρεῖν ἀξιοῦντες, ἡγούμενοι ἐλευθερίας μὲν εἶναι σημεῖον μηδὲν ποιεῖν ἄκοντας, δικαιοσύνης δὲ τοῖς ἀδικουμένοις βοηθεῖν, εὐψυχίας δ' 15 ὑπὲρ τούτων ἀμφοτέρων, εἰ δέοι, μαχομένους ἀποθνήσκειν. τοσοῦτον δ' ἐφρόνουν ἀμφότεροι, ὥσθ' οἱ μὲν μετ' Εὐρυσθέως οὐδὲν

---

10. ἐν τῇ αὐτῶν Ἐ. non templum Cereri Eleusiniae Athenis dicatum intelligi debet, sed ipsa Eleusis pagus Atticae nobilissimus. ceterum Plut. Thes. c. 29. ταφαὶ δὲ τῶν μὲν πολλῶν ἐν Ἐλευθεραῖς δείκνυνται, τῶν δὲ ἡγεμόνων περὶ Ἐλευσῖνα. neque prioribus (ἑνίκων μαχόμενοι) prorsus adsentiens est l. c. ubi Theseus ad sepeliendum sustulisse interfectos dicitur οὐ μάχῃ τῶν Θηβαίων κρατήσας, ἀλλὰ πείσας καὶ σπεισάμενος.

11. ἠφανίσθη, de iis qui subito decedunt de rebus humanis, sublimes abeunt, ita ut non amplius adpareant. Arist. Plut. 741. ὁ θεὸς δ' εὐθέως ἠφάνισεν αὐτόν. Semiramidi haec ex oraculo edita refert Diod. I. c. 14, ἐξ ἀνθρώπων ἀφανισθήσεσθαι καὶ . . ἀθανάτου τεύξεσθαι τιμῆς. — αἰσχυνομένων. ad Xen. VII, 11. τ. ἔργοις, h. e. τοῖς γιγνομένοις. infra §. 25. §. 62.

12. ἠξίουν . . μᾶλλον, *malebant, potius ducebant.* est ex iis locis, quibus verbum ἀξιοῦν eiusque usum ediscas, quum simpliciter *putare, existimare* significat. v. Ind. Buttm. ad Plat. Menon. s. v.

13. ἐν ἐκείνῳ τῷ χ. v. ad Xen. IV, 18. — οὐκ . . μετέγνωσαν, h. e. *quamvis pericula instarent eos non poenituit sententiae, sed* ctt. ubi negatio non suo loco posita videri possit, sed ita solet universam periodum amplecti, ut altera periodus ab altera adversativa eo excipiatur plenius atque amplius. Xen. Mem. I, 2, 39. Κριτίας καὶ Ἀλκιβιάδης οὐκ ἀρέσκοντος αὐτοῖς Σωκράτους ὡμιλησάτην — ἀλλ' εὐθὺς ἐξ ἀρχῆς ὡρμηκότε προεστάναι τῆς πόλεως. cf. Xen. Anab. I, 4, 5. III, 1, 7. — αὐτῶν, intell. τῶν Ἡρακλειδῶν. — ἄνδρες . . γενόμενοι, recte Taylor interpretatur ἀνδρωθέντες, *aliquando ad virilem aetatem adulti.*

14. ἤραντο (κίνδυνον), cf. ad Plut. IV, 2 extr.

15. οἱ μὲν μετ' Εὐρ. legati dicuntur ab Eurystheo ad Athenienses mis-

παρ' ἑκόντων ἐζήτουν εὑρίσκεσθαι, Ἀθηναῖοι δὲ οὐκ ἠξίουν Εὐρυσθέα αὐτὸν ἱκετεύοντα τοὺς ἱκέτας αὐτῶν ἐξελεῖν. παραταξάμενοι δ' ἰδίᾳ δυνάμει τὴν ἐξ ἁπάσης Πελοποννήσου στρατιὰν ἐλθοῦσαν ἐνίκων μαχόμενοι· καὶ τῶν Ἡρακλέους παίδων τὰ μὲν σώματα εἰς ἄδειαν κατέστησαν, ἀπαλλάξαντες δὲ τοῦ δέους καὶ τὰς ψυχὰς ἠλευθέρωσαν, διὰ δὲ τὴν τοῦ πατρὸς ἀρετὴν ἐκείνους τοῖς αὐτῶν κινδύνοις ἐστεφάνωσαν. τοσοῦτον δ' εὐτυχέστεροι παῖδες ὄντες ἐγένοντο τοῦ πα- 16
τρός· ὁ μὲν γάρ, καίπερ ὢν ἀγαθῶν πολλῶν αἴτιος ἅπασιν ἀνθρώποις, ἐπίπονον καὶ φιλόνεικον καὶ φιλότιμον αὐτῷ καταστήσας τὸν βίον τοὺς μὲν ἄλλους ἀδικοῦντας ἐκόλασεν, Εὐρυσθέα δὲ καὶ ἐχθρὸν ὄντα καὶ εἰς αὐτὸν ἐξαμαρτάνοντα οὐχ οἷός τε ἦν τιμωρήσασθαι· οἱ δὲ παῖδες αὐτοῦ διὰ τήνδε τὴν πόλιν τῇ αὐτῇ εἶδον ἡμέρᾳ τήν θ' ἑαυτῶν σωτηρίαν καὶ τὴν τῶν ἐχθρῶν τιμωρίαν.

Πολλὰ μὲν οὖν ὑπῆρχε τοῖς ἡμετέροις προγόνοις μιᾷ γνώμῃ 17
χρωμένοις περὶ τοῦ δικαίου διαμάχεσθαι· ἥ τε γὰρ ἀρχὴ τοῦ βίου δικαία. οὐ γάρ, ὥσπερ οἱ πολλοί, πανταχόθεν συνειλεγμένοι καὶ ἑτέρους ἐκβαλόντες τὴν ἀλλοτρίαν ᾤκησαν, ἀλλ' αὐτόχθονες ὄντες τὴν αὐτὴν ἐκέκτηντο μητέρα καὶ πατρίδα. πρῶτοι δὲ καὶ μόνοι ἐν 18
ἐκείνῳ τῷ χρόνῳ ἐκβαλόντες τὰς παρὰ σφίσιν αὐτοῖς δυναστείας δημοκρατίαν κατεστήσαντο, ἡγούμενοι τὴν πάντων ἐλευθερίαν ὁμόνοιαν εἶναι μεγίστην, κοινὰς δ' ἀλλήλοις τὰς ἐκ τῶν κινδύνων ἐλπίδας ποιήσαντες ἐλευθέραις ταῖς ψυχαῖς ἐπολιτεύοντο, νόμῳ τοὺς ἀγαθοὺς τιμῶντες καὶ τοὺς κακοὺς κολάζοντες· ἡγησάμενοι θηρίων μὲν ἔργον 19
εἶναι ὑπ' ἀλλήλων βίᾳ κρατεῖσθαι, ἀνθρώποις δὲ προσήκειν νόμῳ μὲν ὁρίσασθαι τὸ δίκαιον, λόγῳ δὲ πείσαι, ἔργῳ δὲ τούτοις ὑπηρετεῖν, ὑπὸ νόμου μὲν βασιλευομένους, ὑπὸ λόγου δὲ διδασκομένους.

---

si. — ὥστε .. οὐκ ἠξίουν, dass die Athener es nicht würden gestattet haben ctt. quod nos hypothetice et cum conditione Graeci non raro Indicativo exprimunt atque ita quidem, ut et sibi et aliis persuadeatur de re proposita. Aesch. de f. leg. §. 119. ἐγὼ γὰρ ἀπήγγελλον ὅτι δίκαιον ἡγούμην εἶναι, ubi alii praeferunt ἡγοίμην. infra Lys. §. 22. — ἐστεφάνωσαν, *suis illos periculis coronabant*. coronae autem insignia victorum. comp. ad Arrian. IV. c. 2, 3.

16. τοὺς μ. ἄλλους ἀδ. sunt qui ἄλλους Accusativum pendentem faciant a v. ἀδικεῖν et verba εἰς αὐτὸν contraposita agnoscant, quod dubito num ferendum sit. equidem nolim inseparabilia separes et quae invicem sibi respondeant aptissime τοὺς μ. ἄλλ. — Εὐρυσθέα δέ a sedibus suis deturbes, verte: *ceteros quidem iniuriosos puniit, Eurystheum vero ulcisci non potuit.*

17. μιᾷ γνώμῃ χρ. *qui uno concordique animo erant*, ut infra §. 20 ὅμοια γνόντες. — περὶ τοῦ δικαίου δ. pro aequo iustoque, neque vero pro amplificando regno. etenim terra Attica simul et parens et altrix et patria maiorum vetustate ea erat, ut ipsa ex sese cives suos genuisse (αὐτόχθονες ὄντες) et advenas undecunque collectos aditu arcuisse diceretur. in hac laude Atheniensium, etiam Arcadibus luna antiquioribus (προσελήνοις) concessa, plerique omnes conspirant, veluti Herod. I, 56. VII, 161. Thucyd. I, 2. II, 36. infr. Lys. §. 43.

18. δημοκρατίαν κ. Pausan. I, 3, 2. δηλοῖ δὲ ἡ γραφή (in porticu Athenis exstructa), Θησέα εἶναι τὸν καταστήσαντα Ἀθηναίοις ἐξ ἴσου πολιτεύεσθαι, h. e. δημοκρατίαν.

19. βίᾳ, *effrenata licentia*, qualis belluas decet, cui mox opponitur νόμῳ. — ἔργῳ .. ὑπηρετεῖν, *re ipsa, ipsa vivendi agendique ratione obsequi.* τούτοις, h. e. τῷ νόμῳ καὶ τῷ λόγῳ. — βασιλευομένους ... διδα-

20καὶ γάρ τοι καὶ φύντες καλῶς καὶ γνόντες ὅμοια, πολλὰ μὲν καλὰ καὶ θαυμαστὰ οἱ πρόγονοι τῶν ἐνθάδε κειμένων εἰργάσαντο, ἀείμνηστα δὲ καὶ μεγάλα καὶ πανταχοῦ οἱ ἐξ ἐκείνων γεγονότες τρόπαια διὰ τὴν αὐτῶν ἀρετὴν κατέλιπον. μόνοι γὰρ ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος πρὸς 21πολλὰς μυριάδας τῶν βαρβάρων διεκινδύνευσαν. ὁ γὰρ τῆς Ἀσίας βασιλεὺς οὐκ ἀγαπῶν τοῖς ὑπάρχουσιν ἀγαθοῖς, ἀλλ' ἐλπίζων καὶ τὴν Εὐρώπην δουλώσεσθαι ἔστειλε πεντήκοντα μυριάδας στρατιάν. ἡγησάμενοι δέ, εἰ τήνδε τὴν πόλιν ἢ ἐκοῦσαν φίλην ποιήσαιντο, ἢ ἄκουσαν καταστρέψαιντο, ῥᾳδίως τῶν ἄλλων Ἑλλήνων ἄρξειν, ἀπέβησαν εἰς Μαραθῶνα, νομίσαντες οὕτως ἂν ἐρημοτάτους εἶναι συμμάχων τοὺς Ἕλληνας, εἰ ἔτι στασιαζούσης τῆς Ἑλλάδος ᾧτινι χρὴ τρόπῳ 22τοὺς ἐπιόντας ἀμύνασθαι τὸν κίνδυνον ποιήσαιντο. ἔτι δ' αὐτοῖς ἐκ τῶν προτέρων ἔργων περὶ τῆς πόλεως τοιαύτη δόξα παρειστήκει, ὡς, εἰ μὲν πρότερον ἐπ' ἄλλην πόλιν ἴασιν, ἐκείνοις καὶ Ἀθηναίοις πολεμήσουσι· προθύμως γὰρ τοῖς ἀδικουμένοις ἥξουσι βοηθήσοντες· εἰ δ' ἐνθάδε πρῶτον ἀφίξονται, οὐδένας ἄλλους τῶν Ἑλλήνων τολμήσειν ἑτέρους σώζοντας φανερὰν ἔχθραν πρὸς ἐκείνους ὑπὲρ αὐτῶν 23καταθέσθαι. οἱ μὲν τοίνυν τοιαῦτα διενοοῦντο· οἱ δ' ἡμέτεροι πρόγονοι οὐ λογισμῷ εἰδότες τοὺς ἐν τῷ πολέμῳ κινδύνους, ἀλλὰ νομίζοντες τὸν εὐκλεᾶ θάνατον ἀθάνατον περὶ τῶν ἀγαθῶν καταλείπειν λόγον οὐκ ἐφοβήθησαν τὸ πλῆθος τῶν ἐναντίων, ἀλλὰ τῇ αὐτῶν ἀρετῇ μᾶλλον ἐπίστευσαν· καὶ αἰσχυνόμενοι, ὅτι ἦσαν οἱ βάρβαροι αὐτῶν ἐν τῇ χώρᾳ, οὐκ ἀνέμειναν πυθέσθαι οὐδὲ βοηθῆσαι τοὺς συμμάχους, οὐδ' ᾠήθησαν δεῖν ἑτέροις τῆς σωτηρίας χάριν εἰδέναι, 24ἀλλὰ σφίσιν αὐτοῖς τοὺς ἄλλους Ἕλληνας. ταῦτα μιᾷ γνώμῃ πάντες γνόντες ἀπήντων ὀλίγοι πρὸς πολλούς. ἐνόμιζον γὰρ ἀποθανεῖν μὲν

σκομένους, Participia ad ἀνθρώποις relata deserunt legitimam structuram. sed videtur τούτοις vicinum illud proximum fecisse, ut orationem commutaret.

20. καὶ γάρ τοι καὶ φ. κ. *etenim eo profecto quod et — et* ctt. — μόνοι .. διεκινδύνευσαν, cave per hyperbolen dictum censeas. pugna enim Marathonia praecipua fuit universae Graeciae gloriandi materies (v. ad Plut. V, 1.), quod Athenienses victoriam reportaverant *soli*. Her. IX, 27. μοῦνοι Ἑλλήνων μουνομαχήσαντες τῷ Πέρσῃ .. ἐνικήσαμεν. Thuc. I, 73. φαμὲν γὰρ Μαραθῶνι μόνοι προκινδυνεῦσαι τῷ βαρβάρῳ. hinc Noster quoque maxime immoratur in extollendis τοῖς Μαραθωνομάχοις, §. 20—27.

21. ἀγαπῶν. vid. supra ad Lucian. dial. m. VIII, 4. Plut. III, 1. — πεντήκοντα μ. στρ. similem adpositionem habes Thuc. I, 96. ἑλληνοταμίαι Ἀθηναίοις κατέστη ἀρχή. in numeralibus Xen. Anab. I, 4, 2. 3. ceterum in quingentis illis millibus qui offendat, videat ne operam perdat. quis enim numeraverit? — ἡγησάμενοι, tametsi praecesserat μυριάδας. v. Pausan. VI, 1. — ᾧτινι. Bekkerus ᾧ τινι — v. Buttm. Gr. mai. §. 14. not. 10.

22. εἰ .. ἴασιν, significatione futuri temporis, ut mox εἰ ἀφίξονται. quo tempore quod in conditione positum est vix sustinuerim atque effectum iri vel negaverim vel noluerim. infra §. 32. §. 45. aliis exemplis demonstrat Krüg. ad Xen. Anab. IV, 7, 3. — καταθέσθαι, ἔχθραν ut dicunt δόξαν, χάριν, εὐεργεσίαν, φιλίαν καταθέσθαι. Herod. VII, 178. Thuc. I, 128. quocum subit comparare Ciceronis illud *collocare apud aliquem beneficium.*

23. οὐ λογισμῷ εἰδότες ctt. similia de moribus Atheniensium Pericles apud Thuc. II, 39. καίτοι εἰ ῥᾳθυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ .. ἐθέλομεν κινδυνεύειν, περιγίγνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν, καὶ ἐς αὐτὰ ἐλθοῦσι μὴ ἀπολμοτέρους τῶν ἀεὶ μοχθούντων φαίνεσθαι. — καταλείπειν, comp. infra §. 24 καταλείψειν, eodem verbo νομίζω praegresso.

24. πρὸς π. adnotari potest structura vocis ἀπαντᾶν pro vulgatiori

αὐτοῖς μετὰ πάντων προσήκειν, ἀγαθοὺς δ' εἶναι μετ' ὀλίγων, καὶ τὰς μὲν ψυχὰς ἀλλοτρίας διὰ τὸν θάνατον κεκτῆσθαι, τὴν δ' ἐκ τῶν κινδύνων μνήμην ἰδίαν καταλείψειν. ἠξίουν δ' οὓς μὴ μόνοι νικῶεν, οὐδ' ἂν μετὰ συμμάχων δύνασθαι· καὶ ἡττηθέντες μὲν ὀλίγῳ τῶν ἄλλων προαπολεῖσθαι, νικήσαντες δὲ καὶ τοὺς ἄλλους ἐλευθερώσειν. ἄνδρες 25 δ' ἀγαθοὶ γενόμενοι καὶ τῶν μὲν σωμάτων ἀφειδήσαντες, ὑπὲρ δὲ τῆς ἀρετῆς οὐ φιλοψυχήσαντες καὶ μᾶλλον τοὺς παρ' αὐτοῖς νόμους αἰσχυνόμενοι, ἢ τὸν πρὸς τοὺς πολεμίους κίνδυνον φοβούμενοι, ἔστησαν μὲν τρόπαια ὑπὲρ τῆς Ἑλλάδος τῶν βαρβάρων ἐν τῇ αὐτῶν, ὑπὲρ χρημάτων εἰς τὴν ἀλλοτρίαν ἐμβαλόντων, παρὰ τοὺς ὅρους τῆς χώρας· οὕτω δὲ διὰ ταχέων τὸν κίνδυνον ἐποιήσαντο, ὥστε οἱ αὐτοὶ 26 τοῖς ἄλλοις ἀπήγγειλαν τήν τ' ἐνθάδε ἄφιξιν τῶν βαρβάρων καὶ τὴν τῶν προγόνων νίκην. καὶ γάρ τοι οὐδεὶς τῶν ἄλλων ἔδεισεν ὑπὲρ τοῦ μέλλοντος κινδύνου, ἀλλ' ἀκούσαντες ὑπὲρ τῆς αὐτῶν ἐλευθερίας ἥσθησαν. ὥστε οὐδὲν θαυμαστὸν πάλαι τῶν ἔργων γεγενημένων, ὥσπερ καινῶν ὄντων, ἔτι καὶ νῦν τὴν ἀρετὴν αὐτῶν ὑπὸ πάντων ἀνθρώπων ζηλοῦσθαι.

Μετὰ δὲ ταῦτα Ξέρξης, ὁ τῆς Ἀσίας βασιλεύς, καταφρονήσας 27 μὲν τῆς Ἑλλάδος, ἐψευσμένος δὲ τῆς ἐλπίδος, ἀτιμαζόμενος δὲ τῷ γεγενημένῳ, ἀχθόμενος δὲ τῇ συμφορᾷ, ὀργιζόμενος δὲ τοῖς αἰτίοις, ἀπαθὴς δ' ὢν κακῶν καὶ ἄπειρος ἀνδρῶν ἀγαθῶν, δεκάτῳ ἔτει παρασκευασάμενος χιλίαις μὲν καὶ διακοσίαις ναυσὶν ἀφίκετο, τῆς δὲ πεζῆς στρατιᾶς οὕτως ἄπειρον τὸ πλῆθος ἦγεν, ὥστε καὶ τὰ ἔθνη τὰ μετ' αὐτοῦ ἀκολουθήσαντα πολὺ ἂν ἔργον εἴη καταλέξαι. τὸ δὲ μέ- 28 γιστον σημεῖον τοῦ πλήθους· ἑξὸν γὰρ αὐτῷ χιλίαις ναυσὶ διαβιβάσαι

---

illa cum Dativo, *occurrere*, *obvium se dare alicui*, quum proprie significet *ἀπ. πρός τι receptum habere ad aliquem* aut *regerere*, *respondere*. Dem. Mid. p. 522, b. *δεῖ πρὸς ἕκαστον ἀπαντᾶν, ὅταν οὗτος λέγῃ*. Aelian. v. h. VIII, 12. *πικρότατα ἀπήντησε πρὸς τοῦτον τὸν λόγον*. infr. Lys. §. 30. §. 32. §. 52. — *ἀγαθούς*, quamquam in prioribus *αὐτοῖς προσήκειν*. v. ad Pausan. IX, 2 extr. — *ἀλλοτρίας*, h. e. animas se possidere quasi non pertinentes ad se sibique ereptas. pertinet ad oxymora, quibus alterum altero tollitur.

25. *τῶν μ. σωμάτων ἀφ.* *sanguinis atque animae suae prodigi*, ut cum poetis loquar. *σῶμα*, quod Latini *caput* dicunt utpote domicilium vitae. hinc *κινδυνεύειν ἐν τοῖς σώμασι*, §. 63. — *ἔστησαν* ctt. verba paullo perplexiora construendo adiuvemus: *ἔστησαν ἐν τῇ αὐτῶν (γῇ), παρὰ τοὺς ὅρους τῆς χώρας, τρόπαια τῶν βαρβάρων ἐμβαλόντων κ. τ. λ.*

26. *διὰ ταχέων*, ut supra Xen. IV, 2. eodem pertinent complures aliae dictiones, velut *διὰ παντός*, *διὰ χρόνου diutule*, *διὰ πολλοῦ* — *μακροῦ χρόνου*, *δι' ὀλίγου*, *διὰ σπουδῆς*, al. — *ὥσπερ καινῶν δ. perinde ac si facinora* (tametsi vetusta) *recentiora sint*. quae verba rursus excipiuntur seqq. *τὴν ἀρετὴν αὐτῶν*, i. e. *τῶν ἔργων*. *ἀρετὴ* igitur quidquid in suo genere excellit et admiratione dignum est.

27. *ἐψευσμένος*, §. 31. v. ad Xen. IV, 21. ceterum quae Dario olim eiusque Persis incommoda ceciderant clade Marathonia, nunc sustinet filius Darii quasi iisdem illis malis conflictatus. — *αἰτίοις*, dicit Athenienses, *auctores* strages Persicae. — *δεκάτῳ ἔτει*, iunge cum v. *ἀφίκετο*. constat decennium interfuisse pugnam Marathoniam inter et Salaminiam. quodsi verba illa qui voci *παρασκευασάμενος* adnectunt, ipsi viderint ne iniuriam immittant in syntaxin.

28. *τὸ δ. μέγιστον σ.* Adpositionem continent ad ea, quae proxime sequuntur. Isocrat. de pace §. 53. *δ δὲ πάντων σχετλιώτατον· οὗς γὰρ ὁμο-*

κατὰ τὸ στενώτατον τοῦ Ἑλλησπόντου τὴν πεζὴν στρατιὰν ἐκ τῆς
Ἀσίας εἰς τὴν Εὐρώπην, οὐκ ἠθέλησεν ἡγούμενος τὴν διατριβὴν
29αὐτῷ πολλὴν ἔσεσθαι ἀλλ' ὑπεριδὼν καὶ τὰ φύσει πεφυκότα καὶ τὰ
θεῖα πράγματα καὶ τὰς ἀνθρωπίνας διανοίας ἀδὸν μὲν διὰ τῆς θα-
λάσσης ἐποιήσατο, πλοῦν δὲ διὰ τῆς γῆς ἠνάγκασε γενέσθαι ζεύξας
μὲν τὸν Ἑλλήσποντον, διορύξας δὲ τὸν Ἄθω, ὑφισταμένου οὐδενός,
ἀλλὰ τῶν μὲν ἀκόντων ὑπακρυόντων, τῶν δὲ ἑκόντων προδιδόντων.
οἱ μὲν γὰρ οὐχ ἱκανοὶ ἦσαν ἀμύνασθαι, οἱ δ' ὑπὸ χρημάτων διε-
φθαρμένοι· ἀμφότερα δ' ἦν αὐτοὺς τὰ πείθοντα, κέρδος καὶ δέος.
30Ἀθηναῖοι δ' οὕτω διακειμένης τῆς Ἑλλάδος αὐτοὶ μὲν εἰς τὰς ναῦς
εἰσβάντες ἐπ' Ἀρτεμίσιον ἐβοήθησαν, Λακεδαιμόνιοι δὲ καὶ τῶν
συμμάχων ἔνιοι εἰς Θερμοπύλας ἀπήντησαν, ἡγούμενοι διὰ τὴν στε-
31νότητα τῶν χωρίων τὴν πάροδον οἷοί τε ἔσεσθαι διαφυλάξαι. γενο-
μένου δὲ τοῦ κινδύνου κατὰ τὸν αὐτὸν χρόνον Ἀθηναῖοι μὲν ἐνίκων
τῇ ναυμαχίᾳ· Λακεδαιμόνιοι δὲ οὐδὲν ταῖς ψυχαῖς ἐνδεεῖς γενόμε-
νοι, ἀλλὰ τοῦ πλήθους ψευσθέντες καὶ οὓς φυλάξειν ᾤοντο, καὶ
πρὸς οὓς κινδυνεύσειν ἔμελλον, οὐχ ἡττηθέντες τῶν ἐναντίων, ἀλλ'
32ἀποθανόντες οὕπερ ἐτάχθησαν μάχεσθαι. τούτῳ δὲ τῷ τρόπῳ τῶν
μὲν δυστυχησάντων, τῶν δὲ τῆς παρόδου κρατησάντων, οἱ μὲν ἐπο-
ρεύοντο ἐπὶ τήνδε τὴν πόλιν, οἱ δ' ἡμέτεροι πρόγονοι πυθόμενοι
μὲν τὴν γεγενημένην Λακεδαιμονίοις συμφοράν, ἀποροῦντες δὲ τοῖς
περιεστηκόσι πράγμασιν, εἰδότες δ' ὅτι, εἰ μὲν κατὰ γῆν τοῖς βαρβάροις
ἀπαντήσονται, ἐπιπλεύσαντες χιλίαις ναυσὶν ἐρήμην τὴν πόλιν
λήψονται, εἰ δὲ εἰς τὰς τριήρεις ἐμβήσονται, ὑπὸ τῆς πεζῆς στρα-

---

λογήσαιμεν ἂν πονηροτάτους εἶναι ctt. §. 95. μέγιστον δὲ τεκμήριον· οὐ γὰρ μόνον ἡμᾶς .. διέφθειρεν ctt. et sic fere ubique sequentibus vel γὰρ vel ὅτι Particulis. de scriptt. Latinis adi Heind. ad Plat. Gorg. §. 135. Hor. Sat. I, 4, 110.

29. τὰ φύσει π. *res a natura constitutas*, *fines ab ipsa natura terminatos* migravit, nihili fecit. v. ad Xen. VI, 8. — ζεύξας, plenius Herod. ζεύξας ἐγεφύρωσε. — τῶν μὲν ἀκόντων ctt. Her. VII, 108. Ξέρξης δὲ ἐκ τοῦ Δορίσκου (oppido Thraciae) ἐπορεύετο ἐπὶ τὴν Ἑλλάδα· τοὺς δὲ αἰεὶ γινομένους ἐμποδὼν συστρατεύεσθαι ἠνάγκαζε. ἐδεδούλωτο γὰρ ἡ μέχρι Θεσσαλίης πᾶσα. — αὐτοὺς τὰ π. Articulus per hyperbaton postpositus. Soph. Ant. 33. ταῦτα τοῖσι μὴ εἰδόσι. Plat. Apol. p. 39. c. πλείους ἔσονται ὑμᾶς οἱ ἐλέγχοντες. cf. Pausan. VIII, 4. Arrian. I, 2, 3.

30. πάροδον. Hesych. εἴσοδος. διάβασις. nos: sie glaubten den Pass behaupten zu können. Herod. VIII, 15. ἦν δὲ πᾶς ὁ ἀγὼν τοῖσι ἀμφὶ Λεωνίδεα τὴν ἐσβολὴν φυλάσσειν.

31. ἐνίκων. secus Her. l. c. 16. ἐν ταύτῃ τῇ ναυμαχίῃ παραπλήσιοι ἀλλήλοισι ἐγίνοντο. — ταῖς ψυχαῖς ἐνδ. i. q. supra §. 25 οὐ φιλοψυχήσαντες. Diod. IV, 3 ταῖς ψυχαῖς οὐκ ἐνδιδόναι. ceterum ne haereas in sententia totius enuntiationis neve deesse videatur verbum aliquod finitum, repete quod ipso antitheto sponte tibi succurrit ἐνικήθησαν ex ἐνίκων (cf. ad Athen. II, 8.), aut quod etiam magis placeat ex sequentibus ἐδυστύχησαν. cf. ad Lucian. dial. m. VII, 4. — καὶ οὓς ctt. i. e. καὶ τούτων (τοῦ πλήθους) οὓς φ. ᾤ. καὶ τούτων πρὸς οὓς κ. τ. λ.

32. τούτῳ δὲ τῷ τρ. notabile est δὲ hac periodo octies repetitum (v. infr. §. 37.) ad continuandam orationem, qua plura continentur, quae scriptor complectitur in unum. cf. Xenoph. IV, 19. neque *autem* pluries positum quemquam offendet. quater leges in Cic. Acad. I, 10, 36. ibi Görenz. — ἀποροῦντες, cum Dat. ut saepius apud Xenoph. Κῦρος τούτοις ἀπορῶν Anab. I, 3, 7. ἀποροῦντες τῷ πράγματι ibid. 5, 13. — ἐρήμην, frequentius sane Atticis ἔρημος forma feminino adposita, nec tamen prorsus dis-

τιᾶς ἁλώσονται, ἀμφότερα δ' οὐ δυνήσονται ἀμύνασθαί τε καὶ φυλακὴν ἱκανὴν καταλιπεῖν· δυοῖν δὲ προκειμένοιν, πότερον χρὴ τὴν 33
πατρίδα ἐκλιπεῖν, ἢ μετὰ τῶν βαρβάρων γενομένους καταδουλώσασθαι τοὺς Ἕλληνας, ἡγησάμενοι κρεῖττον εἶναι μετ' ἀρετῆς καὶ πενίας καὶ φυγῆς ἐλευθερίαν, ἢ μετ' ὀνείδους καὶ πλούτου δουλείαν τῆς πατρίδος, ἐξέλιπον ὑπὲρ τῆς Ἑλλάδος τὴν πόλιν, ἵν' ἐν μέρει πρὸς ἑκατέραν, ἀλλὰ μὴ πρὸς ἀμφοτέρας ἅμα τὰς δυνάμεις κινδυνεύσωσιν· ὑπεκθέμενοι δὲ παῖδας καὶ γυναῖκας καὶ μητέρας εἰς Σα- 34
λαμῖνα συνήθροιζον καὶ τὸ τῶν ἄλλων συμμάχων ναυτικόν. οὐ πολλαῖς δ' ὕστερον ἡμέραις ἦλθε καὶ ἡ πεζὴ στρατιὰ καὶ τὸ ναυτικὸν τὸ τῶν βαρβάρων, ὃ τίς ἰδὼν οὐκ ἂν ἐφοβήθη, ὡς μέγας καὶ δεινὸς τῇδε τῇ πόλει κίνδυνος ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἠγωνίσθη; ποίαν δὲ γνώμην εἶχον ἢ οἱ θεώμενοι τοὺς ἐν ταῖς ναυσὶν ἐκείναις, 35
οὔσης καὶ τῆς αὐτῶν σωτηρίας ἀπίστου καὶ τοῦ κινδύνου προσιόντος, ἢ οἱ μέλλοντες ναυμαχήσειν ὑπὲρ τῆς φιλότητος, ὑπὲρ τῶν ἄθλων τῶν ἐν Σαλαμῖνι; οἷς τοσοῦτον πανταχόθεν περιειστήκει πλῆθος πο- 36
λεμίων, ὥστε ἐλάχιστον μὲν αὐτοῖς εἶναι τῶν παρόντων κακῶν τὸν θάνατον τὸν αὐτῶν προειδέναι, μεγίστην δὲ συμφοράν, ἃ ὑπὸ τῶν βαρβάρων εὐτυχησάντων τοὺς ὑπεκτεθέντας ἤλπιζον πείσεσθαι. ἤπου 37
διὰ τὴν ὑπάρχουσαν ἀπορίαν πολλάκις μὲν ἐδεξιώσαντο ἀλλήλους, εἰκότως δὲ σφᾶς αὐτοὺς ὠλοφύραντο· εἰδότες μὲν τὰς σφετέρας ναῦς ὀλίγας οὔσας, ὁρῶντες δὲ πολλὰς τὰς τῶν πολεμίων, ἐπιστάμενοι δὲ τὴν μὲν πόλιν ἠρημωμένην, τὴν δὲ χώραν πορθουμένην καὶ μεστὴν τῶν βαρβάρων, ἱερῶν δὲ καιομένων, ἁπάντων δ' ἐγγὺς ὄντων τῶν 38
δεινῶν, ἀκούοντες δὲ ἐν ταὐτῷ συμμεμιγμένου Ἑλληνικοῦ καὶ βαρβαρικοῦ παιᾶνος, παρακελευσμοῦ δ' ἀμφοτέρων καὶ κραυγῆς τῶν

---

plicuit altera, qua Noster utitur. Xen. Anab. I, 5, 4. πόλις ἐρήμη. Thucyd. IV, 26. ἐν νήσῳ ἐρήμῃ. comp. infr. Lys. §. 49.

33. ἵνα .. κινδυνεύσωσιν. vid. supra ad §. 9. plura disputavit de hac commutatione modorum apud Lysiam haud sine iudicio post tempora praeterita Coniunctivo utentem I. H. Bremi in excursu ad Lys. oratt. primo p. 435—36.

34. ὑπεκθέμενοι, infr. §. 36. vox solemnis de iis, qui pericula instantia toleraturi quidquid in deliciis habent alio transferunt et deportant. idem vocabulum de eadem hac migratione ap. Thuc. I, 89. — ὃ τίς ἰδ. οὐκ ἂν ἐφοβήθη —; *quem exercitum qui conspexerit, cuinam existimatis non timendum fuisse?* interrogatione demta: οὐδεὶς (ἔστιν) ὅστις μὴ φοβηθήσεται s. οἴομαι ἅπαντας φοβηθῆναι ἂν ἰδόντας. infr. §. 40. comp. Xen. IV, 13.

35. τῆς αὐτῶν σ. alii αὐτῶν. illud non minus vere ac §. 28 ἡγούμενος τὴν διατριβὴν αὐτῷ (alii αὐτῷ) πολλὴν ἔσεσθαι. comp. supra ad §. 2. — ὑπὲρ τ. φιλότητος, *pro carissimis pignoribus.* quae facile, opinor, suspicionem movere possint. sunt enim molestissima h. l.

36. τὸν αὐτ. προειδέναι. Bekk. τὸν αὐτῶν, ᾧ αὐτὸν προειδέναι, ctt. sex libris refragantibus. quodsi optio datur, non difficile augurari quid tibi eligas. — ἤλπιζον, sperandi verbum Graecis atque Latinis in metu frequens, proprie *se negare* dicturis *malum sperare.* cf. ad Pausan. V, 4.

37. ἤπου, h. e. *profecto dicat aliquis;* mitigat enim aliquantulum που adseverationem τοῦ ἤ. Bekkerus ἤ που. — ἱερῶν δὲ .. δεινῶν, quae ne omni orationis continuationi adversentur, subaudias licet e praegressis μεστήν, et iubente sermonis ratione cum Reiskio sufficias: ἱερῶν τε — ἁπάντων τ' ἐγγ.

38. ἀκούοντες, per zeugma huic uni iunguntur plura, quorum suum

διαφθειρομένων καὶ τῆς θαλάττης μεστῆς τῶν νεκρῶν καὶ πολλῶν μὲν συμπιπτόντων καὶ φιλίων καὶ πολεμίων ναυαγίων, ἀντιπάλου δὲ πολὺν χρόνον οὔσης τῆς ναυμαχίας, δοκοῦντες τοτὲ μὲν νενικη-
39κέναι καὶ σεσῶσθαι, τοτὲ δ' ἡττῆσθαι καὶ ἀπολωλέναι. ἦπου διὰ τὸν παρόντα φόβον πολλὰ μὲν ᾠήθησαν ἰδεῖν ὧν οὐκ εἶδον, πολλὰ δ' ἀκοῦσαι ὧν οὐκ ἤκουσαν. ποῖαι δ' οὐχ ἱκετεῖαι θεῶν ἐγένοντο ἢ θυσιῶν ἀναμνήσεις; ἔλεός τε παίδων καὶ γυναικῶν πόθος, οἰκτός τε πατέρων καὶ μητέρων, λογισμός τε εἰ δυστυχήσειαν τῶν μελλόν-
40των ἔσεσθαι κακῶν; τίς οὐκ ἂν θεῶν ἠλέησεν ἀυτοὺς ὑπὲρ τοῦ μεγέθους τοῦ κινδύνου; ἢ τίς ἀνθρώπων οὐκ ἂν ἐδάκρυσεν; ἢ τίς τῆς τόλμης αὐτοὺς οὐκ ἂν ἠγάσθη; ἢ πολὺ πλεῖστον ἐκεῖνοι κατὰ τὴν ἀρετὴν ἁπάντων ἀνθρώπων διήνεγκαν καὶ ἐν τοῖς βουλεύμασι καὶ ἐν τοῖς τοῦ πολέμου κινδύνοις, ἐκλιπόντες μὲν τὴν πόλιν, εἰς τὰς ναῦς δ' ἐμβάντες, τὰς δ' αὐτῶν ψυχὰς ὀλίγας οὔσας ἀντιτάξαντες τῷ πλή-
41θει τῷ τῆς Ἀσίας. ἐπέδειξαν δὲ πᾶσιν ἀνθρώποις νικήσαντες τῇ ναυμαχίᾳ, ὅτι κρεῖττον μετ' ὀλίγων ὑπὲρ τῆς ἐλευθερίας κινδυνεύειν,
42ἢ μετὰ πολλῶν βασιλευομένων ὑπὲρ τῆς αὐτῶν δουλείας. πλεῖστα δὲ καὶ κάλλιστα ἐκεῖνοι ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας συνεβάλοντο, στρατηγὸν μὲν Θεμιστοκλέα, ἱκανώτατον εἰπεῖν καὶ γνῶναι καὶ πρᾶξαι, ναῦς δὲ πλείους τῶν ἄλλων ἁπάντων συμμάχων, ἄνδρας δ' ἐμπειροτάτους. καίτοι τίνες ἂν τούτοις τῶν ἄλλων Ἑλλήνων ἤρισαν
43γνώμῃ καὶ πλήθει καὶ ἀρετῇ; ὥστε δικαίως μὲν ἀναμφισβήτητα τάριστεῖα τῆς ναυμαχίας ἔλαβον παρὰ τῆς Ἑλλάδος, εἰκότως δὲ τὴν εὐ-

---

singula quaeque verbum flagitabant. certe inde a verbis τῆς θαλάττης μεστῆς ctt. adsumenda ex ἀκούειν notio *videndi*. — ναυαγίων, Them. Mag. ναυαγία ἡ συντριβὴ τῆς νεώς. ναύαγια δὲ τὰ ἐξ αὐτῆς ὑπὸ τῆς θαλάττης ἐκβρασθέντα.

39. ποῖαι δ' οὐχ ctt. *quae non tum fiebant deorum supplicationes, quae non victimarum vota?* quae enim enotamus verba totam periodum complectuntur: ποῖαι οὐκ ἀναμνήσεις; ποῖός τ' οὐκ ἔλεος ctt. — ἔσεσθαι. v. ad Xen. I, 8. eiusd. hist. Gr. IV, 4, 4. Πασίμηλος ὑποπτεύσας τὸ μέλλον ἔσεσθαι. ceterum Infinitivo omisso sententia aut nihil mutaretur aut non multum. v. §. 26.

40. ἠγάσθη, h. l. ut solet construi, cum Acc. personae, quam magni facimus, et cum Gen. rei, ad quam pertinet admiratio et adplicatur. neque recedit ab usu quod supra legimus Xen. IV, 13 τὴν ἀρετὴν ἀγασθῆναί τινος, an einem etwas bewundern. vid. Ruhnk. ad Tim. p. 8. Bernh. Synt. p. 152. — τὰς δ' αὐτῶν ψυχάς, *capita sua perpauca quidem.* circumscribitur Subiectum voce ψυχαί, ut orator indicet, maxime pertinere ad *animos* maiorum quae nunc enuntientur. comp. supra §. 25 de v. σῶμα, et quod F. Kritz ad Sall. Iugurth. 39, 5 de usu vocis *animus* monuit.

41. βασιλευομένων, confringitur hac voce non solum antitheton, qua figura Noster uti scit satis efficaciter, sed etiam tota sententia, quae in universum enuntiata *paucos* pro libertate dimicare solere prosperius, quam pro servitute *multos* evincere conatur. quid igitur facias h. l. *potestatem dominatumque patientibus?* vereor equidem ne vox ista aeque glossam redoleat atque adminiculum verbis μετ' ὀλίγων a quibusdam subministratum: αὐτονομουμένων.

42. καίτοι duas enuntiationes, tametsi inter se non repugnent, sed utraque vera esse possit, ita connectit, ut altera alteram vel tollere vel temperare videatur; lat. *quamquam, verum, sed tamen.* sed hoc ipsum quid nostro loco sibi velit non exputo. Reiske tentat καὶ γάρ τοι. v. §. 20. §. 26. §. 63.

τυχίαν ὁμονοοῦσαν τοῖς κινδύνοις ἐκτήσαντο, γνησίαν δὲ καὶ αὐτόχθονα τοῖς ἐκ τῆς Ἀσίας βαρβάροις τὴν αὑτῶν ἀρετὴν ἐπεδείξαντο.

Ἐν μὲν οὖν τῇ ναυμαχίᾳ τοιούτους αὑτοὺς παρασχόντες καὶ44 πολὺ πλεῖστον τῶν κινδύνων μετασχόντες τῇ ἰδίᾳ ἀρετῇ κοινὴν τὴν ἐλευθερίαν καὶ τοῖς ἄλλοις ἐκτήσαντο· ὕστερον δὲ Πελοποννησίων διατειχιζόντων τὸν Ἰσθμόν, καὶ ἀγαπώντων μὲν τῇ σωτηρίᾳ, νομιζόντων δ' ἀπηλλάχθαι τοῦ κατὰ θάλατταν κινδύνου, καὶ διανοουμένων τοὺς ἄλλους Ἕλληνας περιιδεῖν ὑπὸ τοῖς βαρβάροις γενομένους, ὀργισθέντες Ἀθηναῖοι συνεβούλευον αὐτοῖς, εἰ ταύτην τὴν γνώμην45 ἕξουσιν, περὶ ἅπασαν τὴν Πελοπόννησον τεῖχος περιβαλεῖν· εἰ γὰρ αὐτοὶ ὑπὸ Ἑλλήνων προδιδόμενοι μετὰ τῶν βαρβάρων ἔσονται, οὔτ' ἐκείνοις δεήσειν χιλίων νεῶν, οὔτε τούτους ὠφελήσειν τὸ ἐν Ἰσθμῷ τεῖχος· ἀκινδύνως γὰρ ἔσεσθαι τὴν τῆς θαλάττης ἀρχὴν βασιλέως. διδασκόμενοι δὲ καὶ νομίζοντες αὐτοὶ μὲν ἄδικά τε ποιεῖν καὶ κακῶς46 βουλεύεσθαι, Ἀθηναίους δὲ δίκαιά τε λέγειν καὶ τὰ βέλτιστα αὐτοῖς παραινεῖν, ἐβοήθησαν εἰς Πλαταιάς· ἀποδράντων δὲ ὑπὸ νύκτα τῶν πλείστων συμμάχων ἐκ τῶν τάξεων διὰ τὸ πλῆθος τῶν πολεμίων Λακεδαιμόνιοι μὲν καὶ Τεγεᾶται τοὺς βαρβάρους ἐτρέψαντο, Ἀθηναῖοι δὲ καὶ Πλαταιεῖς πάντας τοὺς Ἕλληνας ἐνίκων μαχόμενοι τοὺς ἀπογνόντας τῆς ἐλευθερίας καὶ ὑπομείναντας τὴν δουλείαν. ἐν ἐκείνῃ δὲ47 τῇ ἡμέρᾳ καλλίστην τελευτὴν τοῖς προτέροις κινδύνοις ἐπιθέντες βέβαιον μὲν τὴν ἐλευθερίαν τῇ Εὐρώπῃ κατειργάσαντο, ἐν ἅπασι δὲ τοῖς κινδύνοις δόντες ἔλεγχον τῆς ἑαυτῶν ἀρετῆς, καὶ μόνοι καὶ μεθ' ἑτέρων, καὶ πεζομαχοῦντες καὶ ναυμαχοῦντες, καὶ πρὸς βαρβάρους καὶ πρὸς τοὺς Ἕλληνας, ὑπὸ πάντων ἠξιώθησαν, καὶ μεθ' ὧν ἐκινδύνευον καὶ πρὸς οὓς ἐπολέμουν, ἡγεμόνες γενέσθαι τῆς Ἑλλάδος. ὑστέρῳ δὲ χρόνῳ Ἑλληνικοῦ πολέμου καταστάντος διὰ ζῆλον τῶν γε-48 γενημένων καὶ φθόνον τῶν πεπραγμένων, μέγα μὲν ἅπαντες φρο-

---

43. τἀριστεῖα, Reisk. Bekk. ἀριστεῖα vulgo. — ὁμονοοῦσαν τοῖς κ. i. q. alias ὁμολογοῦσάν τινι. infra §. 63. 65.

44. μετασχόντες, h. l. ut solet cum Gen. iunctum et π. πλεῖστον pro Adverbio accipiendum. addito autem μέρος non magis hic opus, quam Xen. Hier. II, 6. οἱ τύραννοι τῶν μεγίστων ἀγαθῶν ἐλάχιστα μετέχουσι. mox vero ibid. 7. εἰ δὲ πόλεμος κακόν, τούτου πλεῖστον μέρος οἱ τύραννοι μετέχουσιν. cf. M. §. 324. not. 1. Bernh. Synt. p. 149. — διατ. τ. Ἰσθμόν. de hac munitione v. Herod. VIII, 40, 71. in Isthmo congregatis praefectus fuit Cleombrotus dux Spartiates, frater Leonidae. — ἀγαπώντων. v. ad §. 21. — ὑπὸ τοῖς β. v. Bernh. l. c. p. 266. comp. ἐπί τινι γιγν. ad Plut. I, 1.

45. δεήσειν. v. ad Xen. V, 9. — ἐκείνοις, rariore usu propius nomen (βαρβάρων) h. l. respicit, τούτους ad remotius refertur, ad Lacedaemonios vel si mavis ad Peloponnesios. cf. Xen. Anab. I, 8, 26. II, 2, 8. alia exempla ap. Bernh. Synt. p. 277. — ἀκινδύνως, id quod saepius legistis ἀμαχεί, ἀκονιτί. quod superest βασιλέως Bekkerus ex Codd. restituit pro τοῦ β. v. infra §. 56.

46. ὑπὸ νύκτα, *sub noctem*, i. e. adpropinquante hoc tempore, ubi casu quarto fere utuntur, velut ὑπὸ τὴν ἕω, ὑπὸ τὴν κατάλυσιν τοῦ πολέμου al., rarius Dativo. v. Interpp. ad Arrian. VI, 21 extr. — ἀπογνόντας, v. ad Plut. V, 3. ceterum plerasque Thessaliae Boeotiaeque gentes historia dedecore notavit libertati suae desperantes.

47. δόντες ἔλεγχον, *quum documentis adprobassent virtutem suam.* — ἡγεμόνες. Atheniensium principatus inde ab anno 477—404. explevit igitur annos septuaginta tres.

48. Ἑλληνικοῦ π. anno 457. cf. Thuc. I, 104—106. — ἅπαντες . .

νοῦντες, μικρῶν δ' ἐγκλημάτων ἕκαστοι δεόμενοι, ναυμαχίας Ἀθη-
49 ναίοις πρὸς Αἰγινήτας καὶ τοὺς ἐκείνων συμμάχους γενομένης, ἑβδο-
μήκοντα τριήρεις αὐτῶν ἐλάμβανον. πολιορκούντων δὲ κατὰ τὸν αὐ-
τὸν χρόνον Αἴγυπτόν τε καὶ Αἴγιναν, καὶ τῆς ἡλικίας ἀπούσης ἔν τε
ταῖς ναυσὶ καὶ ἐν τῷ πεζῷ στρατεύματι Κορίνθιοι καὶ οἱ ἐκείνων
σύμμαχοι ἡγούμενοι ἢ εἰς ἔρημον τὴν χώραν ἐμβαλεῖν, ἢ ἐξ Αἰγίνης
ἄξειν τὸ στρατόπεδον, ἐξελθόντες πανδημεὶ Γεράνειαν κατέλαβον.
50 Ἀθηναῖοι δὲ τῶν μὲν ἀπόντων, τῶν δ' ἐγγὺς ὄντων οὐδένα ἐτόλμη-
σαν μεταπέμψασθαι· ταῖς δ' αὐτῶν ψυχαῖς πιστεύσαντες καὶ τῶν
ἐπιόντων καταφρονήσαντες, οἱ γεραίτεροι καὶ οἱ τῆς ἡλικίας ἐντὸς
51 γεγονότες ἠξίουν αὐτοὶ μόνοι τὸν κίνδυνον ποιήσασθαι, οἱ μὲν ἐμ-
πειρίᾳ τὴν ἀρετήν, οἱ δὲ φύσει κεκτημένοι, καὶ οἱ μὲν αὐτοὶ πολ-
λαχοῦ ἀγαθοὶ γεγενημένοι, οἱ δ' ἐκείνους μιμούμενοι, τῶν μὲν πρε-
σβυτέρων ἄρχειν ἐπισταμένων, τῶν δὲ νεωτέρων τὸ ἐπιταττόμενον
52 ποιεῖν δυναμένων· Μυρωνίδου στρατηγοῦντος ἀπαντήσαντες αὐτοὶ
εἰς τὴν Μεγαρικὴν ἐνίκων μαχόμενοι ἅπασαν τὴν δύναμιν τὴν ἐκεί-
νων τοῖς ἤδη ἀπειρηκόσι καὶ τοῖς οὔπω δυναμένοις, τοὺς εἰς τὴν
53 σφετέραν ἐμβαλεῖν ἀξιώσαντας εἰς τὴν ἀλλοτρίαν ἀπαντήσαντες, τρό-
παιον δὲ στήσαντες καλλίστου μὲν αὐτοῖς ἔργου, αἰσχίστου δὲ τοῖς
πολεμίοις, οἱ μὲν οὐκέτι τοῖς σώμασιν, οἱ δ' οὔπω δυνάμενοι, ταῖς
δὲ ψυχαῖς ἀμφότεροι κρείττους γενόμενοι, μετὰ κάλλίστης δόξης εἰς
τὴν αὐτῶν ἀπελθόντες οἱ μὲν πάλιν ἐπαιδεύοντο, οἱ δὲ περὶ τῶν λοι-
πῶν ἐβουλεύοντο.
54 Καθ' ἕκαστον μὲν οὖν οὐ ῥᾴδιον τὰ ὑπὸ πολλῶν κινδυνευθέντα

ἕκαστοι ... ἐλάμβανον, quam desideramus constructionem Genitivi absol. subito interrumpit, continentur enim tria in his vel certe duo nomina: *omnibus superbientibus*, *quibusque autem minutarum criminationum egentibus*, Athenienses (quod petendum ex verbis ναυμαχίας Ἀθηναίοις ctt.) *naves ceperunt.*

49. τῆς ἡλικίας, i. e. τῶν ἐν ἡλικίᾳ, τῶν ἡλικιωτῶν. cf. Lobeck ad Phryn. p. 469. ἡλικία autem aetas militiae apta, ut infra §. 50. — ἄξειν, h. l. rariore quidem usu, *abstrahere* exercitum ab aliquo loco, sed ἀπάξειν cum Reiskio scribere nihil opus est. — Γεράνεια, nomen montis et, ut quibusdam visum, oppiduli Megaram inter et Corinthum.

50. ἀπόντων, scil. εἰς Αἴγυπτον. ἐγγὺς ὄντ. sc. ἐν Αἰγίνῃ· totam periodum Participiorum structuris mire variatam paulloque negligentius colligatam Bekkerus adiuvit aliter atque rectius distinguendo quam olim, apodosin inchoari docens a §. 52 verbis Μυρωνίδου στρατηγοῦντος ctt. — οἱ τῆς ἡλ. ἐντός, *citra iustam militiae aetatem constituti*, quibus opponuntur οἱ γεραίτεροι s. οἱ ἐκτὸς ἡλικίας. cf. ad Aelian. XXII. — αὐτοὶ μ. *ipsi soli*, quod alias solent μόνοι αὐτοί, quum priori illo ordine fere i. q. αὐτοὶ aut μόνοι. sed h. l. oppositionis vis illud postulabat.

52. αὐτοί, h. l. nihil aliud quam αὐτοὶ μόνοι §. 50. cf. ad Arrian. IV, 1, 6. — τοῖς ἤδη ἀπειρ. *defatigatorum ope;* vermittelst ders. est enim Dativus quem dicunt instrumentalis cum ἐνίκων iungendus. quod idem vocabulum dominatur in duo Obiecta sine vinculo nexa, ἀπ. τὴν δύναμιν et τοὺς .. ἀξιώσαντας.

53. οἱ μὲν .. δυνάμενοι, satis putida haec et nauseosa utpote bis terve repetita paucis mutatis §. 50. 52. — ἐπαιδεύοντο .. ἐβουλεύοντο, illud de artibus litterisque, quibus qui aetatem militarem nondum adtigerant domum reduces instituendi, hoc de re forensi, quae decet aetate sapientiaque probatos.

54. καθ' ἕκαστον. Lys. or. p. bonis Arist. §. 57. ἵνα δὲ εἰδῆτε καὶ

ὑφ' ἑνὸς ῥηθῆναι, οὐδὲ τὰ ἐν ἅπαντι τῷ χρόνῳ πραχθέντα ἐν μιᾷ ἡμέρᾳ δηλωθῆναι. τίς γὰρ ἂν ἢ χρόνος ἢ λόγος ἢ ῥήτωρ ἱκανὸς γένοιτο μηνῦσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετήν; μετὰ πλεί-55 στων γὰρ πόνων καὶ φανερωτάτων ἀγώνων καὶ καλλίστων κινδύνων ἐλευθέραν μὲν ἐποίησαν τὴν Ἑλλάδα, μεγίστην δ' ἀπέδειξαν τὴν ἑαυτῶν πατρίδα, ἑβδομήκοντα μὲν ἔτη τῆς θαλάττης ἄρξαντες, ἀστασιάστους δὲ παρασχόντες τοὺς συμμάχους, οὐ τοῖς ὀλίγοις τοὺς πολλοὺς δουλεύειν ἀξιώσαντες, ἀλλὰ τὸ ἴσον ἔχειν ἅπαντας ἀναγκά-56 σαντες, οὐδὲ τοὺς συμμάχους ἀσθενεῖς ποιοῦντες, ἀλλὰ κἀκείνους ἰσχυροὺς καθιστάντες καὶ τὴν αὑτῶν δύναμιν τοσαύτην ἐπιδείξαντες, ὥσθ' ὁ μέγας βασιλεὺς οὐκ ἔτι τῶν ἀλλοτρίων ἐπεθύμει, ἀλλ' ἐδίδου τῶν ἑαυτοῦ καὶ περὶ τῶν λοιπῶν ἐφοβεῖτο. καὶ οὔτε τριήρεις ἐν57 ἐκείνῳ τῷ χρόνῳ ἐκ τῆς Ἀσίας ἔπλευσαν, οὔτε τύραννος ἐν τοῖς Ἕλλησιν κατέστη, οὔτε Ἑλληνὶς πόλις ὑπὸ τῶν βαρβάρων ἠνδραποδίσθη. τοσαύτην σωφροσύνην καὶ δέος ἡ τούτων ἀρετὴ πᾶσιν ἀνθρώποις παρεῖχεν. ὧν ἕνεκα δεῖ μόνους καὶ προστάτας τῶν Ἑλλήνων καὶ ἡγεμόνας τῶν πόλεων γίγνεσθαι. ἐπέδειξαν δὲ καὶ ἐν ταῖς58 δυστυχίαις τὴν ἑαυτῶν ἀρετήν. ἀπολομένων γὰρ τῶν νεῶν ἐν Ἑλλησπόντῳ εἴτε ἡγεμόνος κακίᾳ, εἴτε θεῶν διανοίᾳ, καὶ συμφορᾶς ἐκείνης μεγίστης γενομένης καὶ ἡμῖν τοῖς δυστυχήσασι καὶ τοῖς ἄλλοις Ἕλλησιν, ἐδήλωσαν οὐ πολλῷ χρόνῳ ὕστερον, ὅτι ἡ τῆς πόλεως δύναμις τῆς Ἑλλάδος ἦν σωτηρία. ἑτέρων γὰρ ἡγεμόνων γενομένων59 ἐνίκησαν μὲν ναυμαχοῦντες τοὺς Ἕλληνας οἱ πρότερον εἰς τὴν θάλατταν οὐκ ἐμβαίνοντες, ἔπλευσαν δ' εἰς τὴν Εὐρώπην, δουλεύουσι δὲ πόλεις τῶν Ἑλλήνων, τύραννοι δ' ἐγκαθεστᾶσιν, οἱ μὲν μετὰ τὴν ἡμετέραν συμφοράν, οἱ δὲ μετὰ τὴν νίκην τῶν βαρβάρων· ὥστ'60

ὑμεῖς, καθ' ἑκάστην ἀναγνώσεται (τὴν εἰσφοράν). — ἐν ἅπαντι τ. χρ. cf. ad §. 13. — ἐνθάδε κ. τ. ad §. 1.

55. ἑβδομήκοντα, rhetorice minusque accurate rebus defungitur computatu, ni fallor, ratione temporum a pugna Salaminia usque ad Athenas a Lysandro captas; 480—404. Ol. 75, 1 — 94, 1. comp. ad §. 47. sed haec iam minutiora, cognito quantopere mox ipsius auctoris culpa res exaggerentur et pervertantur.

56. τὸ ἴσον. necessitas *aequi juris* servandi omnibus Atheniensibus erat imposita, unde factum est, ut integris rebus publicis notione τοῦ ἴσου comprehenderentur ἰσονομία, ἰσηγορία, παῤῥησία, ἐλευθερία. Arist. Pol. V, 7, 22. τὸ δίκαιον ἴσον δοκεῖ εἶναι, ἴσον δὲ ὅ τι ἂν δόξῃ τῷ πλήθει, τοῦτ' εἶναι κύριον. supra §. 18. — ὁ μέγας β. Articulum omnes Codd. tuentur. v. ad Plut. V, 4.

58. ἀπολομένων γὰρ ctt. in pugna ad Aegospotamos (a. 405) urbem Chersonesi Thraciae, nisi clade totius rei classiariae non nobilem. in qua pugna functi sunt munere imperatorio Tydeus et Menander Alcibiade iam abire iusso eiusque consilio spreto. cf. Xen. hist. Gr. II, 1, 25 sq.

59. ἑτέρων γ. ἡγ. *aliis* (Lacedaemoniis a. 404) *principatum adeptis* ctt. — ἐνίκησαν ctt. quamquam de Cononis ad Cnidum victoria (a. 393) loquitur, ad solos Persas deferre videtur, quod ope quidem barbararum navium, sed strenua potissimum virtute imperatoris expugnatum erat. neque secus Isocr. Paneg. §. 119. μετὰ τὴν ἐν Ἑλλησπόντῳ γενομένην ἀτυχίαν ἑτέρων ἡγεμόνων καταστάντων ἐνίκησαν μὲν οἱ βάρβαροι ναυμαχοῦντες. — δουλεύουσι, optime h. l. Aoristo praemisso. prius illud (ἔπλευσαν) praeteritum quid vere brevique absolutum enuntiat, alterum autem continuo saepiusque repetitum.

ἄξιον ἦν ἐπὶ τῷδε τῷ τάφῳ τότε κείρασθαι τῇ Ἑλλάδι καὶ πενθῆσαι τοὺς ἐνθάδε κειμένους, ὡς συγκαταθαπτομένης τῆς αὐτῶν ἐλευθερίας τῇ τούτων ἀρετῇ· ὡς δυστυχὴς μὲν ἡ Ἑλλὰς τοιούτων ἀνδρῶν ὀρφανὴ γενομένη, εὐτυχὴς δ' ὁ τῆς Ἀσίας βασιλεὺς ἑτέρων ἡγεμόνων λαβόμενος. τῇ μὲν γὰρ τούτων στερηθείσῃ δουλεία περιέστηκε, τῷ δ' ἄλλων ἀρξάντων ζῆλος ἐγγίγνεται τῆς τῶν προγόνων διανοίας.
61 Ἀλλὰ ταῦτα μὲν ἐξήχθην ὑπὲρ πάσης ὀλοφύρασθαι τῆς Ἑλλάδος· ἐκείνων δὲ τῶν ἀνδρῶν ἄξιον καὶ ἰδίᾳ καὶ δημοσίᾳ μεμνῆσθαι, οἳ φεύγοντες τὴν δουλείαν καὶ περὶ τοῦ δικαίου μαχόμενοι καὶ ὑπὲρ τῆς δημοκρατίας στασιάσαντες, πάντας πολεμίους κεκτημένοι εἰς τὸν Πειραιᾶ κατῆλθον, οὐχ ὑπὸ νόμου ἀναγκασθέντες, ἀλλ' ὑπὸ τῆς φύσεως πεισθέντες, καινοῖς κινδύνοις τὴν παλαιὰν τῶν προγόνων
62 ἀρετὴν μιμησάμενοι, ταῖς αὐτῶν ψυχαῖς κοινὴν τὴν πόλιν καὶ τοῖς ἄλλοις κτησάμενοι, θάνατον μετ' ἐλευθερίας αἱρούμενοι ἢ βίον μετὰ δουλείας, οὐχ ἧττον ταῖς συμφοραῖς αἰσχυνόμενοι, ἢ τοῖς ἐχθροῖς ὀργιζόμενοι, μᾶλλον βουληθέντες ἐν τῇ αὐτῶν ἀποθνήσκειν, ἢ ζῆν τὴν ἀλλοτρίαν οἰκοῦντες, ξυμμάχους μὲν ὅρκους καὶ ξυνθήκας ἔχοντες, πολεμίους δὲ τοὺς πρότερον ὑπάρχοντας καὶ τοὺς πολίτας τοὺς
63 ἑαυτῶν. ἀλλ' ὅμως οὐ τὸ πλῆθος τῶν ἐναντίων φοβηθέντες, ἀλλ' ἐν τοῖς σώμασι τοῖς ἑαυτῶν κινδυνεύσαντες, τρόπαιον μὲν τῶν πολεμίων ἔστησαν, μάρτυρας δὲ τῆς αὐτῶν ἀρετῆς ἐγγὺς ὄντας τοῦδε τοῦ μνήματος τοὺς Λακεδαιμονίων τάφους παρέχονται. καὶ γάρ τοι μεγάλην μὲν ἀντὶ μικρᾶς ἀπέδειξαν τὴν πόλιν, ὁμονοοῦσαν δὲ ἀντὶ στασιαζούσης ἀπέφηναν, τείχη δὲ ἀντὶ τῶν καθῃρημένων ἀνέ-
64 στησαν. οἱ δὲ κατελθόντες αὐτῶν, ἀδελφὰ τὰ βουλεύματα τοῖς ἔργοις τῶν ἐνθάδε κειμένων ἐπιδεικνύντες, οὐκ ἐπὶ τιμωρίαν τῶν ἐχθρῶν, ἀλλ' ἐπὶ σωτηρίαν τῆς πόλεως ἐτράποντο· καὶ οὔτ' ἐλαττοῦσθαι δυνάμενοι, οὔτ' αὐτοὶ πλέον ἔχειν δεόμενοι, τῆς μὲν αὐτῶν ἐλευθερίας καὶ τοῖς βουλομένοις δουλεύειν μετέδοσαν, τῆς δ' ἐκείνων
65 δουλείας αὐτοὶ μετέχειν οὐκ ἠξίωσαν· ἔργοις δὲ μεγίστοις καὶ καλ-

60. κείρασθαι, forma media de iis praesertim, qui pro more veterum capillos tondebant dolore commoti offusique. iam apud Homerum frequens, postea de civitatibus atque urbibus δημοσίᾳ κείρασθαι. — αὐτῶν, τῶν Ἑλλήνων, quod ex Ἑλλάδι sumendum. — λαβόμενος, novos duces nactus, ut alias fere τυχών. de Gen. saepius monitum. v. ad Aesop. f. 9.

61. ἐξήχθην, cum Inf. adactus sum, adfectu quodam animi raptus sum ad deplorandum. comp. προάγεσθαι c. Inf. supra ad Pausan. IV, 1. Dem. de f. leg. §. 225. εἴ τι σιωπᾶν ἐγνώκειν, νῦν λέγειν ἐξάγομαι. — στασιάσαντες ctt. orator ea adtingit, quae supra perscribuntur Xen. II. πάντας, qui Athenis relicti in potestate erant triginta virorum.

62. ταῖς αὐτῶν ψ. suis ipsorum vitis propositis. de Dat. v. §. 52. — αἱρούμενοι ἤ, supplendum μᾶλλον, quod quum alias accidit, tum vv. βούλεσθαι, εὔχεσθαι, προθυμεῖσθαι, αἱρεῖσθαι. Lys. de adf. tyr. init. ζητοῦσι κερδαίνειν ἢ ὑμᾶς πείθειν. de natura huius Ellipsis egit Herm. ad Vig. p. 884. Latinis simile quid probatum v. Sall. Cat. 8, 1. 52, 3 Kritz.

63. ἐν τοῖς σώμ. comp. κινδυνεύειν περὶ τοῦ σώμ. sensu iuridico: causam capitis agere. v. supra §. 25. — ἐγγὺς ὄντας .. τάφους. lege supra Xen. II, 11. — τείχη δέ ctt. h. l. brevior est quam solet, dicit enim: nova, vel si mavis recentia moenia pro dirutis extruxerunt, quod si opus est facile explebis voce aliqua opposita τῷ καθαιρεῖσθαι.

64. ἀδελφά, iunge cum τοῖς ἔργοις. lenis est nec admodum rara metathesis, de qua supra ad Long. II, 3. hoc quidem loco quantopere verbis traiectis augeatur vis sententiae quivis videt adtentior.

λίστοις ἀπελογήσαντο, ὅτι οὐ κακίᾳ τῇ αὐτῶν, οὐδ' ἀρετῇ τῶν πολεμίων πρότερον ἐδυστύχησεν ἡ πόλις. εἰ γὰρ στασιάσαντες πρὸς ἀλλήλους βίᾳ τῶν παρόντων Πελοποννησίων καὶ τῶν ἄλλων ἐχθρῶν εἰς τὴν αὐτῶν οἷοί τε ἐγένοντο κατελθεῖν, δῆλον ὅτι ῥᾳδίως ἂν ὁμονοοῦντες πολεμεῖν αὐτοῖς ἐδύναντο. ἐκεῖνοι μὲν οὖν διὰ τοὺς ἐν 66
Πειραιεῖ κινδύνους ὑπὸ πάντων ἀνθρώπων ζηλοῦνται· ἄξιον δὲ καὶ τοὺς ξένους τοὺς ἐνθάδε κειμένους ἐπαινέσαι, οἳ τῷ κλήδει βοηθήσαντες καὶ περὶ τῆς ἡμετέρας σωτηρίας μαχόμενοι, πατρίδα τὴν ἀρετὴν ἡγησάμενοι, τοιαύτην τοῦ βίου τελευτὴν ἐποιήσαντο· ἀνθ' ὧν ἡ πόλις αὐτοὺς καὶ ἐπένθησε καὶ ἔθαψε δημοσίᾳ, καὶ ἔδωκεν ἔχειν αὐτοῖς τὸν ἅπαντα χρόνον τὰς αὐτὰς τιμὰς τοῖς ἀστοῖς.

Οἱ δὲ νῦν θαπτόμενοι, βοηθήσαντες Κορινθίοις ὑπὸ παλαιῶν 67
φίλων ἀδικουμένοις καινοὶ σύμμαχοι γενόμενοι, οὐ τὴν αὐτὴν γνώμην Λακεδαιμονίοις ἔχοντες, — οἱ μὲν γὰρ τῶν ἀγαθῶν αὐτοῖς ἐφθόνουν, οἱ δὲ ἀδικουμένους αὐτοὺς ἠλέουν, — οὔτε τῆς προτέρας ἔχθρας μεμνημένοι, ἀλλὰ τὴν παροῦσαν φιλίαν περὶ πολλοῦ ποιούμενοι πᾶσιν ἀνθρώποις φανερὰν τὴν αὐτῶν ἀρετὴν ἐπεδείξαντο. ἐτόλμησαν γὰρ μεγάλην ποιοῦντες τὴν Ἑλλάδα οὐ μόνον ὑπὲρ 68
τῆς αὐτῶν σωτηρίας κινδυνεύειν, ἀλλὰ καὶ ὑπὲρ τῆς τῶν πολεμίων ἐλευθερίας ἀποθνήσκειν· τοῖς γὰρ Λακεδαιμονίων συμμάχοις περὶ τῆς ἐκείνων ἐλευθερίας ἐμάχοντο. νικήσαντες μὲν γὰρ ἐκείνους τῶν αὐτῶν ἠξίουν· δυστυχήσαντες δὲ βέβαιον τὴν δουλείαν τοῖς ἐν τῇ Πελοποννήσῳ κατέλιπον. ἐκείνοις μὲν οὖν οὕτω διακειμένοις ὁ βίος 69
οἰκτρὸς καὶ ὁ θάνατος εὐκτός· οὗτοι δὲ καὶ ζῶντες καὶ ἀποθανόντες ζηλωτοί, παιδευθέντες μὲν ἐν τοῖς τῶν προγόνων ἀγαθοῖς, ἄνδρες δὲ γενόμενοι τήν τ' ἐκείνων δόξαν διασώσαντες καὶ τὴν αὐτῶν ἀρετὴν ἐπιδείξαντες. πολλῶν μὲν γὰρ καὶ καλῶν αἴτιοι γεγένηνται 70
τῇ ἑαυτῶν πατρίδι, ἐπηνώρθωσαν δὲ τὰ ὑφ' ἑτέρων δυστυχηθέντα, πόῤῥω δ' ἀπὸ τῆς αὐτῶν τὸν πόλεμον κατέστησαν. ἐτελεύτησαν δὲ τὸν βίον ὥσπερ χρὴ τοὺς ἀγαθοὺς ἀποθνήσκειν, τῇ μὲν πατρίδι τὰ τροφεῖα ἀποδόντες, τοῖς δὲ θρέψασι λύπας καταλιπόντες· ὥστε ἄξιον 71

---

65. ἀπελογήσαντο, alii male ἀπελογίσαντο. vid. ad Xen. III, 21. — βίᾳ τῶν π. *Peloponnesiis invitis.* quae tantum ex parte vera sunt. quis nesciat temporibus illis et Thebanos et ipsum Pausaniam Atheniensium partibus favisse? v. Plut. Lysand. c. 21. c. 27. — κατελθεῖν. vid. quod monitum est de v. ἥκειν ad Xen. I, 6.

66. πατρίδα τ. ἀρ. Isocr. Archid. §. 43. πατρίδα μὲν τὴν ἐλευθερίαν νομίσαντες. — ἀνθ' ὧν. v. ad Long. II, 4. — τὰς αὐτὰς .. τοῖς ἀ. ut mox §. 67 τὴν αὐτὴν γν. Λ. §. 76 τὸ ἴσον τοῖς ἄλλοις. v. ad Stob. IV.

67. ὑπὸ παλ. φίλ. Lacedaemonii plerisque omnibus temporibus fuerant amicitia ac societate iuncti cum Corinthiis. hinc Reiske pro vulg. κοινοὶ recte, si quid video, corrigit καινοί, postulari id ratus ab opposito.

68. τοῖς γ. Λ. συμμάχοις, cum Messeniis, Eleis a Lysippo vexatis (Xen. hist. Gr. III, 2, 30), aliis sociis Lacedaemoniorum pessime actum erat. Athenienses igitur et Boeotii foedere cum Corinthiis Argivisque icto adversus socios istos, ut ait, *pugnabant libertatem reddituri.* — τῶν αὐτῶν, idem, quo ipsi utebantur, imperium populare communicare cum Peloponnesiis conabantur: haec enim summa universi belli, si quidem Athenienses respexeris.

69. ἐκείνοις, τοῖς Λακεδαιμονίων συμμάχοις. — ἀγαθοῖς, non solum in rebus praeclare gestis, sed in quibusque patriae decoribus ornamentisque. vox enim latius patet.

71. ὥστε ἄξιον, omisso verbo auxiliari, ut supra Xen. IV, 18. Lys.

τοῖς ζῶσι τούτους ποθεῖν καὶ σφᾶς αὐτοὺς ὀλοφύρεσθαι καὶ τοὺς
προσήκοντας αὐτῶν ἐλεεῖν τοῦ ἐπιλοίπου βίου. τίς γὰρ αὐτοῖς ἔτι
ἡδονὴ καταλείπεται τοιούτων ἀνδρῶν θαπτομένων, οἳ πάντα περὶ
ἐλάττονος τῆς ἀρετῆς ἡγούμενοι αὐτοὺς μὲν ἀπεστέρησαν βίου, χή-
ρας δὲ γυναῖκας ἐποίησαν, ὀρφανοὺς δὲ τοὺς αὑτῶν παῖδας ἀπέλι-
πον, ἐρήμους δ' ἀδελφοὺς καὶ πατέρας καὶ μητέρας κατέστησαν;
72πολλῶν δὲ καὶ δεινῶν ὑπαρχόντων τοὺς μὲν παῖδας αὐτῶν ζηλῶ,
ὅτι νεώτεροί εἰσιν ἢ ὥστε εἰδέναι οἵων πατέρων ἐστέρηνται· ἐξ ὧν δ'
οὗτοι γεγόνασιν οἰκτείρω, ὅτι πρεσβύτεροι ἢ ὥστε ἐπιλαθέσθαι τῆς
73δυστυχίας τῆς ἑαυτῶν. τί γὰρ ἂν τούτων ἀνιαρότερον γένοιτο, ἢ
τεκεῖν μὲν καὶ θρέψαι καὶ θάψαι τοὺς αὑτῶν, ἐν δὲ τῷ γήρᾳ ἀδυ-
νάτους μὲν εἶναι τῷ σώματι, πασῶν δ' ἀπεστερημένους τῶν ἐλπίδων,
ἀφίλους καὶ ἀπόρους γεγονέναι; ὑπὸ δὲ τῶν αὐτῶν πρότερον ζηλοῦ-
σθαι καὶ νῦν ἐλεεῖσθαι; ποθεινότερον δ' αὐτοῖς εἶναι τὸν θάνατον
τοῦ βίου; ὅσῳ γὰρ ἄνδρες ἀμείνους ἦσαν, τοσούτῳ τοῖς καταλει-
74πομένοις τὸ πένθος μεῖζον. πῶς δ' αὐτοὺς χρὴ λῆξαι τῆς λύπης;
πότερον ἐν ταῖς τῆς πόλεως συμφοραῖς; ἀλλὰ τότε αὐτῶν εἰκὸς καὶ
τοὺς ἄλλους μεμνῆσθαι. ἀλλ' ἐν ταῖς εὐτυχίαις ταῖς κοιναῖς; ἀλλ'
ἱκανὸν λυπῆσαι, τῶν μὲν σφετέρων τέκνων τετελευτηκότων, τῶν
δὲ ζώντων ἀπολαυόντων τῆς τούτων ἀρετῆς. ἀλλ' ἐν τοῖς ἰδίοις κιν-
δύνοις; ὅταν ὁρῶσι τοὺς μὲν πρότερον ὄντας φίλους φεύγοντας τὴν
αὐτῶν ἀπορίαν, τοὺς δ' ἐχθροὺς μέγα φρονοῦντας ἐπὶ ταῖς δυστυ-
75χίαις ταῖς τούτων; μόνην δ' ἄν μοι δοκοῦμεν ταύτην τοῖς ἐνθάδε
κειμένοις ἀποδοῦναι χάριν, εἰ τοὺς μὲν τοκέας αὐτῶν ὁμοίως ὥσπερ
ἐκεῖνοι περὶ πολλοῦ ποιοίμεθα, τοὺς δὲ παῖδας οὕτως ἀσπαζοίμεθα
ὥσπερ αὐτοὶ πατέρες ὄντες, ταῖς δὲ γυναιξὶν εἰ τοιούτους βοηθοὺς
76ἡμᾶς αὐτοὺς παρέχοιμεν, οἱοίπερ ἐκεῖνοι ζῶντες ἦσαν. τίνας γὰρ
ἂν εἰκότως μᾶλλον τιμῶμεν τῶν ἐνθάδε κειμένων; τίνας δ' ἂν τῶν
ζώντων δικαιότερον περὶ πολλοῦ ποιοίμεθα, ἢ τοὺς τούτοις προσή-
κοντας; οἱ τῆς μὲν τούτων ἀρετῆς τὸ ἴσον τοῖς ἄλλοις ἀπέλαυσαν,
ἀποθανόντων δὲ μόνοι γνησίως τῆς δυστυχίας μετέχουσιν.

---

§. 3. §. 61. §. 66. v. tamen §. 60. alia quaedam ex hac oratione addas, quae eodem fere carent, velut ἱκανός §. 1. §. 74. οὐδὲν θαυμαστόν §. 26. οὐ ῥᾴδιον §. 54. δῆλον §. 65. εἰκός §. 74. ἀνάγκη §. 81. — προσήκοντας αὐτῶν, v. ad Xen. V, 34. alii ex uno Cod. praeferunt αὐτοῖς. Plat. Apol. 8. οἱ τούτων προσήκοντες. ceterum recte Thom. M. οὐ μόνον οἱ προσήκοντες τούτῳ, ἀλλὰ καὶ οἱ πρ. τούτου. v. infra §. 76.

73. τούτων .. ἤ, Pronomen, ut saepius legistis, usu proleptico capiendum, quo duplex comparationis membrum inferri videtur. vid. quae monuimus ad Xen. VI, 20. — ἀδυνάτους, h. l. idem quod ἀσθενεῖς. Xen. Cyrop. I, 5, 10. γήρᾳ ἀδυνάτους γίγνεσθαι.

74. ἀλλὰ τότε .. ἀλλ' .. ἀλλ', vicissim est respondentis et percontantis. verte: *qui fieri potest ut modum faciant moestitiae? num forte in publicis calamitatibus? at credibile profecto tunc quidem* ctt. *an feliciter rebus publicis gestis? at (atqui) satis, opinor, multa quae tristitia illos adficiant* ctt.

75. ἄν μ. δοκοῦμεν .. ἀποδοῦναι. Particula ἄν quocum iungenda, discas ex citatis ad Xen. II, 8. — ὥσπερ .. ὄντες, *ac si nos ipsi eos suscepissemus.*

76. μόνοι γνησίως, *calamitatem illis sublatis vere accipiunt soli,* quibus opposita sunt τὸ ἴσον τοῖς ἄλλοις.

Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅ τι δεῖ τοιαῦτα ὀλοφύρεσθαι. οὐ γὰρ ἐλαν- 77
θάνομεν ἡμᾶς αὐτοὺς ἅπαξ ὄντες θνητοί· ὥστε τί δεῖ ἃ πάλαι προσ-
εδοκῶμεν πείσεσθαι, ὑπὲρ τούτων νῦν ἄχθεσθαι, ἢ λίαν οὕτω βα-
ρέως φέρειν ἐπὶ ταῖς τῆς φύσεως συμφοραῖς, ἐπισταμένους ὅτι ὁ
θάνατος κοινὸς καὶ τοῖς χειρίστοις καὶ τοῖς βελτίστοις; οὔτε γὰρ
τοὺς πονηροὺς ὑπερορᾷ, οὔτε τοὺς ἀγαθοὺς θαυμάζει, ἀλλ' ἴσον
ἑαυτὸν παρέχει πᾶσιν. εἰ μὲν γὰρ οἷόν τε ἦν τοὺς ἐν τῷ πολέμῳ 78
κινδύνους διαφυγοῦσιν ἀθανάτους εἶναι τὸν λοιπὸν χρόνον, ἄξιον
ἦν τοῖς ζῶσι τὸν ἅπαντα χρόνον πενθεῖν τοὺς τεθνεῶτας. νῦν δὲ ἥ
τε φύσις καὶ νόσων ἥττων καὶ γήρως, ὅ τε δαίμων ὁ τὴν ἡμετέραν
μοῖραν εἰληχὼς ἀπαραίτητος. ὥστε προσήκει τούτους εὐδαιμονεστά- 79
τους ἡγεῖσθαι, οἵτινες ὑπὲρ μεγίστων καὶ καλλίστων κινδυνεύσαντες
οὕτως τὸν βίον ἐτελεύτησαν, οὐκ ἐπιτρέψαντες περὶ αὐτῶν τῇ τύχῃ,
οὐδὲ ἀναμείναντες τὸν αὐτόματον θάνατον, ἀλλ' ἐκλεξάμενοι τὸν
κάλλιστον. καὶ γάρ τοι ἀγήρατοι μὲν αὐτῶν αἱ μνῆμαι, ζηλωταὶ δὲ
ὑπὸ πάντων ἀνθρώπων αἱ τιμαί· οἱ πενθοῦνται μὲν διὰ τὴν φύσιν 80
ὡς θνητοί, ὑμνοῦνται δὲ ὡς ἀθάνατοι διὰ τὴν ἀρετήν. καὶ γάρ τοι
θάπτονται δημοσίᾳ καὶ ἀγῶνες τίθενται ἐπ' αὐτοῖς ῥώμης καὶ σοφίας
καὶ πλούτου, ὡς ἀξίους ὄντας τοὺς ἐν τῷ πολέμῳ τετελευτηκότας
ταῖς αὐταῖς τιμαῖς καὶ τοὺς ἀθανάτους τιμᾶσθαι. ἐγὼ μὲν οὖν αὐ- 81
τοὺς καὶ μακαρίζω τοῦ θανάτου καὶ ζηλῶ καὶ μόνοις τούτοις ἀν-
θρώπων οἶμαι κρεῖττον εἶναι γενέσθαι, οἵτινες ἐπειδὴ θνητῶν σω-
μάτων ἔτυχον, ἀθάνατον μνήμην διὰ τὴν ἀρετὴν αὐτῶν κατέλιπον·
ὅμως δ' ἀνάγκη τοῖς ἀρχαίοις ἔθεσι χρῆσθαι, καὶ θεραπεύοντας τὸν
πάτριον νόμον ὀλοφύρεσθαι τοὺς θαπτομένους.

---

77. ἀλλὰ γάρ, formula est corrigentis, *iam vero; mittamus haec* (ἀλλά), *nihil enim video quid expediat* ctt. — ἅπαξ ὄντες θν. h. l. non de numero, sed de eo quod certo futurum est: dass wir einmal Sterbliche sind. vid. ad Arrian. II, 2, 7. — λίαν οὕτω β. φ. *tam aegre ferre;* nos: so gar unzufrieden sein mit etwas. observa structuram intransitivam dictionum βαρέως, δεινῶς, πράως φέρειν, Atticis non adeo insolitam. Dem. c. Theocr. πράως ἐπὶ τοῖς γιγνομένοις φέρειν. alia exempla v. ap. Wess. ad Diod. III. c. 59, ubi de mero Dativo non minoris faciendo doceberis. — ὑπερορᾷ, c. Acc. vid. M. §. 378. not. 2.

78. ἀθανάτους, potuisset etiam per attractionem ἀθανάτοις εἶναι. cf. §. 24. — δαίμων, *Genius* humanae naturae deus, strenuus atque perpetuus adsecla una cum homine gigni per totamque vitam arbitrio regnare inexorabili credebatur. — εἰληχώς. λαγχάνειν quo iure proprie sibi poscat Accusativum exposuit Bernh. Synt. p. 176. 178.

79. οὐκ ἐπιτρέψαντες .. τύχῃ, *non fato alicui permittentes arbitrium sui.* — καὶ γάρ τοι, recte pro vulg. καίτοι γάρ Bekk. aliique. v. ad §. 42.

80. σοφίας (ἀγῶνες), edita sunt Graecis etiam poeseos et eloquentiae certamina, quae quin huic loco maxime conveniant, ex eo etiam non dubitas, quod supra legimus §. 3, ubi ὑμνεῖν poetarum est, λέγειν et τιμᾶν oratorum atque omnium omnino soluta oratione utentium. quamquam prius illud ab orandi arte non prorsus alienum. Pericles ap. Thuc. II, 42. τὴν πόλιν ὕμνησα. — ὡς .. τιμᾶσθαι, v. ad Aesop. f. II extr.

81. κρεῖττον εἶναι, illis solis existimo *expedire* quod nati sint. similiter Eurip. Alcest. 982. τί μοι ζῆν δῆτα κύδιον, φίλοι; ubi Schol. κρεῖττον. plenius Xen. Apol. 33. ἔγωγε (Σωκράτης) τοῦ ἔτι ζῆν τὸ τεθνάναι αὐτῷ κρεῖσσον εἶναι, quae qualis sit ratio formulae κρεῖττον εἶναι cum Dat. et Infin. te edocebunt.

[Areopagiticus].

ΙΣΟΚΡΑΤΟΥΣ ΑΘΗΝΑΙΟΥ.

1 Πολλοὺς ὑμῶν οἶμαι θαυμάζειν, ἥντινά ποτε γνώμην ἔχων περὶ σωτηρίας τὴν πρόσοδον ἐποιησάμην, ὥσπερ τῆς πόλεως ἐν κινδύνοις οὔσης ἢ σφαλερῶς αὐτῇ τῶν πραγμάτων καθεστώτων, ἀλλ' οὐ πλείους μὲν τριήρεις ἢ διακοσίας κεκτημένης, εἰρήνην δὲ καὶ τὰ περὶ τὴν χώ-

Isocrates anno 436 a. C. Ol. 86, 1 Athenis natus est et paucis diebus post cladem Chaeronensem (338) mortem occubuit, nihil suis ultra relictum augurans nisi vel vivere vel perire cum dedecore. pietate patris Theodori mature litteris instituto secunda filio adolescenti fortuna obtigit, ut Socrates indolem eius ad virtutem pronam foveret et ingenium altioribus studiis impertiret, veram eloquentiam demonstrans perenni philosophiae fonte irrigandam. orator subinde quamvis cum Theramene oratoriae artis magistro, cum Platone, Xenophonte, aliis vixerit familiarissime, tamen isti viro divino tantum non omnia videtur accepta retulisse, quibus quam Athenis aperuit scholam rhetoricam quasi ad dicendi officinam provexit universae Graeciae celebratissimam et adolescentes ab omni cura forensium exercitationum avocatos docere coepit prudentiam cum eloquentia iungere. Orationes Isocratis genuinae viginti quinque, si alios audis viginti una etiamnunc superstites numerantur, quarum quam hic proponendam duximus Areopagiticam (Ἰ. Ἀρεοπαγιτικός) iure aestimant efficacissimam ad animos modestiores reddendos legumque plebeculae imperio refragantium amantissimos. etenim oratio anno fere 354 a. C. scripta in eo potissimum — id quod nomen ei indidit — versatur, ut Areopagitarum senatum rigidum istum tutorem legum a Solone latarum in pristinam dignitatem restituat et optimis civibus res administrandas commendet. atque exordio facto, quo pessime actum cum civitate Atheniensium docemur bonis institutis orbata (1—15), res Solonis Clisthenisque temporibus gestae praedicantur fortunatiores (16—28). causae positae in ipsa administratione, in pietate erga deos, in mutua civium benevolentia, in auctoritate Areopagi (29—36). virtutes huius senatus (37—56). refutatis denique qui oratorem imperio paucorum studere opinentur, cives, ut peiore rerum statu spreto meliorem adpetant, admonentur. — Edd. Adamant. Coraës (Κοραῆς). Paris. 1807. 8. Imm. Bekker. or. Att. T. II. Berol. 1823. 8.

1. ὑμῶν, oratio quamquam non habita est, coram populo Atheniensi, quem Isocrates adloquitur, haberi fingitur. — πρόσοδον ἐπ. ut infra §. 84 formula propria de iis, qui copia dicendi concessa in concionem prodeunt consilia daturi. nihil igitur aliud quam Demosthenicum illud παρέρχεσθαι εἰς τὸν δῆμον. comp. §. 15 πρόσοδον ἀπογράφεσθαι. iam orator acturus est περὶ σωτηρίας i. e. *de salute publica*, ne quid respbl. detrimenti capiat. — ὥσπερ. ctt. sensus est: *quasi urbs in periculis vel eiusdem res in lubrico versentur, quasi vero illa non plures possideat triremes* ctt. — τὰ περὶ τ. χ. de Acc. egit Bernh. Synt. p. 125. comp. Plat. Theaet. p. 172. b.

ραν ἀγούσης καὶ τῶν κατὰ θάλατταν ἀρχούσης, ἔτι δὲ συμμάχους 2
ἐχούσης πολλοὺς μὲν τοὺς ἑτοίμως ἡμῖν, ἤν τι δέῃ, βοηθήσοντας,
πολὺ δὲ πλείους τοὺς τὰς συντάξεις ὑποτελοῦντας καὶ τὸ προσταττόμε-
νον ποιοῦντας· ὧν ὑπαρχόντων ἡμᾶς μὲν ἄν τις φήσειεν εἰκὸς εἶναι
θαῤῥεῖν ὡς πόῤῥω τῶν κινδύνων ὄντας, τοῖς δ' ἐχθροῖς τοῖς ἡμετέ-
ροις προσήκειν δεδιέναι καὶ βουλεύεσθαι περὶ σωτηρίας. Ὑμεῖς μὲν 3
οὖν οἶδ' ὅτι τούτῳ χρώμενοι τῷ λογισμῷ καὶ τῆς ἐμῆς προσόδου κατα-
φρονεῖτε καὶ πᾶσαν ἐλπίζετε τὴν Ἑλλάδα ταύτῃ τῇ δυνάμει κατασχή-
σειν· ἐγὼ δὲ δι' αὐτὰ ταῦτα τυγχάνω δεδιώς. ὁρῶ γὰρ τῶν πόλεων
τὰς ἄριστα πράττειν οἰομένας κάκιστα βουλευομένας καὶ τὰς μάλιστα
θαῤῥούσας εἰς πλείστους κινδύνους καθισταμένας. αἴτιον δὲ τούτων 4
ἐστίν, ὅτι τῶν ἀγαθῶν καὶ τῶν κακῶν οὐδὲν αὐτὸ καθ' αὑτὸ παραγί-
γνεται τοῖς ἀνθρώποις, ἀλλὰ συντέτακται καὶ συνακολουθεῖ τοῖς μὲν
πλούτοις καὶ ταῖς δυναστείαις ἄνοια καὶ μετὰ ταύτης ἀκολασία, ταῖς
δ' ἐνδείαις καὶ ταῖς ταπεινότησι σωφροσύνη καὶ μετριότης. ὥστε χαλε- 5
πὸν εἶναι διαγνῶναι, ποτέραν ἄν τις δέξαιτο τῶν μερίδων τούτων τοῖς
παισὶ τοῖς αὑτοῦ καταλιπεῖν. ἴδοιμεν γὰρ ἂν ἐκ μὲν τῆς φαυλοτέρας
εἶναι δοκούσης ἐπὶ τὸ βέλτιον ὡς ἐπὶ τὸ πολὺ τὰς πράξεις ἐπιδιδού-
σας, ἐκ δὲ τῆς κρείττονος φαινομένης ἐπὶ τὸ χεῖρον εἰθισμένας μετα-
πίπτειν. καὶ τούτων ἐνεγκεῖν ἔχω παραδείγματα πλεῖστα μὲν ἐκ τῶν 6
ἰδίων πραγμάτων, — πυκνοτάτας γὰρ ταῦτα λαμβάνει τὰς μεταβολάς,
— οὐ μὴν ἀλλὰ μείζω γε καὶ φανερώτερα τοῖς ἀκούουσιν ἐκ τῶν ἡμῖν
καὶ Λακεδαιμονίοις συμβάντων. ἡμεῖς τε γὰρ ἀναστάτου μὲν τῆς πό-
λεως ὑπὸ τῶν βαρβάρων γεγενημένης διὰ τὸ δεδιέναι καὶ προσέχειν τὸν
νοῦν τοῖς πράγμασιν ἐπρωτεύσαμεν τῶν Ἑλλήνων, ἐπειδὴ δ' ἀνυπέρ-
βλητον ᾠήθημεν τὴν δύναμιν ἔχειν, παρὰ μικρὸν ἤλθομεν ἐξανδρα-

---

2. συντάξεις, recte Coraës: λέγει κατ' εὐφημισμὸν τοὺς φόρους. cui convenit ὑποτελεῖν verbum *de tributo pendendo* proprium.

3. οἶδ' ὅτι, more usitatissimo mediae orationi interponitur sine regimine, ut vim particulae adfirmativae sustineat. Lat. *certo scio*, *certo comperi* al. Demosth. Phil. 2. §. 29. οὔτ' ἂν ὑμεῖς εὖ οἶδ' ὅτι ἐπαύσασθε πολεμοῦντες. comp. Lucian. d. mort. V, 1. — ἄριστα πρ. infra §. 8. §. 32. παταδεέστερον πράττειν. §. 14. πράττειν οὕτως. vid. ad Xen. VI, 2.

4. αὐτὸ καθ' αὑτό, id fere quod μόνον. sic Plat. Phaed. p. 64. c. τὸ τεθνάναι quid sit explanatur hisce: χωρὶς μὲν ἀπὸ τῆς ψυχῆς ἀπαλλαγὲν αὐτὸ καθ' ἑαυτὸ τὸ σῶμα γεγονέναι.

5. δέξαιτο. δέχεσθαι h. l. *velle*, vel potius *malle*, *praeoptare*, saepius addito μᾶλλον Comparativo. Isocr. Archid. §. 67. οὐδ' ἂν εὑρεῖν δέξαιντο μᾶλλον ἢ . . ἀφελέσθαι. comp. αἱρεῖσθαι Arrian. II, 1. §. 3. — μερίδων, a portione haereditaria, quae alicui obtingit, ad ea h. l. translatum quae exposita sunt §. 4. — ἐπὶ τὸ βέλτιον . . ἐπιδιδούσας, ex deterioribus videre licet *res fere incrementa capere* s. *bene procedere*. ἐπιδιδόναι igitur vi intransitiva, ut saepissime ap. Isocr. πρὸς εὐπορίαν, πρὸς εὐδαιμονίαν, πρὸς ἅπαντα ἐπιδιδόναι. atque omissa re, qua augemur, Isocr. ad Nicocl. §. 29.

6. λαμβάνει τ. μ. *accipiunt mutationes*, *iis obnoxia sunt*, ut alias ἔχειν, δεικνύναι μεταβολάς. — οὐ μὴν ἀλλά, *verumtamen*, proprie *ne dicam quae hactenus dixi leviora*, *sed graviora*. cf. §. 36, et adiecta sententia, quae his locis post οὐ μὴν videri possit suppressa, §. 57. — παρὰ μικρὸν ἤλθομεν c. Infin. *prope ad id periculi pervenimus*, *ut in servitutem redigeremur* h. e. non multum aberat quin ctt. in quo eodem genere sunt formulae παρ' ὀλίγον ἔρχομαι ποιεῖν τι, παρ' οὐδὲν ἔρχομαι ἀποκτεῖναι. Aesch. adv. Ctesiph. §. 258.

7 ποδισθῆναι· Λακεδαιμόνιοί τε τὸ μὲν παλαιὸν ἐκ φαύλων καὶ ταπεινῶν πόλεων ὁρμηθέντες διὰ τὸ σωφρόνως ζῆν καὶ στρατιωτικῶς κατέσχον Πελοπόννησον, μετὰ δὲ ταῦτα μεῖζον φρονήσαντες τοῦ δέοντος, καὶ λαβόντες καὶ τὴν κατὰ γῆν καὶ τὴν κατὰ θάλατταν ἀρχὴν εἰς
8 τοὺς αὐτοὺς κινδύνους κατέστησαν ἡμῖν. ὅστις οὖν εἰδὼς τοσαύτας μεταβολὰς γενομένας καὶ τηλικαύτας δυνάμεις οὕτω ταχέως ἀναιρεθείσας πιστεύει τοῖς παροῦσι, λίαν ἀνόητός ἐστιν, ἄλλως τε καὶ τῆς μὲν πόλεως ἡμῶν πολὺ καταδεέστερον νῦν πραττούσης ἢ κατ' ἐκεῖνον τὸν χρόνον, τοῦ δὲ μίσους τοῦ τῶν Ἑλλήνων καὶ τῆς ἔχθρας τῆς πρὸς βασιλέα πάλιν ἀνακεκαινισμένης, ἃ τότε κατεπολέμησεν ἡμᾶς.
9 Ἀπορῶ δὲ πότερον ὑπολάβω μηδὲν μέλειν ὑμῖν τῶν κοινῶν πραγμάτων ἢ φροντίζειν μὲν αὐτῶν, εἰς τοῦτο δ' ἀναισθησίας ἥκειν, ὥστε λανθάνειν ὑμᾶς εἰς ὅσην ταραχὴν ἡ πόλις καθέστηκεν. ἐοίκατε γὰρ οὕτω διακειμένοις ἀνθρώποις, οἵτινες ἁπάσας μὲν τὰς πόλεις τὰς ἐπὶ Θρᾴκης ἀπολωλεκότες, πλείω δ' ἢ χίλια τάλαντα μάτην εἰς
10 τοὺς ξένους ἀνηλωκότες, πρὸς δὲ τοὺς Ἕλληνας διαβεβλημένοι καὶ τῷ βαρβάρῳ πολέμιοι γεγονότες, ἔτι δὲ τοὺς μὲν Θηβαίων φίλους σώζειν ἠναγκασμένοι, τοὺς δ' ἡμετέρους αὐτῶν συμμάχους ἀπολωλεκότες, ἐπὶ τοσαύταις πράξεσιν εὐαγγέλια μὲν δὶς ἤδη τεθύκαμεν, ῥᾳθυμότερον δὲ περὶ αὐτῶν ἐκκλησιάζομεν τῶν πάντα τὰ δέοντα πρατ-
11 τόντων. Καὶ ταῦτ' εἰκότως καὶ ποιοῦμεν καὶ πάσχομεν· οὐδὲν γὰρ οἷόν τε γίγνεσθαι κατὰ τρόπον τοῖς μὴ καλῶς περὶ ὅλης τῆς διοικήσεως βεβουλευμένοις, ἀλλ' ἐὰν καὶ κατορθώσωσι περί τινας τῶν πράξεων ἢ διὰ τύχην ἢ δι' ἀνδρὸς ἀρετήν, μικρὸν διαλιπόντες πάλιν εἰς τὰς αὐτὰς ἀπορίας κατέστησαν. καὶ ταῦτα γνοίη τις ἂν ἐκ τῶν περὶ

---

8. ἄλλως τε καί. v. ad Xen. VI, 20. — κατ' ἐκεῖνον τ. χρ. ut mox τότε illa tempora spectat, quae versantur circa res anno 405 a. C. actas paullo ante pugnam ad Aegospotamos et ante occupationem Athenarum Lysandro duce. — πρὸς βασιλέα, sic Bekk. ex Codd. pro vulg. π. τὸν β. vid. ad Lys. §. 43.

9. μέλειν, de constructione verbi v. ad Lucian. d. mort. VI, 5. ceterum quem postulat v. φροντίζειν Accusativum ὑμᾶς expetas a praegresso ὑμῖν. — εἰς τοῦτο ἀναισθησίας, Articulum in his formulis scriptores sedulo cavisse diu adnotarunt vett. Grammatici. quod tamen non constanter factum docuit Lobeck ad Phryn. p. 279 sq. quamquam esse crediderim velut Herodotum et Isocratem qui aut raro aut nunquam migraverint praeceptum istud.

10. διαβεβλημένοι, Graecis suspecti atque invisi, quod Athenienses quum suo ipsorum imperio crudeli tum artibus Philippi Macedonis immortale sibi sociorum odium concitaverant. — τῷ βαρβάρῳ, h. e. Persarum regi, neque vero Philippo, ut aliis placet, cui quippe consorti concilii amphictyonici a Nostro conceditur γένος ὁμόφυλον τοῖς Ἕλλησιν. cf. Weiske de Hyperb. II. p. 47. — Θ. φίλους, videntur eae res intelligi, quas supra expositas legitis apud Xenoph. IV, 1 sq. ibid. 12 sq. — εὐαγγέλια . . τεθύκαμεν, de Accus. v. Bernh. Synt. p. 112. Interpp. ad Xen. Anab. I, 2, 10. verte: *iam bis sacra fecimus tanquam eucharistica ob* (ἐπὶ τ. πρ.) *haec tanta facinora.* quod superest adverte mutationem personarum ἐοίκατε — τεθύκαμεν oratoribus facile condonandam et h. l. leniorem ob Pron. ἡμετέρους. v. Wolf ad Dem. Lept. §. 123.

11. κατὰ τρόπον, sc. τὸν προσήκοντα, *rite.* nos: nach Art; so wie es Art hat. — κατορθώσωσι, h. l. instrans. ut saepius ap. Isocr. οὐ μὴν κατώρθωσαν, ἀλλὰ διεφθάρησαν Paneg. §. 69. — δι' ἀνδρὸς ἀ. *virtute humana*, cui opponitur διὰ τύχην, quod non partum per nos, sed *divinitus* ad nos delatum videtur. quamquam solum humanum inesse iure negaveris, sed viriliter quod fiat animoque magno.

ἡμᾶς γεγενημένων. ἁπάσης γὰρ τῆς Ἑλλάδος ὑπὸ τὴν πόλιν ἡμῶν 12
ὑποπεσούσης καὶ μετὰ τὴν Κόνωνος ναυμαχίαν καὶ μετὰ τὴν Τιμο-
θέου στρατηγίαν οὐδένα χρόνον τὰς εὐτυχίας κατασχεῖν ἠδυνήθημεν,
ἀλλὰ ταχέως διεσκαριφησάμεθα καὶ διελύσαμεν αὐτάς. πολιτείαν γὰρ
τὴν ὀρθῶς ἂν τοῖς πράγμασι χρησωμένην οὔτ' ἔχομεν οὔτε καλῶς ζη-
τοῦμεν. καίτοι τὰς εὐπραγίας ἅπαντες ἴσμεν καὶ παραγιγνομένας καὶ 13
παραμενούσας οὐ τοῖς τὰ τείχη κάλλιστα καὶ μέγιστα περιβεβλημέ-
νοις, οὐδὲ τοῖς μετὰ πλείστων ἀνθρώπων εἰς τὸν αὐτὸν τόπον συνη-
θροισμένοις, ἀλλὰ τοῖς ἄριστα καὶ σωφρονέστατα τὴν αὑτῶν πόλιν
διοικοῦσιν. ἔστι γὰρ ψυχὴ πόλεως οὐδὲν ἕτερον ἢ πολιτεία τοσαύτην 14
ἔχουσα δύναμιν, ὅσηνπερ ἐν σώματι φρόνησις. αὕτη γάρ ἐστιν ἡ
βουλευομένη περὶ ἁπάντων, καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττουσα, τὰς
δὲ συμφορὰς διαφεύγουσα. ταύτῃ καὶ τοὺς νόμους καὶ τοὺς ῥήτορας
καὶ τοὺς ἰδιώτας ἀναγκαῖόν ἐστιν ὁμοιοῦσθαι καὶ πράττειν οὕτως ἑκά-
στους, οἵανπερ ἂν ταύτην ἔχωσιν. ἧς ἡμεῖς διεφθαρμένης οὐδὲν 15
φροντίζομεν, οὐδὲ σκοποῦμεν ὅπως ἐπανορθώσομεν αὐτήν· ἀλλ' ἐπὶ
μὲν τῶν ἐργαστηρίων καθίζοντες κατηγοροῦμεν τῶν καθεστώτων, καὶ
λέγομεν ὡς οὐδέποτ' ἐν δημοκρατίᾳ κάκιον ἐπολιτεύθημεν, ἐν δὲ τοῖς
πράγμασι καὶ ταῖς διανοίαις αἷς ἔχομεν μᾶλλον αὐτὴν ἀγαπῶμεν τῆς
ὑπὸ τῶν προγόνων καταλειφθείσης. ὑπὲρ ἧς ἐγὼ καὶ τοὺς λόγους
μέλλω ποιεῖσθαι καὶ τὴν πρόσοδον ἀπεγραψάμην. Εὑρίσκω γὰρ ταύ- 16
την μόνην ἂν γενομένην καὶ τῶν μελλόντων κινδύνων ἀποτροπὴν καὶ
τῶν παρόντων κακῶν ἀπαλλαγήν, ἣν ἐθελήσωμεν ἐκείνην τὴν δημο-
κρατίαν ἀναλαβεῖν, ἣν Σόλων μὲν ὁ δημοτικώτατος γενόμενος ἐνομο-
θέτησε, Κλεισθένης δ' ὁ τοὺς τυράννους ἐκβαλὼν καὶ τὸν δῆμον
καταγαγὼν πάλιν ἐξ ἀρχῆς κατέστησεν. ἧς οὐκ ἂν εὕροιμεν οὔτε δη- 17
μοτικωτέραν οὔτε τῇ πόλει μᾶλλον συμφέρουσαν. τεκμήριον δὲ μέγι-
στον· οἱ μὲν γὰρ ἐκείνῃ χρώμενοι, πολλὰ καὶ καλὰ διαπραξάμενοι
καὶ παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμήσαντες παρ' ἑκόντων τῶν Ἑλλή-
νων τὴν ἡγεμονίαν ἔλαβον, οἱ δὲ τῆς νῦν παρούσης ἐπιθυμήσαντες,
ὑπὸ πάντων μισηθέντες καὶ πολλὰ καὶ δεινὰ παθόντες μικρὸν ἀπέλι-
πον τοῦ μὴ ταῖς ἐσχάταις συμφοραῖς περιπεσεῖν. καίτοι πῶς χρὴ 18

---

12. ὑπὸ τ. π. vid. Bernh. Synt. p. 267. — διεσκαριφησάμεθα, res secundas celeriter *destruximus*, *quasi unguibus scalpsimus*. recte enim Hesychius: διασκαριφῆσαι ἐπὶ ὀρνέων τῶν τοῖς ὄνυξι σκαλευόντων τὴν γῆν κυρίως λέγεται.

14. αὕτη, intell. ἡ πολιτεία. — ἰδιώτας, ut alias ἰδιῶται et ξένοι, vel apud Demosth. adv. Aristocr. §. 62 ἄρχων et ἰδιώτης (*magistratus et privatus*) nunc rhetores oppositi sunt hominibus de plebe. Hesych. ἰδιῶται, πολῖται.

15. καθίζοντες. v. supra ad Long. II, 4. nostro loco vi intrans. *considentes in officinis*, suetis illis apud Athenienses confabulandi tabernis collegiisque infimae faecis populi. v. Ind. Demosth. Schaef. s. v. ἐργαστήριον. — τ. καθεστώτων, de rerum qui nunc est statu; ἡ κατάστασις τῆς πολιτείας. — πρ. ἀπεγραψάμην, moris fuit, ut ὁ ποιησάμενος πρόσοδον (§. 1.) nomen et rem, de qua dicturus esset, magistratui profiteretur in tabella perscripta. similiter v. simplex Dem. adv. Timocr. §. 48. πρόσοδον γράψασθαι πρὸς τὴν βουλήν.

16. Σ. ὁ δημοτικώτατος. infra §. 59. Arist. Nubb. 1187. ὁ Σόλων ὁ παλαιὸς ἦν φιλόδημος τὴν φύσιν. Dem. de Cor. §. 6. supra Plut. II.

17. τεκμήριον δὲ μ. infra §. 35. 68. 82. vid. ad Lys. §. 28. — μικρὸν ἀπέλιπον τοῦ μὴ . . περιπεσεῖν, alias fere usitatius μ. ἀπέλιπεν ctt., pa-

ταύτην τὴν πολιτείαν ἐπαινεῖν ἢ στέργειν τὴν τοσούτων μὲν κακῶν αἰτίαν πρότερον γενομένην, νῦν δὲ καθ' ἕκαστον τὸν ἐνιαυτὸν ἐπὶ τὸ χεῖρον ἀεὶ φερομένην; πῶς δ' οὐ δεῖ δεδιέναι, μὴ τοσαύτης ἐπιδόσεως γιγνομένης τελευτῶντες εἰς τραχύτερα πράγματα τῶν τότε γενομένων ἐξοκείλωμεν;

19 Ἵνα δὲ μὴ συλλήβδην μόνον ἀκηκοότες, ἀλλ' ἀκριβῶς εἰδότες ποιῆσθε καὶ τὴν αἵρεσιν καὶ τὴν κρίσιν αὐτῶν, ὑμέτερον μὲν ἔργον ἐστὶ παρασχεῖν ὑμᾶς αὐτοὺς προσέχοντας τὸν νοῦν τοῖς ὑπ' ἐμοῦ λεγομένοις, ἐγὼ δ' ὡς ἂν δύνωμαι συντομώτατα περὶ ἀμφοτέρων τούτων πειράσομαι διελθεῖν πρὸς ὑμᾶς.

20 Οἱ γὰρ κατ' ἐκεῖνον τὸν χρόνον τὴν πόλιν διοικοῦντες κατεστήσαντο πολιτείαν οὐκ ὀνόματι μὲν τῷ κοινοτάτῳ καὶ πραοτάτῳ προσαγορευομένην, ἐπὶ δὲ τῶν πράξεων οὐ τοιαύτην τοῖς ἐντυγχάνουσι φαινομένην, οὐδ' ἣ τοῦτον τὸν τρόπον ἐπαίδευε τοὺς πολίτας, ὥσθ' ἡγεῖσθαι τὴν μὲν ἀκολασίαν δημοκρατίαν, τὴν δὲ παρανομίαν ἐλευθερίαν, τὴν δὲ παῤῥησίαν ἰσονομίαν, τὴν δ' ἐξουσίαν τοῦ ταῦτα ποιεῖν εὐδαιμονίαν, ἀλλὰ μισοῦσα καὶ κολάζουσα τοὺς τοιούτους βελ-
21 τίους καὶ σωφρονεστέρους ἅπαντας τοὺς πολίτας ἐποίησεν. μέγιστον δ' αὐτοῖς συνεβάλετο πρὸς τὸ καλῶς οἰκεῖν τὴν πόλιν, ὅτι δυοῖν ἰσοτήτοιν νομιζομέναιν εἶναι, καὶ τῆς μὲν ταύτὸν ἅπασιν ἀπονεμούσης, τῆς δὲ τὸ πρόσῆκον ἑκάστοις, οὐκ ἠγνόουν τὴν χρησιμωτέραν, ἀλλὰ τὴν μὲν τῶν αὐτῶν ἀξιοῦσαν τοὺς χρηστοὺς καὶ τοὺς πονηροὺς ἀπε-
22 δοκίμαζον ὡς οὐ δικαίαν οὖσαν, τὴν δὲ κατὰ τὴν ἀξίαν ἕκαστον τιμῶσαν καὶ κολάζουσαν προῃροῦντο, καὶ διὰ ταύτης ᾤκουν τὴν πόλιν οὐκ ἐξ ἁπάντων τὰς ἀρχὰς κληροῦντες, ἀλλὰ τοὺς βελτίστους καὶ τοὺς δικαιοτάτους ἐφ' ἕκαστον τῶν ἔργων προκρίνοντες. τοιούτους γὰρ ἤλπι-

---

riter ac latine *haud multum abfuit quin inciderent in extrema periculа*. sic περιπίπτειν c. Dat. §. 27. §. 64.

18. στέργειν, *amplecti*, *acquiescere rebus*, pro vulgatiore ἀγαπᾶν. Isocrat. Demonic. §. 29. στέργε τὰ παρόντα. Dem. ad Callicl. §. 30. στέργω τῇ τύχῃ καὶ τἀμαυτοῦ φυλάττειν πειράσομαι. cf. infr. §. 27. — πῶς δ' οὐ δ. v. ad Lucian. III, 2. — ἐπιδόσεως γιγν. comp. §. 40. supra ad §. 5. — ἐξοκείλωμεν, recte Hesych. ἐκ μεταφορᾶς τῶν πλοίων, unde ad omnia transfertur, quae de via declinant et in deteriora feruntur.

20. ἐπὶ δ. τ. πράξεων, res dum gerebantur, bei der Ausübung der Verfassung selbst. quae vis praepositionis cum Gen. (§. 55.) satis vulgaris, velut ἐπ' ἐμοῦ *meis diebus*, ἐπὶ βασιλέως, ἐπὶ μαρτύρων, *audiente*, *regnante rege* ctt. οἱ ἐντυγχάνοντες igitur h. l. *qui una fuerunt cum Solone atque experientes illarum rerum facti sunt*. — ταῦτα κ. h. e. τὸ ἡγεῖσθαι τὴν ἀκολασίαν δημοκρατίαν ctt.

21. συνεβάλετο. cf. Aelian. XXXII, 5. Xen. hist. Gr. VII, 1, 35. μέγα συνεβάλλετο τῷ Πελοπίδᾳ εἰς τὸ τιμᾶσθαι. — οἰκεῖν, c. Acc. saepius ut διοικεῖν, *administrare*, *regere*. sic οἰκεῖν οἶκον, βίον al. atque fit ubi merum οἰκεῖν significet *vitam politicam vivere*. infr. §. 53. Plat. Menex. p. 238. b. παιδευθέντες οὕτω οἱ πρόγονοι ᾤκουν πολιτείαν κατασκευασάμενοι. — ἰσοτήτοιν ctt. Genitivos adtrahit ad se quod sequitur verbum τ. χρησιμωτέραν, ut sensus sit: *quod duarum, quae creduntur esse, aequalitatum — quarum altera idem omnibus adtribuit, altera vero aequum iustumque singulis quibusque, — non ignorarunt utiliorem*.

22. τὰς ἀρχὰς κλ. *magistratum sortientes*, *sorte ducentes non ex omnibus*, *sed iudicio adhibito eligentes* (προκρίνοντες) ctt. quod de Solonis Clisthenisque institutis dictum adparet. nam multo post auctore, ut putant, Aristide ἀρχαὶ quae vocantur κληρωταὶ et αἱρεταὶ s. χειροτονηταὶ constitutae dicuntur. cf. Tittmann Gr. Stvfssg. p. 308 sq.

ζον ἔσεσθαι καὶ τοὺς ἄλλους, οἷοί περ ἂν ὦσιν οἱ τῶν πραγμάτων
ἐπιστατοῦντες. ἔπειτα καὶ δημοτικωτέραν ἐνόμιζον εἶναι ταύτην τὴν 23
κατάστασιν ἢ τὴν διὰ τοῦ λαγχάνειν γιγνομένην· ἐν μὲν γὰρ τῇ κλη-
ρώσει τὴν τύχην βραβεύσειν, καὶ πολλάκις λήψεσθαι τὰς ἀρχὰς τοὺς
ὀλιγαρχίας ἐπιθυμοῦντας, ἐν δὲ τῷ προκρίνειν τοὺς ἐπιεικεστάτους
τὸν δῆμον ἔσεσθαι κύριον ἑλέσθαι τοὺς ἀγαπῶντας μάλιστα τὴν κα-
θεστῶσαν πολιτείαν. αἴτιον δ' ἦν τοῦ ταῦτα τοῖς πολλοῖς ἀρέσκειν 24
καὶ μὴ περιμαχήτους εἶναι τὰς ἀρχάς, ὅτι μεμαθηκότες ἦσαν ἐργά-
ζεσθαι καὶ φείδεσθαι, καὶ μὴ τῶν μὲν οἰκείων ἀμελεῖν, τοῖς δ' ἀλλο-
τρίοις ἐπιβουλεύειν, μηδ' ἐκ τῶν δημοσίων τὰ σφέτερ' αὐτῶν διοικεῖν,
ἀλλ' ἐκ τῶν ἑκάστοις ὑπαρχόντων, ὁπότε δεήσειε, τοῖς κοινοῖς ἐπαρ-
κεῖν, μηδ' ἀκριβέστερον εἰδέναι τὰς ἐκ τῶν ἀρχείων προσόδους ἢ τὰς
ἐκ τῶν ἰδίων γιγνομένας αὐτοῖς. οὕτω δ' ἀπείχοντο σφόδρα τῶν τῆς 25
πόλεως, ὥστε χαλεπώτερον ἦν ἐν ἐκείνοις τοῖς χρόνοις εὑρεῖν τοὺς βου-
λομένους ἄρχειν ἢ νῦν τοὺς μηδὲν δεομένους· οὐ γὰρ ἐμπορίαν, ἀλλὰ
λειτουργίαν ἐνόμιζον εἶναι τὴν τῶν κοινῶν ἐπιμέλειαν, οὐδ' ἀπὸ τῆς
πρώτης ἡμέρας ἐσκόπουν ἐλθόντες, εἴ τι λῆμμα παραλελοίπασιν οἱ
πρότερον ἄρχοντες, ἀλλὰ πολὺ μᾶλλον εἴ τινος πράγματος κατημελή-
κασι τῶν τέλος ἔχειν κατεπειγόντων. ὡς δὲ συντόμως εἰπεῖν ἐκεῖνοι 26
διεγνωκότες ἦσαν, ὅτι δεῖ τὸν μὲν δῆμον ὥσπερ τύραννον καθιστάναι
τὰς ἀρχὰς καὶ κολάζειν τοὺς ἐξαμαρτάνοντας καὶ κρίνειν περὶ τῶν
ἀμφισβητουμένων, τοὺς δὲ σχολὴν ἄγειν δυναμένους καὶ βίον ἱκανὸν
κεκτημένους ἐπιμελεῖσθαι τῶν κοινῶν ὥσπερ οἰκέτας· καὶ δικαίους 27
μὲν γενομένους ἐπαινεῖσθαι καὶ στέργειν ταύτῃ τῇ τιμῇ, κακῶς δὲ
διοικήσαντας μηδεμιᾶς συγγνώμης τυγχάνειν, ἀλλὰ ταῖς μεγίσταις ζη-
μίαις περιπίπτειν. καίτοι πῶς ἄν τις εὕροι ταύτης βεβαιοτέραν ἢ

---

23. δημοτικωτέραν ctt. δημοκρατία, ex Socratis arbitrio, ὅπου ἐκ πάντων αἱ ἀρχαὶ κάθίστανται. Xen. Mem. IV, 6, 12. cur igitur *popularior* visa sit haec ratio muneris ineundi, nisi ipse mox indicaret et plenius ostenderet infra §. 61, causam vix intellexeris. — βραβεύσειν, vox a moderatoribus et disceptatoribus litis translata, Hesychio interprete i. q. διακρίνειν, διανέμειν.

24. περιμαχήτους, repete τοῖς πολλοῖς, causa — cur populus inter se *non digladiaretur de magistratibus, de consequendis illis non laboraret.* — ἐργάζεσθαι καὶ φ. Hier. Wolf: *quod laboribus et frugalitati adsueverant.* expressit igitur vulg. μεμεληκότες, quod cum Bekk. aliisque commutavi. — ἐκ τ. δημοσίων ctt. sunt enim multi, qui aevo Isocrateo patriam defraudasse aerario et vectigalibus notantur. ut Alcibiadem omittam, etiam Periclem constat, τὸν διαφανῶς ἀδωρότατον χρημάτων (Thuc. II, 65), istiusmodi criminum suspicionem movisse. — πρόσοδους, nomen generale de publicis reditibus, vectigalibus, quae ex curia magistratuum (ἐκ τ. ἀρχείων) ad cives redundabant rempublicam capessentes muneribusque fungentes.

25. ἢ νῦν τοὺς μηδὲν δ. i. e. *quam qui nunc quidquam* (quidquid est ad res suas sustentandas amplificandasque) *non habere, eo carere possint.* — λειτουργίαν, dicitur de quavis opera, quam quis civitati praestat, imprimis de pecuniis ad publica munera ut χορηγίαν, τριηραρχίαν, γυμνασιαρχίαν conferendis. comp. εἰσφορά, infra §. 51.

26. ὡς . . εἰπεῖν. v. Xen. IV, 3. — σχολὴν ἄγ. negotiosum esse in *otio liberali vacuoque ab omni operariorum sudore* summum propemodum, quod vir Graecus adpeteret, atque animo humano vere dignum. cf. Plut. I, 7. II, 1. 3 extr.

27. στέργειν, cum Dat. ut Isocr. de pace §. 6. στέργειν τοῖς παροῦσιν. alia exempla praebet Bernh. Synt. p. 104. — ταύτης. vid. ad. Xen. VI, 20. infra §. 55.

δικαιοτέραν δημοκρατίαν, τῆς τοὺς μὲν δυνατωτάτους ἐπὶ τὰς πράξεις καθιστάσης, αὐτῶν δὲ τούτων τὸν δῆμον κύριον ποιούσης;

28 Τὸ μὲν οὖν σύνταγμα τῆς πολιτείας τοιοῦτον ἦν αὐτοῖς· ῥᾴδιον δ' ἐκ τούτων καταμαθεῖν, ὡς καὶ τὰ καθ' ἡμέραν ἑκάστην ὀρθῶς καὶ νομίμως πράττοντες διετέλεσαν. ἀνάγκη γὰρ τοῖς περὶ ὅλων τῶν πραγμάτων καλὰς τὰς ὑποθέσεις πεποιημένοις καὶ τὰ μέρη τὸν αὐτὸν τρόπον ἔχειν ἐκείνοις.

29 Καὶ πρῶτον μὲν τὰ περὶ τοὺς θεούς, ἐντεῦθεν γὰρ ἄρχεσθαι δίκαιον, οὐκ ἀνωμάλως οὐδ' ἀτάκτως οὔτ' ἐθεράπευον οὔτ' ὠργίζον· οὐδ' ὁπότε μὲν δόξειεν αὐτοῖς, τριακοσίους βοῦς ἔπεμπον, ὁπότε δὲ τύχοιεν, τὰς πατρίους θυσίας ἐξέλειπον· οὐδὲ τὰς μὲν ἐπιθέτους ἑορτάς, αἷς ἑστίασίς τις προσείη, μεγαλοπρεπῶς ἦγον, ἐν δὲ τοῖς ἁγιω-
30 τάτοις τῶν ἱερῶν ἀπὸ μισθωμάτων ἔθυον· ἀλλ' ἐκεῖνο μόνον ἐπήρουν, ὅπως μηδὲν μήτε τῶν πατρίων καταλύσουσι μήτ' ἔξω τῶν νομιζομένων προσθήσουσιν. οὐ γὰρ ἐν ταῖς πολυτελείαις ἐνόμιζον εἶναι τὴν εὐσέβειαν, ἀλλ' ἐν τῷ μηδὲν κινεῖν ὧν αὐτοῖς οἱ πρόγονοι παρέδοσαν. καὶ γάρ τοι καὶ τὰ παρὰ τῶν θεῶν οὐκ ἐμπλήκτως οὐδὲ ταραχωδῶς αὐτοῖς συνέβαινεν, ἀλλ' εὐκαίρως καὶ πρὸς τὴν ἐργασίαν τῆς χώρας καὶ πρὸς τὴν συγκομιδὴν τῶν καρπῶν.

31 Παραπλησίως δὲ τοῖς εἰρημένοις καὶ τὰ πρὸς σφᾶς αὐτοὺς διῴκουν. οὐ γὰρ μόνον περὶ τῶν κοινῶν ὡμονόουν, ἀλλὰ καὶ περὶ τὸν ἴδιον βίον τοσαύτην ἐποιοῦντο πρόνοιαν ἀλλήλων, ὅσηνπερ χρὴ τοὺς
32 εὖ φρονοῦντας καὶ πατρίδος κοινωνοῦντας. οἵ τε γὰρ πενέστεροι τῶν πολιτῶν τοσοῦτον ἀπεῖχον τοῦ φθονεῖν τοῖς πλείω κεκτημένοις, ὥσθ' ὁμοίως ἐκήδοντο τῶν οἴκων τῶν μεγάλων ὥσπερ τῶν σφετέρων αὐτῶν, ἡγούμενοι τὴν ἐκείνων εὐδαιμονίαν αὑτοῖς εὐπορίαν ὑπάρχειν· οἵ τε τὰς οὐσίας ἔχοντες οὐχ ὅπως ὑπερεώρων τοὺς καταδεέστερον πράττοντας, ἀλλ' ὑπολαμβάνοντες αἰσχύνην αὑτοῖς εἶναι τὴν τῶν πο-

---

28. σύνταγμα, h. l. *universa administrandae reipublicae ratio*, cui mox respondet *quotidiana vitae consuetudo* (τὰ καθ' ἡμέραν). — ἀνάγκη.. ἐκείνοις, *necesse est iis, qui, cui tota administratio innititur, fundamentum bene struxerunt, etiam singulae partes pari modo sese habeant atque illa.* ἐκείνοις igitur sc. ὅλοις τοῖς πράγμασιν pendet a vv. τ. αὐτὸν τρ.

29. ἔπεμπον, *trecentos tauros qui mitterent* vel Delphos vel alia loca sacra ad deos placandos sacrificia faciebant piissima atque *patria* (πατρίους θυσίας), ut vocantur, a Solene antiquitus instituta, quae Athenienses iam neglexisse (ἐλλείπειν) arguuntur, quibusque opponi solent ἐπίθετοι ἑορταί. de his recte Harpocrat. ἐλέγετο ἐπίθετά τινα, ὁπόσα μὴ πάτρια ὄντα ἡ ἐξ Ἀρείου πάγου βουλὴ ἐδίκαζεν. — ἀπὸ μισθ. ἔθυον, man bestritt die Opfer von den bedungenen Lohngeldern. etenim mos erat curam impensasque sacrorum faciendorum redemptori cuidam ita tradere ex empto atque locare, ut quam minima mercede pacta certam pecuniam numerarent. hinc μισθοῦν τι ἐξ ἐλαχίστου.

30. ὅπως, cum Fut. Indic. post vv. τηρεῖν, φυλάττεσθαι, μελετᾶν, σκοπεῖν (Xen. Anab. I, 3, 11. Interpp.) aliaque adhortandi verba, praesertim si quis quod quem hortatur ratum iri sperat. — οὐκ ἐμπλήκτως ctt. pertinent H. Wolfio interprete ad τὴν δυσκρασίαν τῶν ὡρῶν, quum anni quadrantes suum temperiem non servant. — συγκομιδήν, ut supra Xen. IV, 11 σίτου συγκομιδή.

32. τ. μεγάλων, ut manifestum est ex opposito: τῇ ἐξουσίᾳ καὶ σεμνότητι μ. — οὐχ ὅπως . . ἀλλά, recte Schaef. ad Bosii Ell. p. 775 formulam explicuit ellipticam, οὐκ ἐρῶ ὅπως. *non solum non despexerunt, sed* ctt. *tantum aberat ut despicerent, ut dedecori sibi esse existimarent.*

λιτῶν ἀπορίαν ἐπήμυνον ταῖς ἐνδείαις, τοῖς μὲν γεωργίας ἐπὶ μετρίαις μισθώσεσι παραδιδόντες, τοὺς δὲ κατ' ἐμπορίαν ἐκπέμποντες, τοῖς δ' εἰς τὰς ἄλλας ἐργασίας ἀφορμὴν παρέχοντες. οὐ γὰρ ἐδεδίεσαν μὴ 33 δυοῖν θάτερον πάθοιεν, ἢ πάντων στερηθεῖεν, ἢ πολλὰ πράγματα σχόντες μέρος τι κομίσαιντο τῶν προεθέντων· ἀλλ' ὁμοίως ἐθάρρουν περὶ τῶν ἔξω δεδομένων ὥσπερ περὶ τῶν ἔνδον κειμένων. ἑώρων γὰρ τοὺς περὶ τῶν συμβολαίων κρίνοντας οὐ ταῖς ἐπιεικείαις χρωμένους, ἀλλὰ τοῖς νόμοις πειθομένους, οὐδ' ἐν τοῖς τῶν ἄλλων ἀγῶσιν αὐτοῖς 34 ἀδικεῖν ἐξουσίαν παρασκευάζοντας, ἀλλὰ μᾶλλον ὀργιζομένους τοῖς ἀποστεροῦσιν αὐτῶν τῶν ἀδικουμένων, καὶ νομίζοντας διὰ τοὺς ἄπιστα τὰ συμβόλαια ποιοῦντας μείζω βλάπτεσθαι τοὺς πένητας τῶν πολλὰ κεκτημένων· τοὺς μὲν γάρ, ἢν παύσωνται προϊέμενοι, μικρῶν προσόδων ἀποστερήσεσθαι, τοὺς δ' ἢν ἀπορήσωσι τῶν ἐπαρκούντων, εἰς τὴν ἐσχάτην ἔνδειαν καταστήσεσθαι. καὶ γάρ τοι διὰ τὴν γνώμην 35 ταύτην οὐδεὶς οὔτ' ἀπεκρύπτετο τὴν οὐσίαν, οὔτ' ὤκνει συμβάλλειν, ἀλλ' ἥδιον ἑώρων τοὺς δανειζομένους ἢ τοὺς ἀποδιδόντας. ἀμφότερα γὰρ αὐτοῖς συνέβαινεν, ἅπερ ἂν βουληθεῖεν ἄνθρωποι νοῦν ἔχοντες· ἅμα γὰρ τούς τε πολίτας ὠφέλουν καὶ τὰ σφέτερ' αὐτῶν ἐνεργὰ κατέθεσαν. κεφάλαιον δὲ τοῦ καλῶς ἀλλήλοις ὁμιλεῖν· αἱ μὲν γὰρ κτήσεις ἀσφαλεῖς ἦσαν, οἷσπερ κατὰ τὸ δίκαιον ὑπῆρχον, αἱ δὲ χρήσεις κοιναὶ πᾶσι τοῖς δεομένοις τῶν πολιτῶν.

Ἴσως ἂν οὖν τις ἐπιτιμήσειεν τοῖς εἰρημένοις, ὅτι τὰς μὲν κρά- 36 ξεις ἐπαινῶ τὰς ἐν ἐκείνοις τοῖς χρόνοις γεγενημένας, τὰς δ' αἰτίας οὐ φράζω, δι' ἃς οὕτω καλῶς καὶ τὰ πρὸς σφᾶς αὐτοὺς εἶχον καὶ τὴν πόλιν διῴκουν. ἐγὼ δ' οἶμαι μὲν εἰρηκέναι τι καὶ τοιοῦτον, οὐ μὴν ἀλλ' ἔτι πλείω καὶ σαφέστερον πειράσομαι διαλεχθῆναι περὶ αὐτῶν.

Ἐκεῖνοι γὰρ οὐκ ἐν μὲν ταῖς παιδείαις πολλοὺς τοὺς ἐπιστατοῦν- 37 τας εἶχον, ἐπειδὴ δ' εἰς ἄνδρας δοκιμασθεῖεν, ἐξῆν αὐτοῖς ποιεῖν ὅ τι

---

add. Herm. ad. Vig. p. 790. — γεωργίας, *agrorum colendorum copiam iis fecerunt.* Geomoros respicit et Demiurgos, qui ad conditionem olim Eupatridarum accesserant.

33. μ. τ. κομίσαιντο, *ut partem tantum aliquam recuperarent.* κομίζεσθαι i. q. ἀπολαμβάνειν. cf. Lys. §. 7. — τ. προεθέντων. προέσθαι χρήματα, *commodare, mutuum dare*, etiamsi nihil tibi redditum iri exspectes, *arbitrio alicuius permittere.* Xen. Anab. I, 9, 12. VII, 7, 47. Dem. c. Dionysod. §. 48. — τῶν συμβολαίων. vid. ad Plut. II, 1 extr.

34. οὐδ' ἐν τοῖς τῶν ἄλλ. ἀγ. ctt. sensus hic est: *neque sibi* (iudicibus) *in litibus aliorum* (non iudicantium) *fraudandi licentiam parare, sed iudices etiam magis irasci fraudatoribus quam ipsos iniuriis oneratos.* — τ. ἐπαρκούντων, *adiuvantium*, ut solet ἐπαρκεῖν apud Atticos de hominibus, qui alicui subveniant, quum ἀπαρκεῖν fere de rebus dicatur, quarum satis est. Eurip. Hec. 978. χρὴ τὸν εὖ πράσσοντα μὴ πράσσουσιν εὖ φίλοις ἐπαρκεῖν.

35. συμβάλλειν, ut supra συμβόλαιον contractus, pactum de rebus pecuniariis, *contrahere cum aliquo, pecuniam credere alicui in foenus.* nos: keiner nahm Anstand Geld anzulegen, es auszuthun, simil. — ἐνεργὰ κ. legten ihr eigenes auf Zinsen, entreprenirten etwas damit; cui opponitur τὰ ἀργά, *quod iners iacet.* similiter κάρπιμα et ἄκαρπα κτήματα Aristot. Rhet. I, 9.

36. ἴσως ἂν οὖν τ. ἐπ. *iam vero reprehenderit forsitan quispiam a me dicta.* de structura v. ἐπιτιμᾶν cf. Bernh. Synt. p. 92.

37. οὐκ, negatio totam enuntiationem adficit, εἶχον — ἐξῆν ctt. — δοκιμασθεῖεν, instituebatur examen (δοκιμασία), ex quo quicunque Atheniensium adituri essent ad rempublicam, de genere, de aetate moribusque

βουληθεῖεν, ἀλλ' ἐν αὐταῖς ταῖς ἀκμαῖς πλείονος ἐπιμελείας ἐτύγχανον ἢ παῖδες ὄντες· οὕτω γὰρ ἡμῶν οἱ πρόγονοι σφόδρα περὶ τὴν σωφροσύνην ἐσπούδαζον, ὥστε τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐπέστησαν ἐπιμελεῖσθαι τῆς εὐκοσμίας, ἧς οὐχ οἷόν τ' ἦν μετασχεῖν, πλὴν τοῖς καλῶς γεγονόσι καὶ πολλὴν ἀρετὴν ἐν τῷ βίῳ καὶ σωφροσύνην ἐνδεδειγμένοις, ὥστ' εἰκότως αὐτὴν διεμεγκεῖν τῶν ἐν τοῖς Ἕλλησι
38 συνεδρίων. Σημείοις δ' ἄν τις χρήσαιτο περὶ τῶν τότε καθεστώτων καὶ τοῖς ἐν τῷ παρόντι γιγνομένοις· ἔτι γὰρ καὶ νῦν ἁπάντων τῶν περὶ τὴν αἵρεσιν καὶ τὴν δοκιμασίαν κατημελημένων ἴδοιμεν ἂν τοὺς ἐν τοῖς ἄλλοις πράγμασιν οὐκ ἀνεκτοὺς ὄντας, ἐπειδὰν εἰς Ἄρειον πάγον ἀναβῶσιν, ὀκνοῦντας τῇ φύσει χρῆσθαι καὶ μᾶλλον τοῖς ἐκεῖ νομίμοις ἢ ταῖς αὐτῶν κακίαις ἐμμένοντας· τοσοῦτον φόβον ἐκεῖνοι τοῖς ἀσυνηροῖς ἐνειργάσαντο, καὶ τοιοῦτον μνημεῖον ἐν τῷ τόπῳ τῆς αὐτῶν ἀρετῆς καὶ σωφροσύνης ἐγκατέλιπον.

39 Τὴν δὴ τοιαύτην, ὥσπερ εἶπον, κυρίαν ἐποίησαν τῆς εὐταξίας ἐπιμελεῖσθαι, ἢ τοὺς μὲν οἰομένους ἐνταῦθα βελτίστους ἄνδρας γίγνεσθαι, παρ' οἷς οἱ νόμοι μετὰ πλείστης ἀκριβείας κείμενοι τυγχάνουσιν, ἀγνοεῖν ἐνόμιζεν· οὐδὲν γὰρ ἂν κωλύειν ὁμοίους ἅπαντας εἶναι τοὺς Ἕλληνας ἕνεκά γε τοῦ ῥᾴδιον εἶναι τὰ γράμματα λαβεῖν
40 παρ' ἀλλήλων. ἀλλὰ γὰρ οὐκ ἐκ τούτων τὴν ἐπίδοσιν εἶναι τῆς ἀρετῆς, ἀλλ' ἐκ τῶν καθ' ἑκάστην τὴν ἡμέραν ἐπιτηδευμάτων· τοὺς γὰρ πολλοὺς ὁμοίους τοῖς ἤθεσιν ἀποβαίνειν, ἐν οἷς ἂν ἕκαστοι παιδευθῶσιν. ἐπεὶ τά γε πλήθη καὶ τὰς ἀκριβείας τῶν νόμων σημεῖον εἶναι τοῦ κακῶς οἰκεῖσθαι τὴν πόλιν ταύτην· ἐμφράγματα γὰρ αὐτοὺς, ποιουμένους τῶν ἁμαρτημάτων πολλοὺς τίθεσθαι τοὺς νόμους ἀναγ-

---

publice tentandos se praebere debebant. hinc nostra explicanda cum Harpocrat. *εἰς ἄνδρας ἐγγραφῆναι, εἰς ἃ. τελεῖν.* quod fiebat anno aetatis vicesimo, ubi ex ephebis excesserant. — *ἀλλ' ἐν . . ἀκμαῖς, sed in ipso hoc aetatis flore;* quod quo magis videtur *παρὰ προσδοκίαν* esse, eo intenditur haec sententia consultius. — *τοῖς καλῶς γ.* Areopagitae ex nobilioribus eligebantur iisque, qui procreati erant ex legitimo coniugio parentum vere Atticorum.

38. *σημείοις* ctt. *tanquam documento uti possis.* est enim praedicatum. — *ἁπάντων . . κατημελημένων, omnibus iam negligenter actis, quae ad electionem et explorationem* (Areopagitarum) *pertinebant.* — *ἀναβῶσιν.* explicatio vocis ab ipso nomine *τοῦ Ἀρείου πάγου* petenda. fuit enim *πέτρα, ὄχθος καταντίον τῆς ἀκροπόλεως* (Herod. VIII, 52), quo congrediebantur Areopagitae. illinc manarunt formulae *ἀνιέναι, ἀναχθῆναι* (§. 46.), *ἀναβαίνειν εἰς Ἄ. π.* sic Cic. Divin. I, 25. Sophocles *adscendit in Areopagum, detulit rem* ctt. — *τοιοῦτον μν.* Bekk. ex uno Cod. *τοιοῦτο.* si ad usum Isocratis adtendas, illud praeferes. vid. etiam Bremi ad Lysiae oratt. sell. p. 22. var. lectt.

39. *τὴν δ. τοιαύτην,* sc. *βουλήν, hunc igitur talem Senatum,* quo mox referas verba *ἢ — ἐνόμιζεν* sic ordinanda: *ἢ ἐνόμ. ἀγνοεῖν (parum, nihil sapere), τοὺς οἰομένους, ἐνταῦθα γίγνεσθαι β. ἄνδρας.* — *παρ' οἷς,* quamquam praecessit *ἐνταῦθα,* infra §. 47 *παρ' οἷς μὲν — παρὰ τούτοις — ἅπου δέ* ctt. — *κείμενοι.* §. 41. v. Aelian. VI. — *ἕνεκά γε.* v. ad Arrian. IV, 1, 1.

40. *ἀλλὰ γάρ,* v. ad Lys. §. 77. — *ἀποβαίνειν,* Latinorum *fieri, evadere,* ut recte Hesych. conferri iubeat *γίγνεσθαι.* Plat. Symp. p. 181. a. *ὡς ἂν πραχθῇ, τοιοῦτον ἀπέβη· καλῶς μὲν γὰρ πραττόμενον — καλὸν γίγνεται, μὴ ὀρθῶς δὲ αἰσχρόν.* — *οἰκεῖσθαι.* v. §. 21.

κάζεσθαι. δεῖν δὲ τοὺς ὀρθῶς πολιτευομένους οὐ τὰς στοὰς ἐμπι- 41
πλάναι γραμμάτων, ἀλλ' ἐν ταῖς ψυχαῖς ἔχειν τὸ δίκαιον· οὐ γὰρ
τοῖς ψηφίσμασιν, ἀλλὰ τοῖς ἤθεσι καλῶς οἰκεῖσθαι τὰς πόλεις, καὶ
τοὺς μὲν κακῶς τεθραμμένους καὶ τοὺς ἀκριβῶς τῶν νόμων ἀναγε-
γραμμένους τολμήσειν παραβαίνειν, τοὺς δὲ καλῶς παιδευομένους
καὶ τοῖς ἁπλῶς κειμένοις ἐθελήσειν ἐμμένειν. Ταῦτα διανοηθέντες 42
οὐ τοῦτο πρῶτον ἐσκόπουν, δι' ὧν κολάσουσι τοὺς ἀκοσμοῦντας,
ἀλλ' ἐξ ὧν παρασκευάσουσι μηδὲν αὐτοὺς ἄξιον ζημίας ἐξαμαρτάνειν·
ἡγοῦντο γὰρ τοῦτο μὲν αὐτῶν ἔργον εἶναι, τὰ δὲ περὶ τὰς τιμωρίας
σπουδάζειν τοῖς ἐχθροῖς προσήκειν.

Ἁπάντων μὲν οὖν ἐφρόντιζον τῶν πολιτῶν, μάλιστα δὲ τῶν νεω- 43
τέρων. ἑώρων γὰρ τοὺς τηλικούτους ταραχωδέστατα διακειμένους
καὶ πλείστων γέμοντας ἐπιθυμιῶν, καὶ τὰς ψυχὰς αὐτῶν μάλιστα
παιδευθῆναι δεομένας ἐπιμελείαις καλῶν ἐπιτηδευμάτων καὶ πόνοις
ἡδονὰς ἔχουσιν· ἐν μόνοις γὰρ ἂν τούτοις ἐμμεῖναι τοὺς ἐλευθέρως
τεθραμμένους καὶ μεγαλοφρονεῖν εἰθισμένους. ἅπαντας μὲν οὖν ἐπὶ 44
τὰς αὐτὰς ἄγειν διατριβὰς οὐχ οἷόν τ' ἦν, ἀνωμάλως τὰ περὶ τὸν βίον
ἔχοντας· ὡς δὲ πρὸς τὴν οὐσίαν ἥρμοττεν, οὕτως ἑκάστοις προσέ-
ταττον. τοὺς μὲν γὰρ ὑποδεέστερον πράττοντας ἐπὶ τὰς γεωργίας καὶ
τὰς ἐμπορίας ἔτρεπον, εἰδότες τὰς μὲν ἀπορίας διὰ τὰς ἀργίας γιγνο-
μένας, τὰς δὲ κακουργίας διὰ τὰς ἀπορίας· ἀναιροῦντες οὖν τὴν ἀρ- 45
χὴν τῶν κακῶν ἀπαλλάξειν ᾤοντο καὶ τῶν ἄλλων ἁμαρτημάτων τῶν
μετ' ἐκείνην γιγνομένων· τοὺς δὲ βίον ἱκανὸν κεκτημένους περὶ τὴν
ἱππικὴν καὶ τὰ γυμνάσια καὶ τὰ κυνηγέσια καὶ τὴν φιλοσοφίαν ἠνάγκα-
σαν διατρίβειν, ὁρῶντες ἐκ τούτων τοὺς μὲν διαφέροντας γιγνομέ-
νους, τοὺς δὲ τῶν πλείστων κακῶν ἀπεχομένους. καὶ ταῦτα νομο- 46

---

41. τ. στοάς ctt. Isocrat. Panath. §. 107. τὰς συνθήκας ἐν τοῖς ἱεροῖς ἀνέγραψαν. Plut. Solon. c. 25. κατεγράφησαν (ὁ νόμοι) εἰς ξυλίνους ἄξονας, — ὧν ἔτι καθ' ἡμᾶς ἐν Πρυτανείῳ λείψανα μικρὰ διεσώζετο. nostro loco docemur etiam in porticibus leges earumque tabulas fuisse omnium oculis propositas. comp. ad Xen. III, 7. — τοὺς μ. κακῶς τεθραμμένους ctt. *male institutos legum etiam accuratissime litteris mandatas ausuros esse violare.* Horat. Od. III, 24, 35. *quid leges sine moribus vanae proficiunt?*

43. γέμοντας. §. 51. supra Plut. V, 5. σκηνὰς παντοδαπῶν χρημάτων γεμούσας. Diod. I, 4. ἡ χώρα ταραχῆς καὶ διαφαγῆς ἔγεμεν. — καλῶν ἐπιτηδευμάτων ctt. quales fuerint labores voluptate quasi conditi, mox ipse innuit. vid. etiam supra Plut. I, 7. eiusd. vit. Solon. c. XXII. — ἂν, c. Inf. v. ad Lyc. §. 75.

44. περὶ τ. βίον, h. l. ut saepissime (§. 45.) ὅσα συμφέρει πρὸς τὸν βίον, περὶ τὴν οὐσίαν. — ἥρμοττεν, impers. *ut aptum erat singulorum facultatibus.* — γεωργίας. vid. §. 32.

45. ἀναιροῦντες ctt. atque extremis quidem suppliciis hanc *causam malorum* (τὴν ἀργίαν) *sustulerunt* veteres Athenienses. Plut. I, 7. — ἱππικὴν . . φιλοσοφίαν, ne quid tibi orator praetermisisse videatur artium ingenuarum, velut poesin, musicam, facultatem dicendi, sciendum omnia *philosophiam* complecti ad liberalem doctrinam pertinentia. hinc ap. Isocr. φιλοσοφεῖν λόγον, φιλοσοφεῖν περὶ τοὺς ποιητάς ctt. quod superest apte Interpp. h. l. comparant Ter. Andr. I, 1, 29 s. *Quod plerique omnes faciunt adulescentuli, Ut animum ad aliquod studium adiungant, aut equos Alere, aut canes ad venandum, aut ad philosophos.* — διατρίβειν, id fere quod §. 42 σπουδάζειν περί τι.

θετήσαντες οὐδὲ τὸν λοιπὸν χρόνον ὀλιγώρουν, ἀλλὰ διελόμενοι τὴν μὲν πόλιν κατὰ κώμας, τὴν δὲ χώραν κατὰ δήμους ἐθεώρουν τὸν βίον τὸν ἑκάστου, καὶ τοὺς ἀκοσμοῦντας ἀνῆγον εἰς τὴν βουλήν· ἣ δὲ τοὺς μὲν ἐνουθέτει, τοῖς δ' ἠπείλει, τοὺς δ' ὡς προσῆκεν ἐκόλαζεν· ἠπίσταντο γὰρ ὅτι δύο τρόποι τυγχάνουσιν ὄντες οἱ καὶ προτρέ-
47 ποντες ἐπὶ τὰς ἀδικίας καὶ παύοντες τῶν πονηριῶν· παρ' οἷς μὲν γὰρ μήτε φυλακὴ μήτε ζημία τῶν τοιούτων καθέστηκε, μήθ' αἱ ἀρίσεις ἀκριβεῖς εἰσί, παρὰ τούτοις μὲν διαφθείρεσθαι καὶ τὰς ἐπιεικεῖς τῶν φύσεων, ὅπου δὲ μήτε λαθεῖν τοῖς ἀδικοῦσι ῥᾴδιόν ἐστι, μήτε φανεροῖς γενομένοις συγγνώμης τυχεῖν, ἐνταῦθα δ' ἐξιτήλους γίγνεσθαι
48 τὰς κακοηθείας. ἅπερ ἐκεῖνοι γιγνώσκοντες ἀμφοτέροις κατεῖχον τοὺς πολίτας, καὶ ταῖς τιμωρίαις καὶ ταῖς ἐπιμελείαις· τοσούτου γὰρ ἔδεον αὐτοὺς λανθάνειν οἱ κακόν τι δεδρακότες, ὥστε καὶ τοὺς ἐπιδόξους ἁμαρτήσεσθαί τι προησθάνοντο. τοιγαροῦν οὐκ ἐν τοῖς σκιραφείοις οἱ νεώτεροι διέτριβον, οὐδ' ἐν ταῖς αὐλητρίσιν, οὐδ' ἐν τοῖς τοιούτοις συλλόγοις, ἐν οἷς νῦν διημερεύουσιν, ἀλλ' ἐν τοῖς ἐπιτηδεύμασιν ἔμενον, ἐν οἷς ἐτάχθησαν, θαυμάζοντες καὶ ζηλοῦντες τοὺς ἐν τούτοις πρωτεύοντας. οὕτω δ' ἔφευγον τὴν ἀγοράν, ὥστ' εἰ καί ποτε διελθεῖν ἀναγκασθεῖεν, μετὰ πολλῆς αἰδοῦς καὶ σωφροσύνης
49 ἐφαίνοντο τοῦτο ποιοῦντες. ἀντειπεῖν δὲ τοῖς πρεσβυτέροις ἢ λοιδορήσασθαι δεινότερον ἐνόμιζον, ἢ νῦν περὶ τοὺς γονέας ἐξαμαρτεῖν, ἐν καπηλείῳ δὲ φαγεῖν ἢ πιεῖν οὐδεὶς οὐδ' ἂν οἰκέτης ἐπιεικὴς ἐτόλμησεν· σεμνύνεσθαι γὰρ ἐμελέτων, ἀλλ' οὐ βωμολοχεύεσθαι. καὶ τοὺς εὐτραπέλους δὲ καὶ τοὺς σκώπτειν δυναμένους, οὓς νῦν εὐφυεῖς προσαγορεύουσιν, ἐκεῖνοι δυστυχεῖς ἐνόμιζον.

50 Καὶ μηδεὶς οἰέσθω με δυσκόλως διακεῖσθαι πρὸς τοὺς ταύτην

---

46. ὀλιγώρουν, sc. τῶν νόμων, quod mente revocandum atque petendum a v. νομοθετεῖν. — κατὰ κώμας, Grammaticis vox explicatur ἄμφοδος, στενὸς τόπος, στενωπός, ut commode convertas Stadtbezirk, Stadtquartier. sic agri Attici partes mox κατὰ δήμους discretae, i. e. in curias quasdam sive municipia divisae, unde cives cognomen habebant. — ἐνουθέτει . . ἐκόλαζεν. Plut. Sol. c. 19. τὴν ἄνω βουλὴν (Areopagum) ἐπίσκοπον πάντων καὶ φύλακα τῶν νόμων ἐκάθισεν (Solon). add. Demosth. adv. Aristocr. p. 627, 20. — δύο τρόποι, quas duas rationes leges §. 47.

47. παρ' οἷς μὲν ctt. qualia sint antitheta res ipsa loquitur. prior enim ratio (τρόπος) continetur verbis παρ' οἷς μὲν — παρὰ τούτοις μὲν ctt., altera illi opposita vv. ὅπου δὲ — ἐνταῦθα δὲ ctt.

48. τοσούτου γ. ἔδεον, quod alias legere memineris τοσ. ἔδει τοὺς κ. τ. δεδρακότας. v. B. §. 151, 7. comp. supra §. 17 μικρὸν ἀπέλιπον. — σκιραφείοις, vett. Grammatici interpretantur κυβεῖα, κυβευτήρια, aleatoria. — ἐν τ. αὐλητρίσιν, recte Coraes: ἐν τῷ τόπῳ οὗπερ οἰκοῦσιν αἱ αὐλητρίδες. cf. supra ad Aesop. fab. IX. alias eiusmodi formulas, ubi pro abstracto nomine concretum v. Bernh. Synt. p. 57. — ἐν οἷς νῦν δ. v. ad §. 16. — ἀγοράν. sic ephebi bene morati ab adeundo foro arcentur Arist. Nubb. 985. κἀπιστήσει μισεῖν ἀγοράν ctt. ubi Schol. ἐνταῦθα γὰρ οἱ πανοῦργοι διατρίβουσιν. accedit quod causidici tabernaculum ibi collocarant. cf. ad §. 51.

49. ἐν καπηλείῳ, olim Areopagitarum fuit cavere, ne quis cauponas et similia loca inhonestiora intraret, iam vero temporibus mutatis mutati mores et virorum et feminarum, ut ex pluribus locis Comici praesertim in Lysistr. adparet. — οὐδ νῦν εὐφυεῖς ctt. hodie convertere licet: die man itzt für ein Genie ausgiebt, hielten iene für misrathene (verunglückte) Talente. δυστυχεῖς igitur ut Dem. Olynth. III. §. 21. οὐ γὰρ οὕτως ἄφρων οὐδ' ἀτυχής εἰμι.

ἔχοντας τὴν ἡλικίαν. οὔτε γὰρ ἡγοῦμαι τούτους αἰτίους εἶναι τῶν γιγνομένων, σύνοιδά τε τοῖς πλείστοις αὐτῶν ἥκιστα χαίρουσι ταύτῃ τῇ καταστάσει, δι' ἣν ἔξεστιν αὐτοῖς ἐν ταῖς ἀκολασίαις ταύταις διατρίβειν· ὥστ' οὐκ ἂν εἰκότως τούτοις ἐπιτιμῶην, ἀλλὰ πολὺ δικαιότερον τοῖς ὀλίγῳ πρὸ ἡμῶν τὴν πόλιν διοικήσασιν. ἐκεῖνοι γὰρ ἦσαν 51
οἱ προτρέψαντες ἐπὶ ταύτας τὰς ὀλιγωρίας καὶ καταλύσαντες τὴν τῆς βουλῆς δύναμιν. ἧς ἐπισταταούσης οὐ δικῶν οὐδ' ἐγκλημάτων οὐδ' εἰσφορῶν οὐδὲ πενίας οὐδὲ πολέμων ἡ πόλις ἔγεμεν, ἀλλὰ καὶ πρὸς ἀλλήλους ἡσυχίαν εἶχον καὶ πρὸς τοὺς ἄλλους ἅπαντας εἰρήνην ἦγον. παρεῖχον γὰρ σφᾶς αὐτοὺς τοῖς μὲν Ἕλλησι πιστούς, τοῖς δὲ βαρβά- 52
ροις φοβερούς. τοὺς μὲν γὰρ σεσωκότες ἦσαν, παρὰ δὲ τῶν δίκην τηλικαύτην εἰληφότες, ὥστ' ἀγαπᾶν ἐκείνους εἰ μηδὲν ἔτι κακὸν πάσχοιεν. τοιγάρτοι διὰ ταῦτα μετὰ τοσαύτης ἀσφαλείας διῆγον, ὥστε παλλίους εἶναι καὶ πολιτελεστέρας τὰς οἰκήσεις καὶ τὰς κατασκευὰς τὰς ἐπὶ τῶν ἀγρῶν ἢ τὰς ἐντὸς τείχους, καὶ πολλοὺς τῶν πολιτῶν μηδ' εἰς τὰς ἑορτὰς εἰς ἄστυ καταβαίνειν, ἀλλ' αἱρεῖσθαι μένειν ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς μᾶλλον, ἢ τῶν κοινῶν ἀπολαύειν. οὐδὲ γὰρ τὰ 53
περὶ τὰς θεωρίας, ὧν ἕνεκ' ἄν τις ἦλθεν, ἀσελγῶς οὐδ' ὑπερηφάνως, ἀλλὰ νουνεχόντως ἐποίουν. οὐ γὰρ ἐκ τῶν πομπῶν οὐδ' ἐκ τῶν περὶ τὰς χορηγίας φιλονεικιῶν οὐδ' ἐκ τῶν τοιούτων ἀλαζονειῶν τὴν εὐδαιμονίαν ἐδοκίμαζον, ἀλλ' ἐκ τοῦ σωφρόνως οἰκεῖν καὶ τοῦ βίου τοῦ καθ' ἡμέραν καὶ τοῦ μηδένα τῶν πολιτῶν ἀπορεῖν τῶν ἐπιτηδείων. ἐξ ὧνπερ χρὴ κρίνειν τοὺς ὡς ἀληθῶς εὖ πράττοντας καὶ μὴ φορτικῶς πολιτευομένους· ἐπεὶ νῦν γε τίς οὐκ ἂν ἐπὶ τοῖς γιγνομένοις 54
τῶν εὖ φρονούντων ἀλγήσειεν, ὅταν ἴδῃ πολλοὺς τῶν πολιτῶν αὐτοὺς μὲν περὶ τῶν ἀναγκαίων, εἶθ' ἕξουσιν εἴτε μή, πρὸ τῶν δικα-

---

50. σύνοιδα . . χαίρουσι. Xen. Symp. IV, 62. καὶ τί μοι σύνοισθα, ὦ Σώκρατες, τοιοῦτον εἰργασμένῳ; add. B. §. 144, 4. not. 2. M. §. 548, 2. de οὔτε — τε particulis (*neque — et, que*) ita statuendum, ut negativa praecunte posterior gradationem atque sententiam efficiat graviorem. — τοῖς ὀλίγῳ π. ἡ. Plut. praec. reipbl. ger. T. IX. p. 237. δι' Ἐφιάλτου δὲ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐταπείνωσε (Περικλῆς). add. C. Sintenis ad Plut. Pericl. c. IX, 28.

51. εἰσφορῶν. v. ad Arrian. IV, 2, 4. — ἐγκλημάτων, accusationes falsaeque delationes in dies magis manarunt per Graeciam ex multitudine litium (δικῶν), et cum ista morum corruptione simul et pauperiem et discordias et bella irrupisse praesertim ab iis concitata, qui blanditiis verborumque conversionibus populum ad se pellicerent, res nota. hinc δημαγωγοὶ et πολεμοποιοί ap. Plut. Cim. c. 19. Nic. c. 9. 11. 12. — εἶχον . . ἦγον, *pace fruebantur, pacem servabant.* §. 1. infra §. 80. cf. Xen. IV, 19. ad Plut. II, 2 extr.

52. παρὰ δὲ τῶν, exspectes τούτων. sed vid. Bernh. Synt. p. 310, qui nostri loci haud immemor aliis exemplis firmavit. cf. etiam ad Lys. §. 9. — ἀγαπᾶν . . εἰ c. Opt. comp. §. 73 cum Indic. — ἀγρῶν. vid. ad Pausan. VI, 3. — αἱρεῖσθαι . . μᾶλλον, *malle.* cf. supra §. 5. mox §. 57.

53. οὐδὲ γ. τὰ π. τ. θεωρίας ctt. etenim aevo Isocrateo instruebant luxuriosissime *sacrificia* (§. 29), ut publicos reditus iam non in classem exercitumque, sed in *dies festos adparatusque ludorum* effunderent. huc pertinent πομπαί, χορηγίαι, ad quas adornandas tria quattuorve millia drachmarum a singulis impendebantur. — σωφρόνως οἰκεῖν, quid sis vid. §. 21. — ὡς ἀληθῶς, h. l. ex eadem ellipsi explicandum, qua ὡς τὰ πολλά, *ut plurimum*, ὡς ἐπὶ τὸ πολύ, *saepissime.* v. §. 5. — φορτικῶς, i. e. βαρέως, ἐπαχθῶς.

στηρίων κληρουμένους, τῶν δ' Ἑλλήνων τοὺς ἐλαύνειν τὰς ναῦς βου-
λομένους τρέφειν ἀξιοῦντας, καὶ χορεύοντας μὲν ἐν χρυσοῖς ἱματίοις,
χειμάζοντας δ' ἐν τοιούτοις, ἐν οἷς οὐ βούλομαι λέγειν, καὶ τοιαύτας
ἄλλας ἐναντιώσεις περὶ τὴν διοίκησιν γιγνομένας, αἳ μεγάλην αἰσχύ-
55νην τῇ πόλει περιποιοῦσιν. ὧν οὐδὲν ἦν ἐπ' ἐκείνας τῆς βουλῆς·
ἀπήλλαξε γὰρ τοὺς μὲν πένητας τῶν ἀπορίων ταῖς ἐργασίαις καὶ ταῖς
παρὰ τῶν ἐχόντων ὠφελίαις, τοὺς δὲ νεωτέρους τῶν ἀπολασιῶν τοῖς
ἐπιτηδεύμασι καὶ ταῖς αὐτῶν ἐπιμελείαις, τοὺς δὲ πολιτευομένους
τῶν πλεονεξιῶν ταῖς τιμωρίαις καὶ τῷ μὴ λανθάνειν τοὺς ἀδικοῦντας,
τοὺς δὲ πρεσβυτέρους τῶν ἀθυμιῶν ταῖς τιμαῖς ταῖς πολιτικαῖς καὶ
ταῖς παρὰ τῶν νεωτέρων θεραπείαις. καίτοι πῶς ἂν γένοιτο ταύτης
πλείονος ἀξία πολιτεία, τῆς οὕτω καλῶς ἁπάντων τῶν πραγμάτων
ἐπιμεληθείσης;

56 Περὶ μὲν οὖν τῶν τότε καθεστώτων τὰ μὲν πλεῖστα διεληλύθα-
μεν· ὅσα δὲ παραλελοίπαμεν ἐκ τῶν εἰρημένων, ὅτι κἀκεῖνα τὸν αὐ-
τὸν τρόπον εἶχε τούτοις, ῥᾴδιόν ἐστι καταμαθεῖν. ἤδη δέ τινες ἀκού-
σαντές μου ταῦτα διεξιόντος ἐπῄνεσαν μὲν ὡς οἷόν τε μάλιστα, καὶ
τοὺς προγόνους ἐμακάρισαν, ὅτι τὸν τρόπον τοῦτον τὴν πόλιν διώ-
57κουν, οὐ μὴν ὑμᾶς γε ᾤοντο πεισθήσεσθαι χρῆσθαι τούτοις, ἀλλ'
αἱρήσεσθαι διὰ τὴν συνήθειαν ἐν τοῖς καθεστηκόσι πράγμασι κακο-
παθεῖν μᾶλλον, ἢ μετὰ πολιτείας ἀκριβεστέρας ἄμεινον τὸν βίον διά-
γειν. εἶναι δ' ἔφασαν ἐμοὶ καὶ κίνδυνον, μὴ τὰ βέλτιστα συμβου-
λεύων μισόδημος εἶναι δόξω καὶ τὴν πόλιν ζητεῖν εἰς ὀλιγαρχίαν ἐμ-
58βαλεῖν. Ἐγὼ δ' εἰ μὲν περὶ πραγμάτων ἀγνοουμένων καὶ μὴ κοινῶν
τοὺς λόγους ἐποιούμην, καὶ περὶ τούτων ἐκέλευον ὑμᾶς ἑλέσθαι συν-
έδρους ἢ συγγραφέας, δι' ὧν ὁ δῆμος κατελύθη τὸ πρότερον, εἰκό-
τως ἂν εἶχον ταύτην τὴν αἰτίαν· νῦν δ' οὐδὲν εἴρηκα τοιοῦτον, ἀλλὰ
59διείλεγμαι περὶ διοικήσεως οὐκ ἀποκεκρυμμένης ἀλλὰ φανερᾶς, ἣν

---

54. κληρουμένους. *sorte capiebantur* (κληροῦσθαι) iudices, ut qui civis esset Atticus et triginta annos natus is iudex crederetur sedere posse, sive cognitione iuris instructus sive non erat (comp. §. 22). iam vero sorte electi quum mercedem aliquam iudicii (τριώβολον ἡλιαστικόν) acciperent, avidius ut qui premerentur inopia rei necessariae adripiebant, ex quo pendere sciebant, εἴθ' ἕξουσιν (τὰ ἀναγκαῖα) εἴτε μή. — Ἑλλήνων, i. e. ex tota Graecia conflatos *alere* mercenarios *dignabantur*, neque vero Atheniensem plebem paupertate laceratam. v. §. 55. — χορεύοντας, qui choregias exercent, choros magnifice et vestiunt et nutriunt.

55. ἐπὶ . . βουλῆς. vid. ad §. 20. comp. Wolf. ad Dem. Lept. §. 42. — τ. ἐχόντων, ut infra §. 83. pleniusque §. 32. οἱ τὰς οὐσίας ἔχοντες, *divites*. cf. Interpp. ad Herod. VI, 22, 1. Virg. Georg. II, 499. *neque ille* (fortunatus) *invidit habenti*. — ταῖς τιμαῖς τ. π. H. Wolf publicas administrationes et magistratus intelligit.

57. ἐμοὶ καὶ κίνδ. recepit Bekk. ex Codd. prò vulg. μοι π. κ. orator dicit: auch mir sagten sie drohe sogar Gefahr, dass ich. — μισόδημος, osores populi et democratiae haud multum abfuit quin omnibus temporibus vocarentur in crimen laesae maiestatis. sic Critias apud Xenophontem, Appius Claudius apud Plutarchum πάντων μισοδημότατοι.

58. συνέδρους ἢ συγγραφέας, *consessores aut viros legum scribendarum causa deligendos*, qui pariter ac πρόβουλοι illi a. 413 a. C. n. constituti summam huius rei potestatem habebant (αὐτοκράτορες Thucyd. 8, 67) atque imperio paucorum maxime favebant. — τὸ πρότερον, anno 410 a. C. n.

πάντες ἴστε καὶ πάτριον ἡμῖν οὖσαν καὶ πλείστων ἀγαθῶν καὶ τῇ πόλει καὶ τοῖς ἄλλοις Ἕλλησιν αἰτίαν γεγενημένην, πρὸς δὲ τούτοις ὑπὸ τοιούτων ἀνδρῶν νομοθετηθεῖσαν καὶ κατασταθεῖσαν, οὓς οὐδεὶς ὅστις οὐκ ἂν ὁμολογήσειε δημοτικωτάτους γεγενῆσθαι τῶν πολιτῶν. ὥστε πάντων ἄν μοι συμβαίη δεινότατον, εἰ τοιαύτην πολιτείαν εἰσηγούμενος νεωτέρων δόξαιμι πραγμάτων ἐπιθυμεῖν. ἔπειτα κἀκεῖθεν 60
ῥάδιον γνῶναι τὴν ἐμὴν διάνοιαν· ἐν γὰρ τοῖς πλείστοις τῶν λόγων τῶν εἰρημένων ὑπ' ἐμοῦ φανήσομαι ταῖς μὲν ὀλιγαρχίαις καὶ ταῖς πλεονεξίαις ἐπιτιμῶν, τὰς δ' ἰσότητας καὶ τὰς δημοκρατίας ἐπαινῶν, οὐ πάσας, ἀλλὰ τὰς καλῶς καθεστηκυίας, οὐδ' ὡς ἔτυχον, ἀλλὰ δικαίως καὶ λογονεχόντως. οἶδα γὰρ τούς τε προγόνους τοὺς ἡμετέρους 61
ἐν ταύτῃ τῇ καταστάσει πολὺ τῶν ἄλλων διενεγκόντας, καὶ Λακεδαιμονίους διὰ τοῦτο κάλλιστα πολιτευομένους, ὅτι μάλιστα δημοκρατούμενοι τυγχάνουσιν. ἐν γὰρ τῇ τῶν ἀρχῶν αἱρέσει καὶ τῷ βίῳ τῷ καθ' ἡμέραν καὶ τοῖς ἄλλοις τοῖς ἐπιτηδεύμασιν ἴδοιμεν ἂν παρ' αὐτοῖς τὰς ἰσότητας καὶ τὰς ὁμοιότητας μᾶλλον ἢ παρὰ τοῖς ἄλλοις ἰσχυούσας· οἷς αἱ μὲν ὀλιγαρχίαι πολεμοῦσιν, οἱ δὲ καλῶς δημοκρατούμενοι χρώμενοι διατελοῦσιν. τῶν τοίνυν ἄλλων πόλεων ταῖς ἐπιφανε- 62
στάταις καὶ μεγίσταις, ἣν ἐξετάζειν βουληθῶμεν, εὑρήσομεν τὰς δημοκρατίας μᾶλλον ἢ τὰς ὀλιγαρχίας συμφερούσας· ἐπεὶ καὶ τὴν ἡμετέραν πολιτείαν, ᾗ πάντες ἐπιτιμῶσιν, ἣν παραβάλωμεν αὐτὴν μὴ πρὸς τὴν ὑπ' ἐμοῦ ῥηθεῖσαν, ἀλλὰ πρὸς τὴν ὑπὸ τῶν τριάκοντα καταστᾶσαν, οὐδεὶς ὅστις οὐκ ἂν θεοποίητον εἶναι νομίσειεν.

Βούλομαι δ' εἰ καί τινές με φήσουσιν ἔξω τῆς ὑποθέσεως λέγειν, 63

---

59. πάτριον. Bekk. ex uno Cod. recepit πατρίαν. §. 29 πάτριοι θυσίαι. comp. Isocrat. Encom. Helen. §. 63. — οὐδεὶς ὅστις οὐκ ctt. eandem formulam habes §. 62. proprie: *quos nemo est qui non maxime populares fuisse professurus sit.* iam vero εἶναι auxiliare supprimere in hac loquutione legitimum, ut Pronomen negativum a relativo omnino separari non possit et syntaxis totius enuntiati eo conformetur. hinc enim οὐ negatio pro μὴ explicanda atque ratio eorum locorum, quibus alterum alterius Pronominis casum vi quadam adtrahendi sibi adsciscit. v. B. §. 148, 6. not. 8. Herm. ad Viger. p. 709.

60. οὐδ' ὡς ἔτυχον, *neque temere nec casu id perfeci, sed* ctt. nos: nicht wie sich's eben traf. potuisset etiam ὡς ἔτυχε. cf. ad §. 48. infra §. 71. ὅταν δὲ τύχω.

61. ὅτι μ. δημοκρατούμενοι τ. *quod omnium maxime democratia utuntur*, h. e. eo imperio populari, senatorum (γερόντων) regumque potestate temperato, quale quum omnibus gentibus orator noster tum suis civibus saluti fore iudicaverit. fuit enim, ut ipse Isocrates ait, forma reipbl. Spartanae mixta, imagine antiquae Atticae efficta. Panath. §. 153, ubi Lycurgi mentio fit, ὡς μιμησαμένου τὴν διοίκησιν — τὴν τῶν προγόνων τῶν ἡμετέρων, καὶ τήν τε δημοκρατίαν καταστήσαντος παρ' αὐτοῖς τὴν ἀριστοκρατίᾳ μεμιγμένην, ἥπερ ἦν παρ' ἡμῖν, καὶ τὰς ἀρχὰς οὐ κληρωτάς, ἀλλ' αἱρετὰς ποιήσαντος. cf. supra §. 22. §. 23. — αἱρέσει. electio τῶν γερόντων penes populum. τῷ βίῳ ctt. de aequalitate vitae quotidianae supra exposuit Plut. I. — οἷς, quamquam ἰσότης et ὁμοιότης praecesserant. cf. ad Lucian. IV, 5 extr. Plut. III, 2 extr.

62. τὴν . . ῥηθεῖσαν, qualem fuisse administrationem Solonis aetate exposuit recensuitque orator.

63. ἔξω τῆς ὑ. *ab argumento aliena*, ut dicunt ἔξω τῆς συνηθείας *praeter morem, praeter naturam.* Dem. c. Eubul. §. 33. ἔξεστιν ἔξω τοῦ πράγματος (*a causa praesente abhorrentia*) βλασφημεῖν καὶ πάντα ποιεῖν. —

δηλῶσαι καὶ διελθεῖν ὅσον αὕτη τῆς τότε διήνεγκεν, ἵνα μηδεὶς οἴηται με τὰ μὲν ἁμαρτήματα τοῦ δήμου λίαν ἀκριβῶς ἐξετάζειν, εἰ δέ τι καλὸν ἢ σεμνὸν διαπέπρακται, ταῦτα δὲ παραλείπειν. ἔσται δ' ὁ
64 λόγος οὔτε μακρὸς οὔτ' ἀνωφελὴς τοῖς ἀκούουσιν. Ἐπειδὴ γὰρ τὰς ναῦς τὰς περὶ Ἑλλήσποντον ἀπωλέσαμεν καὶ ταῖς συμφοραῖς ἐκείναις ἡ πόλις περιέπεσε, τίς οὐκ οἶδε τῶν πρεσβυτέρων τοὺς μὲν δημοτικοὺς καλουμένους ἑτοίμους ὄντας ὁτιοῦν πάσχειν ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ προσταττόμενον, καὶ δεινὸν ἡγουμένους, εἴ τις ὄψεται τὴν πόλιν τὴν τῶν Ἑλλήνων ἄρξασαν ταύτην ὑφ' ἑτέροις οὖσαν, τοὺς δὲ τῆς ὀλιγαρχίας ἐπιθυμήσαντας ἑτοίμως καὶ τὰ τείχη καθαιροῦντας καὶ
65 τὴν δουλείαν ὑπομένοντας; καὶ τότε μέν, ὅτε τὸ πλῆθος ἦν κύριον τῶν πραγμάτων, ἡμᾶς τὰς τῶν ἄλλων ἀκροπόλεις φρουροῦντας, ἐπειδὴ δ' οἱ τριάκοντα παρέλαβον τὴν πολιτείαν, τοὺς πολεμίους τὴν ἡμετέραν ἔχοντας; καὶ κατὰ μὲν ἐκεῖνον τὸν χρόνον δεσπότας ἡμῶν ὄντας Λακεδαιμονίους, ἐπειδὴ δ' οἱ φεύγοντες κατελθόντες πολεμεῖν ὑπὲρ τῆς ἐλευθερίας ἐτόλμησαν καὶ Κόνων ναυμαχῶν ἐνίκησε, πρέσβεις ἐλθόντας παρ' αὐτῶν καὶ διδόντας τῇ πόλει τὴν ἀρχὴν τὴν τῆς
66 Θαλάττης; Καὶ μὲν δὴ καὶ τάδε τίς οὐ μνημονεύει τῶν ἡλικιωτῶν τῶν ἐμῶν, τὴν μὲν δημοκρατίαν οὕτω κοσμήσασαν τὴν πόλιν καὶ τοῖς ἱεροῖς καὶ τοῖς ὁσίοις, ὥστ' ἔτι καὶ νῦν τοὺς ἀφικνουμένους νομίζειν αὐτὴν ἀξίαν εἶναι μὴ μόνον τῶν Ἑλλήνων ἄρχειν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, τοὺς δὲ τριάκοντα τῶν μὲν ἀμελήσαντας, τὰ δὲ συλήσαντας, τοὺς δὲ νεωσοίκους ἐπὶ καθαιρέσει τριῶν ταλάντων ἀπο-
67 δομένους, εἰς οὓς ἡ πόλις ἀνήλωσεν οὐκ ἐλάττω χιλίων ταλάντων; ἀλλὰ μὴν οὐδὲ τὴν πραότητα δικαίως ἄν τις ἐπαινέσειε τὴν ἐκείνων μᾶλλον ἢ τὴν τοῦ δήμου. οἱ μὲν γὰρ ψηφίσματι παραλαβόντες τὴν πόλιν πεντακοσίους μὲν καὶ χιλίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν,

---

αὐτή τῆς τότε, conferuntur res praesentes, ante oculos oratoris obversantes et quibus usi sunt Athenienses subditi triginta viris. — ταῦτα δέ, refer ad τι collectivum. Plat. Theaet. §. 30. τί ποτ' ἐστίν, ἃ διανοούμεθα; ubi alii perperam τίνα. cf. Heind. ad Gorg. §. 136. δὲ autem particula additur filo orationis quasi abrupto verbis εἰ δέ τι καλόν ctt., quae accuratius sane adnecterentur: τὰ δὲ καλῶς διαπεπραγμένα — ταῦτα παραλείπειν.

64. ἀπωλέσαμεν, clade ad Aegospotamos accepta a Lysandro, qua tantum non omnis vis navalis Atheniensium periit. — μὴ ποιεῖν τὸ πρ., de quibus supra exposuit Xen. I, 4 sqq. — ὑφ' ἑτέροις. v. ad Lys. §. 44. — τοὺς δ. τ. ὀλιγαρχίας ctt. notatur fraus Theramenis. Xen. l. c. §. 11.

65. τ. ἄλλ. ἀκροπόλεις, praeter alias urbes recordemur Megarorum, Abydi, Lampsaci, Thasi, Byzantii, quae fracto paullatim imperio populari ab Atheniensibus defecerant. de v. ἀκρόπολις vid. ad Pausan. VIII, 1. — οἱ φεύγοντες κ. duce Thrasybulo, ut supra Xen. II plenius enarratur.

66. κοσμήσασαν. Dem. Phil. B. §. 30. ἅπαντα — μνημονεύετ' οἶδ' ὅτι ῥηθέντα. cf. Xen. Anab. IV, 3, 2. huc pertinet εὑρίσκειν intelligere cum Acc. Participii supra §. 16. Ad rem quod attinet, Periclis h. l. Cimonisque etiam sine me nemini non in mentem veniet. — νεωσοίκους, Hesych. τὰ νεώρια, ἔνθα ἡ ναῦς χειμῶνος εἰσφέρεται. — ἀποδομένους. ἀποδόσθαι med. i. q. vendere, πωλεῖν, quocum saepe iungitur. Xen. Symp. 8, 21. ὁ ἐν ἀγορᾷ πωλῶν καὶ ἀποδιδόμενος. verte igitur: quis non meminit tyrannos navalia tribus talentis destruenda vendidisse?

67. ἀλλὰ μὴν οὐδὲ τ. πρ. at vero s. atqui ne clementiam quidem. comp. ἦ μήν, οὐ μὴν ἀλλά, καὶ μήν. B. §. 149. s. v. μήν. M. §. 605. — οἱ μὲν γάρ, sc. οἱ τριάκοντα, quibus opponuntur οἱ δὲ κρατήσαντες ctt., alterum vero μὲν in societatem sibi adsumit verba εἰς δὲ τὸν Π., ab adversativa vi fere recedentia. v. §. 69 et ad Xen. VII, 13. — ἀκρίτους. cf.

εἰς δὲ τὸν Πειραιᾶ φυγεῖν πλείους ἢ πεντακισχιλίους ἠνάγκασαν· οἱ δὲ κρατήσαντες καὶ μεθ' ὅπλων κατιόντες αὐτοὺς τοὺς αἰτιωτάτους τῶν κακῶν ἀνελόντες οὕτω τὰ πρὸς τοὺς ἄλλους καλῶς καὶ νομίμως διῴκησαν, ὥστε μηδὲν ἔλαττον ἔχειν τοὺς ἐκβαλόντας τῶν κατελθόντων. ὃ δὲ πάντων κάλλιστον καὶ μέγιστον τεκμήριον τῆς ἐπιεικείας 68 τοῦ δήμου· δανεισαμένων γὰρ τῶν ἐν ἄστει μεινάντων ἑκατὸν τάλαντα παρὰ Λακεδαιμονίων εἰς τὴν πολιορκίαν τῶν τὸν Πειραιᾶ κατασχόντων, ἐκκλησίας γενομένης περὶ ἀποδόσεως τῶν χρημάτων καὶ λεγόντων πολλῶν, ὡς δίκαιόν ἐστι διαλύειν τὰ πρὸς Λακεδαιμονίους μὴ τοὺς πολιορκουμένους, ἀλλὰ τοὺς δανεισαμένους, ἔδοξε τῷ δήμῳ κοινὴν ποιήσασθαι τὴν ἀπάδοσιν. καὶ γάρ τοι διὰ ταύτην τὴν γνώμην 69 εἰς τοιαύτην ἡμᾶς ὁμόνοιαν κατέστησαν καὶ τοσοῦτον ἐπιδοῦναι τὴν πόλιν ἐποίησαν, ὥστε Λακεδαιμονίους, τοὺς ἐπὶ τῆς ὀλιγαρχίας ὀλίγου δεῖν καθ' ἑκάστην τὴν ἡμέραν προστάττοντας ἡμῖν, ἐλθεῖν ἐπὶ τῆς δημοκρατίας ἱκετεύσοντας καὶ δεησομένους μὴ περιϊδεῖν αὐτοὺς ἀναστάτους γενομένους. τὸ δ' οὖν κεφάλαιον τῆς ἑκατέρων διανοίας τοιοῦτον ἦν· οἱ μὲν γὰρ ἠξίουν τῶν μὲν πολιτῶν ἄρχειν, τοῖς δὲ πολεμίοις δουλεύειν, οἱ δὲ τῶν μὲν ἄλλων ἄρχειν, τοῖς δὲ πολίταις ἴσον ἔχειν.

Ταῦτα δὲ διῆλθον δυοῖν ἕνεκα, πρῶτον μὲν ἐμαυτὸν ἐπιδεῖξαι 70 βουλόμενος οὐκ ὀλιγαρχιῶν οὐδὲ πλεονεξιῶν, ἀλλὰ δικαίας καὶ κοσμίας ἐπιθυμοῦντα πολιτείας, ἔπειτα τὰς δημοκρατίας τάς τε κακῶς καθεστηκυίας ἐλαττόνων συμφορῶν αἰτίας γιγνομένας, τάς τε καλῶς πολιτευομένας προεχούσας τῷ δικαιοτέρας εἶναι καὶ κοινοτέρας καὶ τοῖς χρωμένοις ἡδίους. Τάχ' οὖν ἄν τις θαυμάσειεν, τί βουλόμενος 71 ἀντὶ τῆς πολιτείας τῆς οὕτω πολλὰ καὶ καλὰ διαπεπραγμένης ἑτέραν ὑμᾶς πείθω μεταλαβεῖν, καὶ τίνος ἕνεκα νῦν μὲν οὕτω καλῶς ἐγκεκωμίακα τὴν δημοκρατίαν, ὅταν δὲ τύχω, πάλιν μεταβαλὼν ἐπιτιμῶ

Xen. Anab. V, 7, 28. 29. et sic ubique sensu iudiciali, qui iure suo rei coram iudicio examinandae contra ius fasque sunt spoliati. simili modo Adv. Lys. in Eratosth. §. 82. τοὺς οὐδὲν ἀδικοῦντας ἀπέκτειναν ἀκρίτως.

68. διαλύειν τὰ πρὸς Λ. h. l. de numis reddendis, *satisfacere Lacedaemoniis*, cui congruae vobis, quas legere meministis, formulae succurrent διαλύειν δίκας *dirimere, diiudicare;* διαλ. ἐγκλήματα, ἀμφίλογα, quo eodem sensu Isocr. Archid. §. 33 διαλῦσαι τοὺς λόγους τῶν τολμώντων κατηγορεῖν. sic forma media διαλύεσθαι πρὸς τοὺς πολεμίους *in gratiam redire*, et simil.

69. τοσοῦτον ἐπιδοῦναι, vid. supra ad §. 5. — προστάττοντας ἡμῖν, qui singulis fere diebus *aliquid imperabant, mandata nobis dabant.* — μὴ περιϊδεῖν ctt. recte Coraës: μὴ ἐᾶσαι αὐτοὺς παντάπασιν ὑπὸ Θηβαίων ἀφανισθῆναι. λέγει δὲ τὰ κατὰ τὰ Λευκτρικά. rem pluribus narrat Xen. hist. Gr. VI, 5, 33 sqq.

70. προεχούσας τῷ δ. *hoc ipso excellere, quod et iustiores sint* ctt. — κοινοτέρας, *humaniores, communi omnium utilitati salubriores*, quo sensu legistis supra §. 20. comp. Cic. Cat. mai. XVII, 59. *Cyram minorem — ceteris in rebus communem erga Lysandrum atque humanum fuisse;* ibique adnot. Gernhardi; qui praeter alia multa etiam Demosthenicum illud habet: εἰ μὴ πάντες ἴστε ὅτι κοινὸς καὶ φιλάνθρωπος καὶ τοῖς δεομένοις ἐπαρκῶν, σιωπῶ. de Coron. §. 268.

71. τί βουλόμενος, ubique fere i. q. *cur*: comp. τί μαθών. τί παθών, τί ποιήσας; *quo casu, quanam re adfectus.* τίς ὤν; *quis, qualis.* — ἑτέραν . . μεταλαβεῖν, proprie *relicto altero alterum sibi sumere;* unde significatum cepit τοῦ ὑπαλλάξαι, ἀμείψαι τι.

72καὶ κατηγορῶ τῶν καθεστώτων; ἐγὼ δὲ καὶ τῶν ἰδιωτῶν τοὺς ὀλίγα μὲν κατορθοῦντας, πολλὰ δ' ἐξαμαρτάνοντας μέμφομαι καὶ νομίζω φαυλοτέρους εἶναι τοῦ δέοντος· καὶ πρός γε τούτοις τοὺς γεγονότας ἐκ καλῶν κἀγαθῶν ἀνδρῶν, καὶ μικρῷ μὲν ὄντας ἐπιεικεστέρους τῶν ὑπερβαλλόντων ταῖς πονηρίαις, πολὺ δὲ χείρους τῶν πατέρων, λοιδορῶ, καὶ συμβουλεύσαιμ' ἂν αὐτοῖς παύσασθαι τοιούτοις οὖσιν.
73τὴν αὐτὴν οὖν γνώμην ἔχω καὶ περὶ τῶν κοινῶν· ἡγοῦμαι γὰρ δεῖν ἡμᾶς οὐ μέγα φρονεῖν οὐδ' ἀγαπᾶν, εἰ κακοδαιμονησάντων καὶ μανέντων ἀνθρώπων νομιμώτεροι γεγόναμεν, ἀλλὰ πολὺ μᾶλλον ἀγανακτεῖν καὶ βαρέως φέρειν, εἰ χείρους τῶν προγόνων τυγχάνοιμεν ὄντες· πρὸς γὰρ τὴν ἐκείνων ἀρετήν, ἀλλ' οὐ πρὸς τὴν τῶν τριάκοντα πονηρίαν ἀμιλλητέον ἡμῖν ἐστίν, ἄλλως τε καὶ προσῆκον ἡμῖν βελτί-
74στοις ἁπάντων ἀνθρώπων εἶναι. καὶ τοῦτον εἴρηκα τὸν λόγον οὐ νῦν πρῶτον, ἀλλὰ πολλάκις ἤδη καὶ πρὸς πολλούς. ἐπίσταμαι γὰρ ἐν μὲν τοῖς ἄλλοις τόποις φύσεις ἐγγιγνομένας καρπῶν καὶ δένδρων καὶ ζώων ἰδίας ἐν ἑκάστοις καὶ πολὺ τῶν ἄλλων διαφερούσας, τὴν δ' ἡμετέραν χώραν ἄνδρας φέρειν καὶ τρέφειν δυναμένην οὐ μόνον πρὸς τὰς τέχνας καὶ τὰς πράξεις καὶ τοὺς λόγους εὐφυεστάτους, ἀλλὰ καὶ
75πρὸς ἀνδρίαν καὶ πρὸς ἀρετὴν πολὺ διαφέροντας. τεκμαίρεσθαι δὲ δίκαιόν ἐστι τοῖς τε παλαιοῖς ἀγῶσιν, οὓς ἐποιήσαντο πρὸς Ἀμαζόνας καὶ Θρᾶκας καὶ Πελοποννησίους ἅπαντας, καὶ τοῖς κινδύνοις τοῖς περὶ τὰ Περσικὰ γενομένοις, ἐν οἷς καὶ μόνοι καὶ μετὰ Πελοποννησίων, καὶ πέζομαχοῦντες καὶ ναυμαχοῦντες, νικήσαντες τοὺς βαρβάρους ἀριστείων ἠξιώθησαν· ὧν οὐδὲν ἂν ἔπραξαν, εἰ μὴ πολὺ τὴν
76φύσιν διήνεγκαν. Καὶ μηδεὶς οἰέσθω ταύτην τὴν εὐλογίαν ἡμῖν προσήκειν τοῖς νῦν πολιτευομένοις, ἀλλὰ πολὺ τοὐναντίον. εἰσὶ γὰρ οἱ

---

72. καὶ πρός γε τούτοις, und überdies wohl noch da sie abstammen ctt. Plat. de repbl. X. p. 610. τὴν ἀδικίαν οἶμαι φανήσεσθαι μάλα ζωτικόν τινα παρέχουσαν, καὶ πρός γ' ἔτι τῷ ζωτικῷ ἄγρυπνον. — τοιούτοις οὖσιν, de qua Attractione praesertim Dativi Part. vid. ad Xen. IV, 13.

73. κακοδαιμονησάντων, acerbissime increpat triginta tyrannos quippe homines *furentes suaeque mentis non compotes*. ita κακοδαιμονᾶν de mentis aegritudine dici et terminatione aliorum verborum in ᾶν, ιᾶν, et ipsis exemplis probavit Lobeck ad Phryn. p. 79 sq. cf. etiam Arist. Plut. 501. τίς ἂν οὐχ ἡγοῖτ' εἶναι μανίαν, κακοδαιμονίαν τ' ἔτι μᾶλλον; — εἰ.. τυγχάνοιμεν, praegresso verbo animi adfectum denotante, ut Xen. IV, 13. αἰσχυνόμενοι, εἰ μηδὲν ὠφελήσειαν. vid. ad V, 14. — προσῆκον, Coraes: διότι προσήκει ἡμῖν. sic ὡς προσῆκόν μοι, omisso verbo substantivo pro προσήκει. Isocr. Nicocl. §. 11. Lysias de adfect. tyr. §. 7 ibique Bremi. quos locos laudavi ad ea infringenda, quae Bernh. Synt. p. 470 sine causa addubitat.

74. πολλάκις, similia similibus castigat in orat. de pace §. 49 sq. — φύσεις . . ἰδίας, h. l. de frugum, arborum, animalium *generibus* (Arten, Gattungen), quae cuique regioni propria insunt atque peculiaria, ut non multum recedat a significatu v. γένος, γένη. utrumque iunctum habes ap. Xen. de venat. 3, 1. — φέρειν, *procreare*. huius significationis exempla ubique apud Homerum Herodotumque. quamquam et altera illa pro τρέφειν ab usu Atticorum non aliena. Xen. Ages. 1, 20. ἡ μὲν ἐρημουμένη χώρα οὐκ ἂν δύναιτο πλὴν χρύσον στράτευμα φέρειν, ἡ δ' οἰκουμένη — τροφὴν ἂν παρέχοι.

75. πρὸς Ἀμαζόνας, de quo bello v. Lys. §. 4 sqq. idem attigit §. 11 sq. pericula adversus Eurystheum Peloponnesiosque suscepta, quibus Heraclidae narrantur integri incolumesque servati esse.

τοιοῦτοι τῶν λόγων ἔπαινος μὲν τῶν ἀξίους σφᾶς αὐτοὺς τῆς τῶν προγόνων ἀρετῆς παρεχόντων, κατηγορία δὲ τῶν τὰς εὐγενείας ταῖς αὐτῶν ῥαθυμίαις καὶ κακίαις καταισχυνόντων. ὅπερ ἡμεῖς ποιοῦμεν· εἰρήσεται γὰρ ἀληθές. τοιαύτης γὰρ ἡμῖν τῆς φύσεως ὑπαρχούσης οὐ διεφυλάξαμεν αὐτήν, ἀλλ' ἐμπεπτώκαμεν εἰς ἄνοιαν καὶ ταραχὴν καὶ πονηρῶν πραγμάτων ἐπιθυμίαν. ἀλλὰ γὰρ ἢν ἐπακολουθῶ τοῖς 77
ἐνοῦσιν ἐπιτιμῆσαι καὶ κατηγορῆσαι τῶν ἐνεστώτων πραγμάτων, δέδοικα μὴ πόρρω λίαν τῆς ὑποθέσεως ἀποπλανηθῶ. περὶ μὲν οὖν τούτων καὶ πρότερον εἰρήκαμεν καὶ πάλιν ἐροῦμεν, ἢν μὴ πείσωμεν ὑμᾶς παύσασθαι τοιαῦτα ἐξαμαρτάνοντας· περὶ δ' ὧν ἐξ ἀρχῆς τὸν λόγον κατεστησάμην, βραχέα διαλεχθεὶς παραχωρῶ τοῖς βουλομένοις ἔτι συμβουλεύειν περὶ τούτων.

Ἡμεῖς γὰρ ἢν μὲν οὕτως οἰκῶμεν τὴν πόλιν ὥσπερ νῦν, οὐκ 78
ἔστιν ὅπως οὐ καὶ βουλευσόμεθα καὶ πολεμήσομεν καὶ βιωσόμεθα καὶ σχεδὸν ἅπαντα καὶ πεισόμεθα καὶ πράξομεν, ἅπερ ἐν τῷ παρόντι καὶ τοῖς παρελθοῦσι χρόνοις· ἢν δὲ μεταβάλωμεν τὴν πολιτείαν, δῆλον ὅτι κατὰ τὸν αὐτὸν λόγον, οἷά περ ἦν τοῖς προγόνοις τὰ πράγματα, τοιαῦτ' ἔσται καὶ περὶ ἡμᾶς· ἀνάγκη γὰρ ἐκ τῶν αὐτῶν πολιτευμάτων καὶ τὰς πράξεις ὁμοίας ἀεὶ καὶ παραπλησίας ἀποβαίνειν. δεῖ δὲ τὰς μεγίστας αὐτῶν παρ' ἀλλήλας θέντας βουλεύσασθαι, ποτέ- 79
ρας ἡμῖν αἱρετέον ἐστίν. καὶ πρῶτον μὲν σκεψώμεθα τοὺς Ἕλληνας καὶ τοὺς βαρβάρους, πῶς πρὸς ἐκείνην τὴν πολιτείαν διέκειντο καὶ πῶς νῦν ἔχουσι πρὸς ἡμᾶς· οὐ γὰρ ἐλάχιστον μέρος τὰ γένη ταῦτα συμβάλλεται πρὸς εὐδαιμονίαν, ὅταν ἔχῃ κατὰ τρόπον ἡμῖν.

Οἱ μὲν τοίνυν Ἕλληνες οὕτως ἐπίστευον τοῖς κατ' ἐκεῖνον τὸν 80
χρόνον πολιτευομένοις, ὥστε τοὺς πλείστους αὐτῶν ἑκόντας ἐγχειρίσαι τῇ πόλει σφᾶς αὐτούς· οἱ δὲ βάρβαροι τοσοῦτον ἀπεῖχον τοῦ πολυπραγμονεῖν περὶ τῶν Ἑλληνικῶν πραγμάτων, ὥστε οὔτε μακροῖς πλοίοις ἐπὶ τάδε Φασήλιδος ἔπλεον οὔτε στρατοπέδοις ἐντὸς Ἅλυος ποταμοῦ κατέβαινον, ἀλλὰ πολλὴν ἡσυχίαν ἦγον. νῦν δ' 81

---

77. ἐπακολουθῶ, cum Infin. *si pergam atque inseqnar longius;* est enim ut recte Coraes ἀπὸ μεταφορᾶς τῶν ἐπιδιωκόντων ἐν τῷ πολέμῳ, ἐφ' ἧς σημασίας οὔπω κατεχωρίσθη ἐν τοῖς Λεξικοῖς. — τοῖς ἐνοῦσιν, Dativus ut supra §. 36. τὰ ἐνόντα acceperim de *rebus praesentibus*, *quae dicendae supersunt*, quum v. ἐνεστώτων latius pateat, *res instantes et imminentes.* Isocr. de pace extr. πολλῶν λόγων ἐνόντων περὶ τὴν ὑπόθεσιν ταύτην, ἐμοὶ μὲν ἀμφότερα συμβουλεύει παύσασθαι λέγοντι ctt. — παραχωρῶ, *facultatem dicendi dabo, locum concedam.* tempus praesens verbi conatum vel motum significantis notione futura instructum. Andoc. de myst. §. 26. καὶ σιωπῶ καὶ παραχωρῶ, εἴ τις ἀναβαίνειν βούλεται.

78. ὁμοίας καὶ παραπλ. Dem. Olynth. III. §. 27. νυνὶ δὲ πῶς — τὰ πράγματα ἔχει; ἆρά γε ὁμοίως καὶ παραπλησίως; copula videtur explicantis esse: *aequales semper actiones vel paene aequales, similes existant necesse est.* Plat. c. XI.

79. αἱρετέον. vid. ad Xen. VII, 8. — πρῶτον μέν, respondet §. 82 ἔτι δέ, paullo quidem solutiore nexu sententiarum, neque tamen ita ut deesse quidquam videatur. — συμβάλλεται, v. ad §. 21. — κατὰ τρόπον, vid. ad §. 11.

80. ὥστε . . κατέβαινον, termini significantur devictis olim ad Eurymedontem barbaris constituti, quos terminos alii definiunt circumscriptos a septemtrione insulis Cyaneis prope ostium Ponti Euxini sitis, a meridie Chelidoneis Phaselidem urbem adiacentibus. v. supra Plut. V, 5 extr.

εἰς τοῦτο τὰ πράγματα περιέστηκεν, ὥσθ' οἱ μὲν μισοῦσι τὴν πόλιν, οἱ δὲ καταφρονοῦσιν ἡμῶν. καὶ περὶ μὲν τοῦ μίσους τῶν Ἑλλήνων αὐτῶν ἀκηκόατε τῶν στρατηγῶν· ὡς δὲ βασιλεὺς ἔχει πρὸς ἡμᾶς, ἐκ τῶν ἐπιστολῶν ὧν ἔπεμψεν ἐδήλωσεν.

82 Ἔτι δὲ πρὸς τούτοις ὑπὸ μὲν ἐκείνης τῆς εὐταξίας οὕτως ἐπαιδεύθησαν οἱ πολῖται πρὸς ἀρετήν, ὥστε σφᾶς μὲν αὐτοὺς μὴ κινεῖν, τοὺς δ' εἰς τὴν χώραν εἰσβάλλοντας ἅπαντες μαχόμενοι νικᾶν. ἡμεῖς δὲ τοὐναντίον· ἀλλήλοις μὲν γὰρ κακὰ παρέχοντες οὐδεμίαν ἡμέραν διαλείπομεν, τῶν δὲ περὶ τὸν πόλεμον οὕτω κατημελήκαμεν, ὥστ'
83 οὐδ' εἰς ἐξετάσεις ἰέναι τολμῶμεν, ἢν μὴ λαμβάνωμεν ἀργύριον. τὸ δὲ μέγιστον· τότε μὲν οὐδεὶς ἦν τῶν πολιτῶν ἐνδεὴς τῶν ἀναγκαίων, οὐδὲ προσαιτῶν τοὺς ἐντυγχάνοντας τὴν πόλιν κατῄσχυνε, νῦν δὲ πλείους εἰσὶν οἱ σπανίζοντες τῶν ἐχόντων· οἷς ἄξιόν ἐστι πολλὴν συγγνώμην ἔχειν, εἰ μηδὲν τῶν κοινῶν φροντίζουσιν, ἀλλὰ τοῦτο σκοποῦσιν ὁπόθεν τὴν ἀεὶ παροῦσαν ἡμέραν διάξουσιν.

84 Ἐγὼ μὲν οὖν ἡγούμενος, ἢν μιμησώμεθα τοὺς προγόνους, καὶ τῶν κακῶν ἡμᾶς τούτων ἀπαλλαγήσεσθαι καὶ σωτῆρας οὐ μόνον τῆς πόλεως, ἀλλὰ καὶ τῶν Ἑλλήνων ἁπάντων γενήσεσθαι, τήν τε πρόσοδον ἐποιησάμην καὶ τοὺς λόγους εἴρηκα τούτους· ὑμεῖς δὲ πάντα λογισάμενοι ταῦτα χειροτονεῖθ' ὅ τι ἂν ὑμῖν δοκῇ μάλιστα συμφέρειν τῇ πόλει.

---

81. εἰς τοῦτο . . περιέστηκεν, *nunc vero eo res rediit*, proprie: mutata rerum facie ex insperato evenit atque secus, quam opinati eratis. — ἐπιστολῶν, quas Isocrates respiciat epistolas nusquam deprehendi certis adfirmare licet, tamen exemplum adlegatur a Coraë ap. Aesch. adv. Ctesiph. §. 238 servatum.

82. ὥστε . . κινεῖν, h. e. ὥστε μὴ στασιάζειν πρὸς ἀλλήλους, quae sententia quam maxime videtur ad εὐταξίαν vel *bonum istum ordinem* quadrare, cui conservando tantopere olim Areopagum studuisse perhibet orator. Bekk. ex uno libro edidit ὥστε . . λυπεῖν. — τολμῶμεν, haud sine ironia loquitur indicaturus cives Atticos iam ne pace quidem *audere* nomina profiteri nisi accepta pecunia. fracta enim auctoritate Areopagi mos fuit, ut etiam pacatis rebus Atheniensium quadraginta quotannis talenta ex aerario erogarentur in stipendium militibus persolvendum.

83. προσαιτῶν τ. ἐντ. h. l. qui nimis submisse aliquid petit, stipem emendicat ab occurrentibus sibi obviisque quibuslibet. sic ap. Herod. III, 14 dicitur quidam ἔχων τε οὐδέν, εἰ μὴ ὅσα πτωχός, καὶ προσαιτῶν τὴν στρατιάν. — τὴν ἀεὶ π. i. e. τὴν ἑκάστοτε π. cf. Bremi ad Aeschin. or. adv. Ctes. §. 126. Xen. Anab. IV, 1, 7 Interpp.

84. τ. λόγους, ne forte λόγον h. l. desideres v. §. 15. §. 58. nihil aliud est, quam quod latine dicitur *verba facere*.

[Crito].

ΠΛΑΤΩΝΟΣ ΑΘΗΝΑΙΟΥ.

Σωκράτης. Κρίτων.

I. *Σω. Τί τηνικάδε ἀφῖξαι, ὦ Κρίτων; ἢ οὐ πρῳὶ ἔτι ἐστίν;*
Κρ. Πάνυ μὲν οὖν.
Σω. Πηνίκα μάλιστα;
Κρ. Ὄρθρος βαθύς.
Σω. Θαυμάζω ὅπως ἠθέλησέ σοι ὁ τοῦ δεσμωτηρίου φύλαξ ὑπακοῦσαι.

Plato Aristonis F. d. 22mo m. Maii a. 429 a. C. (Ol. 87, 4) Athenis natus est et octogenario maior e vita cessit. a primis discendi incunabulis flagrabat cupiditate veri inquirendi, cui uni curae intentus quam maturrime quum alia ad se liberaliter erudiendum studia impendit, tum Heracliteae et Parmenideae se tradidit philosophiae. sed annus aetatis vicesimus omnium, dum vivebat, uberrimus et copiosissimus, quo cum virum coepit audire, qualem nec sapientiorem nec candidiorem Graecia tulit. Socrate autem parente philosophiae moralis defuncto (a. 399) Plato primum se contulit ad Euclidem Megareum, post Aegyptum, Siciliam, magnam Graeciam domicilium Pythagoreorum peragravit, ubicumque quid esset, quod disci posset, eo veniendum ratus. quid denique Athenas redux civibus suis praestiterit Academiae conditor, quae sit eiusdem adversus sapientiam Socraticam verecundia, quae philosophandi ratio atque ars dialectica, qua non exploratam nobis rerum seu divinarum seu humanarum veritatem exhibet, sed eandem nos explorandam docet, quum nemo facile existat, quem validiorem interpretem agnoscas quam ipsum magistrum longe omnium et disserendi acumine et eloquendi facultate principem, evolve diligenter aureolum hunce dialogum vulgo inscriptum: *Πλάτωνος Κρίτων*. in quo libello cum Critone colloquitur Socrates, qui quamquam in vincula coniectus, supplicium propediem exspectans sibi subeundum, fideli opulentoque discipulo opem salutemque laturo fuga petendam non obtemperat, sed cum eodem potius ducit in id inquirendum, quid faciendum sit recteque fieri possit salvis legibus, salva existimatione, quid non. — Edd. I. Bekker. Berol. 1816. P. Buttmann. Diall. IV. Meno, Crito, Alcibiades uterque. Berol. 1830. 8.

I. *πρῳί*. quod olim in libris residebat *πρωΐ*, vett. Grammatici minus Atticum redarguunt, ad quorum normam ubique *πρῲ* s. *πρῲ* monosyllabum apud Aristophanem poetam Atticismo leges scribentem. Iota subscriptum ex analogia vv. *νῷ*, *σφῷ* elidendum cum Buttm. Lexil. I. p. 49. — *π. μάλιστα; quando vero maxime?* nos: wie früh denn eigentlich? cf. ad Arrian. I, 2, 5. — *βαθύς*. Theocr. Id. 18, 14. *παίσδειν ἐς βαθὺν ὄρθρον*. Lucian. quom. hist. s. 28. *ἄχρι βαθείας ἑσπέρας*. eiusd. Lucius 34. *ἐπεὶ δὲ ἦν νὺξ βαθεῖα*. — *θαυμάζω*, non solum mirantis est, sed cupientis quoque scire quod cui mirum videatur quippe nescienti. sic alia verba adfectuum v. ap. Erf. ad Soph. Oed. T. 74. — *ὑπακοῦσαι*. cf. ad Xen. VI, 11. Plat. Phaed.

Κρ. Ξυνήθης ἤδη μοί ἐστιν, ὦ Σώκρατες, διὰ τὸ πολλάκις δεῦρο φοιτᾶν· καί τι καὶ εὐεργέτηται ὑπ' ἐμοῦ.

Σω. Ἄρτι δὲ ἥκεις ἢ πάλαι;

Κρ. Ἐπιεικῶς πάλαι.

Σω. Εἶτα πῶς οὐκ εὐθὺς ἐπήγειράς με, ἀλλὰ σιγῇ παρακάθησαι;

Κρ. Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐδ' ἂν αὐτὸς ἤθελον ἐν τοσαύτῃ τε ἀγρυπνίᾳ καὶ λύπῃ εἶναι. ἀλλὰ καὶ σοῦ πάλαι θαυμάζω αἰσθανόμενος ὡς ἡδέως καθεύδεις· καὶ ἐπίτηδές σε οὐκ ἤγειρον, ἵνα ὡς ἥδιστα διάγῃς, καὶ πολλάκις μὲν δή σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ εὐδαιμάνισα τοῦ τρόπου, πολὺ δὲ μάλιστα ἐν τῇ νῦν παρεστώσῃ ξυμφορᾷ, ὡς ῥᾳδίως αὐτὴν καὶ πράως φέρεις.

Σω. Καὶ γὰρ ἄν, ὦ Κρίτων, πλημμελὲς εἴη ἀγανακτεῖν τηλικοῦτον ὄντα, εἰ δεῖ ἤδη τελευτᾶν.

Κρ. Καὶ ἄλλοι, ὦ Σώκρατες, τηλικοῦτοι ἐν τοιαύταις ξυμφοραῖς ἁλίσκονται, ἀλλ' οὐδὲν αὐτοῖς ἐπιλύεται ἡ ἡλικία τὸ μὴ οὐχὶ ἀγανακτεῖν τῇ παρούσῃ τύχῃ.

Σω. Ἔστι ταῦτα. ἀλλὰ τί δὴ οὕτω πρῳὰ ἀφῖξαι;

Κρ. Ἀγγελίαν, ὦ Σώκρατες, φέρων χαλεπήν, οὐ σοί, ὡς ἐμοὶ φαίνεται, ἀλλ' ἐμοὶ καὶ τοῖς σοῖς ἐπιτηδείοις πᾶσι καὶ χαλεπὴν καὶ βαρεῖαν, ἣν ἐγώ, ὡς ἐμοὶ δοκῶ, ἐν τοῖς βαρύτατ' ἂν ἐνέγκαιμι.

Σω. Τίνα ταύτην; ἢ τὸ πλοῖον ἀφῖκται ἐκ Δήλου, οὗ δεῖ ἀφικομένου τεθνάναι με;

Κρ. Οὔ τοι δὴ ἀφῖκται, ἀλλὰ δοκεῖ μέν μοι ἥξειν τήμερον ἐξ ὧν ἀπαγγέλλουσιν ἥκοντές τινες ἀπὸ Σουνίου καὶ καταλιπόντες ἐκεῖ αὐτό. δῆλον οὖν ἐκ τούτων τῶν ἀγγέλων ὅτι ἥξει τήμερον, καὶ ἀνάγκη δὴ ἐσαύριον ἔσται, ὦ Σώκρατες, τὸν βίον σε τελευτᾶν.

II. Σω. Ἀλλ', ὦ Κρίτων, τύχῃ ἀγαθῇ! εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ ἔστω. οὐ μέντοι οἶμαι ἥξειν αὐτὸ τήμερον.

Κρ. Πόθεν τοῦτο τεκμαίρει;

Σω. Ἐγώ σοι ἐρῶ. τῇ γάρ που ὑστεραίᾳ δεῖ με ἀποθνήσκειν ἢ ἤ ἂν ἔλθῃ τὸ πλοῖον.

Κρ. Φασί γέ τοι δὴ οἱ τούτων κύριοι.

Σω. Οὐ τοίνυν τῆς ἐπιούσης ἡμέρας οἶμαι αὐτὸ ἥξειν, ἀλλὰ

---

p. 59. e. — *εὐεργέτηται.* Augmenti neglectio licet repugnet praeceptis Grammaticorum (B. §. 86, 2. M. §. 169.) defenditur quum locis Xenophonteis, tum Dem. Lept. §. 33. *εὐεργέτηκεν.* §. 41. *εὐεργέτητο.* cf. Isocr. Paneg. §. 56. ubi Bekk. plerisque Codd. faventibus *εὐεργέτησεν.* — *σοῦ π. θαυμάζω,* Ammonio monente *γενικῇ μὲν συνταττόμενον σημαίνει τὸ καταγιγνώσκω καὶ κατηγορῶ, αἰτιατικῇ δὲ τὸ ἐπαινῶ.* cf. Isocr. Paneg. init. Bernh. Synt. p. 152. — *εἰ δεῖ* ctt. v. ad Xen. V, 14. — *τὸ μὴ οὐχί.* c. IX. v. ad Arrian. II, 2, 2. — *ἔστι ταῦτα.* v. infra c. VII quae de voce *εἶεν* monita sunt. — *ἐν τοῖς βαρύτατ' ἂν ἐ.* c. XIV init. *ἐν τοῖς μάλιστα.* de quibus formulis exposui ad Aelian. VI. add. Hemst. ad Lucian. somn. c. 2. — *τὸ πλοῖον .. ἐκ Δ.* vid. ad Aelian. I.

II. *οἱ τ. κύριοι,* significantur undecimviri (*οἱ ἕνδεκα*), praefecti publicis carceribus; in quibus mos erat quum alios, tum cicuta potionibusque mortiferis puniendos ad supplicium agere. cf. ad Xen. II, 16. — *τῆς ἐπιούσης ἡ.* *quae nunc instat* — sunt enim haec primo diluculo enuntiata, — quum alias usurpetur de *postero die*, ut Pausan. IX, 3 omisso nomine diei. infra c. V

τῆς ἑτέρας. τεκμαίρομαι δὲ ἔκ τινος ἐνυπνίου, ὃ ἑώρακα ὀλίγον πρότερον ταύτης τῆς νυκτός· καὶ κινδυνεύεις ἐν καιρῷ τινὶ οὐκ ἐγεῖραί με.

Κρ. Ἦν δὲ δὴ τί τὸ ἐνύπνιον;

Σω. Ἐδόκει τίς μοι γυνὴ προσελθοῦσα καλὴ καὶ εὐειδής, λευκὰ ἱμάτια ἔχουσα, καλέσαι με καὶ εἰπεῖν· Ὦ Σώκρατες, ἥματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἵκοιο.

Κρ. Ὡς ἄτοπον τὸ ἐνύπνιον, ὦ Σώκρατες!

Σω. Ἐναργὲς μὲν οὖν, ὥς γ' ἐμοὶ δοκεῖ, ὦ Κρίτων.

III. Κρ. Λίαν γε, ὡς ἔοικεν. ἀλλ', ὦ δαιμόνιε Σώκρατες, ἔτι καὶ νῦν ἐμοὶ πείθου καὶ σώθητι, ὡς ἐμοί, ἐὰν σὺ ἀπροθάνῃς, οὐ μία ξυμφορά ἐστιν, ἀλλὰ χωρὶς μὲν τοῦ ἐστερῆσθαι τοιούτου ἐπιτηδείου, οἷον ἐγὼ οὐδένα μήποτε εὑρήσω, ἔτι δὲ καὶ πολλοῖς δόξω, οἳ ἐμὲ καὶ σὲ μὴ σαφῶς ἴσασιν, ὡς οἷός τ' ὤν σε σώζειν, εἰ ἤθελον ἀναλίσκειν χρήματα, ἀμελῆσαι. καίτοι τίς ἂν αἰσχίων εἴη ταύτης δόξα, ἢ δοκεῖν χρήματα περὶ πλείονος ποιεῖσθαι ἢ φίλους; οὐ γὰρ πείσονται οἱ πολλοί, ὡς σὺ αὐτὸς οὐκ ἠθέλησας ἀπιέναι ἐνθένδε ἡμῶν προθυμουμένων.

Σω. Ἀλλὰ τί ἡμῖν, ὦ μακάριε Κρίτων, οὕτω τῆς τῶν πολλῶν δόξης μέλει; οἱ γὰρ ἐπιεικέστατοι, ὧν μᾶλλον ἄξιον φροντίζειν, ἡγήσονται αὐτὰ οὕτω πεπρᾶχθαι ὥσπερ ἂν πραχθῇ.

Κρ. Ἀλλ' ὁρᾷς δὴ ὅτι ἀνάγκη, ὦ Σώκρατες, καὶ τῆς τῶν πολλῶν δόξης μέλειν. αὐτὰ δὲ δῆλα τὰ παρόντα νυνί, ὅτι οἷοί τ' εἰσὶν οἱ πολλοὶ οὐ τὰ σμικρότατα τῶν κακῶν ἐξεργάζεσθαι, ἀλλὰ τὰ μέγιστα σχεδόν, ἐάν τις ἐν αὐτοῖς διαβεβλημένος ᾖ.

Σω. Εἰ γὰρ ὤφελον, ὦ Κρίτων, οἷοί τε εἶναι οἱ πολλοὶ τὰ μέγιστα κακὰ ἐξεργάζεσθαι, ἵνα οἷοί τε ἦσαν αὖ καὶ ἀγαθὰ τὰ μέγιστα. καὶ καλῶς ἂν εἶχε· νῦν δὲ οὐδέτερα οἷοί τε· οὔτε γὰρ φρόνιμον οὔτ' ἄφρονα δυνατοὶ ποιῆσαι· ποιοῦσι δὲ τοῦτο ὅ τι ἂν τύχωσιν.

IV. Κρ. Ταῦτα μὲν δὴ οὕτως ἐχέτω. τάδε δέ, ὦ Σώκρατες, εἰπέ μοι· ἆρά γε μὴ ἐμοῦ προμηθεῖ καὶ τῶν ἄλλων ἐπιτηδείων, μή,

---

extr. de Genit. v. ad Xen. IV, 15. — ὀλίγον πρ. haud sine causa addit. etenim post mediam noctem somnia visa esse veriora res nota. Heindf. ad Hor. Sat. I, 10, 33. — ἥματί κεν .. ἵκοιο, Hom. Il. IX, 363. Achilles ostendit tertio se die venturum esse (in rebus Agamemnonis commotum) Phthiam patriam perquam fertilem. sic Socrates per somnum cernit se paucis illis interiectis diebus rediturum optatiora patriae h. e. coeli rura. cf. Cic. Divin. I, 25.

III. δαιμόνιε, *o beate*. qua voce blande adpellatur Socrates Platonicus, quippe vi quadam divina (cf. ad Lys. 78 de v. δαίμων) instructus, qua futura aiebat sibi significari. similiter μακάριος, θεῖος, ἀγαθός, licet duplex verborum significatus facete non raro atque ironice ludentis esse soleat. — οὐδένα μήποτε, cum Ind. Fut. ut h. l. et c. VI init. aut c. Aor. Coni. cf. M. §. 517. de tempore praes. firmissimae illi negandi formulae iuncto egit Herm. ad Soph. Oed. C. 1028. — ὡς .. ἀμελῆσαι, quae structura post v. δόξω pro mero Infin. aliquid offensionis habet, quamquam sunt quae quodammodo huc pertineant Plat. Alcib. II. p. 141. c. βούλομαι ὡς πάντας αἰσθέσθαι. Xen. Cyrop. III, 2, 29. φησὶν πειράσεσθαι ποιῆσαι ὥστε σε νομίζειν. supr. Xen. III, 20. add. M. §. 538. pauci Codd. ὡς ἀμελήσαιμι. — ταύτης .. ἢ δοκεῖν. vid. ad Lys. §. 73. Isocr. §. 27. — ἵνα .. ἦσαν, *ut possent etiam maxima bona nobis inferre*, at non possunt. sic ὅπως c. Impf. cf. Herm. ad Vig. p. 791.

IV. ἆρά γε μὴ ctt. *num forte sollicitus es;* dich hält doch nicht die

ἐὰν σὺ ἐνθένδε ἐξέλθῃς, οἱ συκοφάνται ἡμῖν πράγματα παρέχωσιν ὡς σὲ ἐνθένδε ἐκκλέψασι, καὶ ἀναγκασθῶμεν ἢ καὶ πᾶσαν τὴν οὐσίαν ἀποβαλεῖν ἢ συχνὰ χρήματα, ἢ καὶ ἄλλο τι πρὸς τούτοις παθεῖν; εἰ γάρ τι τοιοῦτον φοβεῖ, ἴασον αὐτὸ χαίρειν· ἡμεῖς γάρ που δίκαιοί ἐσμεν σώσαντές σε κινδυνεύειν τοῦτον τὸν κίνδυνον, καὶ ἐὰν δέῃ, ἔτι τούτου μείζω. ἀλλ' ἐμοὶ πείθου καὶ μὴ ἄλλως ποίει.

Σω. Καὶ ταῦτα προμηθοῦμαι, ὦ Κρίτων, καὶ ἄλλα πολλά.

Κρ. Μήτε τοίνυν ταῦτα φοβοῦ. καὶ γὰρ οὐδὲ πολὺ τἀργύριόν ἐστιν, ὃ θέλουσι λαβόντες τινὲς σῶσαί σε καὶ ἐξαγαγεῖν ἐνθένδε. ἔπειτα οὐχ ὁρᾷς τούτους τοὺς συκοφάντας; ὡς εὐτελεῖς καὶ οὐδὲν ἂν δέοι ἐπ' αὐτοὺς πολλοῦ ἀργυρίου; σοὶ δὲ ὑπάρχει μὲν τὰ ἐμὰ χρήματα, ὡς ἐγῴμαι, ἱκανά· ἔπειτα καὶ εἴ τι ἐμοῦ κηδόμενος οὐκ οἴει δεῖν ἀναλίσκειν τὰ ἐμά, ξένοι οὗτοι ἐνθάδε ἕτοιμοι ἀναλίσκειν. εἷς δὲ καὶ κεκόμικεν ἐπ' αὐτὸ τοῦτο ἀργύριον ἱκανόν, Σιμμίας ὁ Θηβαῖος· ἕτοιμος δὲ καὶ Κέβης καὶ ἄλλοι πολλοὶ πάνυ. ὥστε, ὅπερ λέγω, μήτε ταῦτα φοβούμενος ἀποκάμῃς σῶσαι σαυτόν, μήτε ἃ ἔλεγες ἐν τῷ δικαστηρίῳ, δυσχερές σοι γενέσθω, ὅτι οὐκ ἂν ἔχοις ἐξελθὼν ὅ τι χρῷο σεαυτῷ. πολλαχοῦ μὲν γὰρ καὶ ἄλλοσε ὅποι ἂν ἀφίκῃ, ἀγαπήσουσί σε· ἐὰν δὲ βούλῃ εἰς Θετταλίαν ἰέναι, εἰσὶν ἐμοὶ ἐκεῖ ξένοι, οἵ σε περὶ πολλοῦ ποιήσονται καὶ ἀσφάλειαν σοι παρέξονται, ὥστε σε μηδένα λυπεῖν τῶν κατὰ Θετταλίαν.

V. Ἔτι δέ, ὦ Σώκρατες, οὐδὲ δίκαιόν μοι δοκεῖς ἐπιχειρεῖν πρᾶγμα, σεαυτὸν προδοῦναι ἑξὸν σωθῆναι, καὶ τοιαῦτα σπεύδεις περὶ σαυτὸν γενέσθαι ἅπερ ἂν καὶ οἱ ἐχθροί σου σπεύσαιεν τε καὶ ἔσπευσάν σε διαφθεῖραι βουλόμενοι. πρὸς δὲ τούτοις καὶ τοὺς υἱεῖς τοὺς σαυτοῦ ἔμοιγε δοκεῖς προδιδόναι, οὓς σοι ἑξὸν καὶ ἐκθρέψαι καὶ ἐκπαιδεῦσαι οἰχήσει καταλιπών, καὶ τὸ σὸν μέρος, ὅ τι ἂν τύχωσι, τοῦτο πράξουσι. τεύξονται δέ, ὡς τὸ εἰκός, τοιούτων οἷάπερ εἴωθε γίγνεσθαι ἐν ταῖς ὀρφανίαις περὶ τοὺς ὀρφανούς. ἢ γὰρ οὐ χρὴ ποιεῖσθαι παῖδας, ἢ ξυνδιαταλαιπωρεῖν καὶ τρέφοντα καὶ παιδεύοντα· σὺ δέ μοι δοκεῖς τὰ ῥᾳθυμότατα αἱρεῖσθαι. χρὴ δέ, ἅπερ ἂν ἀνὴρ ἀγαθὸς καὶ ἀνδρεῖος ἕλοιτο, ταῦτα αἱρεῖσθαι, φάσκοντά γε δὴ ἀρετῆς διὰ παντὸς τοῦ βίου ἐπιμελεῖσθαι. ὡς ἔγωγε καὶ ὑπὲρ σοῦ καὶ

